# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: uyq-ad

*Ῥωμανὸς ὁ Μελωδός* · Romanos the Melodist

# Songs

*Ὠιδαί*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ Χριστιανική* Christian Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book pro Σχόλασον, ψυχή μου, ἐν μετανοίᾳ, ἑνώθητι Χριστῷ κατὰ γνώμην, βοῶσα ἐν στεναγμοῖς· [para]«Συγχώρησιν παράσχου μοι τῶν δεινῶν μου πράξεων, ἵνα λάβω παρὰ σοῦ, μόνε ἀγαθέ, τὴν ἄφεσιν καὶ ζωὴν τὴν αἰώνιον.»

book 1 Τῆς μακαρίας τυχεῖν ἐλπίδος δι’ ἔργων προσδοκῶμεν καὶ πίστεως, ὅσοι [para]φυλάττομεν τὰ τοῦ Κυρίου καὶ σωτῆρος διδάγματα· διὰ τοῦτο τιμῶμεν καὶ στέργομεν τὸ ἀγγέλοις τίμιον τῆς νηστείας κατόρθωμα, ὃ προφῆται τηρήσαντες μέτοχοι γεγόνασι [para]τῶν χορῶν τῶν οὐρανίων, οἱ ἐπίγειοι, ὅπου γε ταύτης τὴν ἐργασίαν [para]Χριστὸς οὐκ ἐπῃσχύνθη ἐκτελέσαι· ἑκὼν δὲ ἐνήστευσεν, [para]ἡμῖν καθυπογράφων διὰ ταύτης τὴν ζωὴν τὴν αἰώνιον.

book 2 Ὅτι μεγάλοι ἐν ἔργοις ἦσαν Μωσῆς καὶ Ἠλίας οἱ πύρινοι πύργοι [para]γινώσκομεν, ὅτι καὶ πρῶτοι ἐν προφήταις τυγχάνουσι, πρὸς Θεὸν παρρησίαν ἐκέκτηντο, ὅτιπερ ἐβούλοντο προσιέναι καὶ δέεσθαι καὶ αὐτῷ διαλέγεσθαι πρόσωπον πρὸς πρόσωπον, [para]ὃ ὑπάρχει θαυμαστόν τε καὶ παράδοξον. Ὅμως καὶ οὕτως πρὸς τὴν νηστείαν [para]κατέφευγον σπουδαίως, διὰ ταύτης αὐτῷ προσαγόμενοι· νηστεία οὖν μετ’ ἔργων ἀποδίδωσι ζωὴν τὴν αἰώνιον.

book 3 Ὑπὸ νηστείας ὡς ὑπὸ ξίφους οἱ δαίμονες πάντες ἐλαύνονται ὅτι [para]οὐ φέρουσιν οὐδ’ ἐξαρκοῦσι πρὸς τὴν ταύτης τερπνότητα· τρυφητὴν ἀγαπῶσι καὶ μέθυσον· ἐὰν δὲ θεάσωνται τῆς νηστείας τὸ πρόσωπον, οὔτε στῆναι ἰσχύουσι· πόρρω δὲ ἐκτρέχουσιν, [para]ὡς Χριστὸς ἡμᾶς διδάσκει ὁ Θεὸς ἡμῶν λέγων· «Τὸ γένος τὸ τῶν δαιμόνων [para]νηστείᾳ καὶ δεήσει ἐκνικᾶται.» Διὸ δεδιδάγμεθα [para]ὡς δίδωσι νηστεία τοῖς ἀνθρώποις ζωὴν τὴν αἰώνιον.

book 4 Τῆς σωφροσύνης ἁγνεία μήτηρ ὑπάρχει τῆς νηστείας τὸ ἄχραντον κάλλος· [para]πηγάζει δὲ φιλοσοφίαν καὶ παρέχει τὸν στέφανον· προξενεῖ δὲ ἡμῖν τὸν παράδεισον, τὴν πατρῴαν δίδωσιν οἰκιὰν τοῖς νηστεύουσιν, ἧς ὁ Ἀδὰμ ἀπωλίσθησεν· εἵλκυσε δὲ θάνατον, [para]ἀτιμάσας τῆς νηστείας τὸ ἀξίωμα· ταύτης γὰρ τότε καθυβρισθείσης, [para]Θεὸς ὁ πάντων κτίστης καὶ δεσπότης εὐθὺς ἠγανάκτησε·

book 4 τοῖς ταύτην δὲ τιμῶσιν ἀποδίδωσι ζωὴν τὴν αἰώνιον.

book 5 Αὐτὸς γάρ, ὡς μητρὶ φιλοστόργῳ, νηστείας ἐντολῇ ὁ φιλάνθρωπος πρώην [para]παρέθετο ὡς διδασκάλῳ παραχθέντα τὸν ἄνθρωπον, ἐν χερσὶν παραδοὺς τὴν ζωὴν αὐτοῦ· καὶ εἰ ταύτην ἔστερξε, μετ’ ἀγγέλων ηὐλίζετο· ἀθετήσας δὲ εὕρετο πόνους καὶ τὸν θάνατον, [para]ἀκανθῶν

δὲ καὶ τριβόλων τὴν τραχύτητα καὶ ἐπιμόχθου βίου τὴν θλῖψιν. [para]Εἰ δὲ ἐν παραδείσῳ 〈ἡ〉 νηστεία ὠφέλιμος δείκνυται, [para]πόσῳ μᾶλλον ἐνταῦθα, ἵνα σχῶμεν τὴν ζωὴν τὴν αἰώνιον.

book 6 Παντὸς μὲν ξύλου κελεύει φαγεῖν τὸν ἄνθρωπον Ἀδὰμ τὸν πρωτόπλαστον τότε [para]ὁ ὕψιστος ἐν παραδείσῳ θεὶς αὐτὸν, καθὼς γέγραπται· ἀλλ’ ἑνὸς ξύλου βρῶσιν ἐκώλυσε· καὶ αὐτὰ τὰ ῥήματα τὰ τοῦ κτίστου φιλάνθρωπα· «Κατατρύφα γάρ, ἔλεγε, πάντων ὧν κεχάρισμαι· [para]τῇ τρυφῇ γάρ σου τῇ τούτων ἀρεσθήσομαι· ἐὰν φυλάξῃς τὴν ἐντολήν μου, [para]φυλάξω σε τρυφῶντα· διὰ τοῦτο φθορᾶς ἀνεπίδεκτον ἡ χάρις μου φρουρεῖ σε ὡς λαμβάνοντα ζωὴν τὴν αἰώνιον.

book 7 Ἐμῶν ῥημάτων ἀνάσχου, Ἀδάμ, καὶ πρόσχες ἀκριβῶς τῷ προστάγματι τούτῳ· [para]ἑνὸς γάρ σοι ἐκ πάντων τούτων παραγγέλλω ἀπέχεσθαι, οὐ κακοῦ μὲν τὴν φύσιν ὑπάρχοντος, ἀλλὰ σοὶ τὴν κάκωσιν παραβάντι σκευάζοντος. Ἡ οὐσία τοῦ ξύλου γὰρ ἔστι μὲν οὐκ ἄχρηστος, [para]ἡ δὲ τούτου μετουσία σοι γενήσεται βλάβης αἰτία· ἔχει γὰρ τοῦτο [para]ἀκόνην λογισμῶν ἐγκεκρυμμένην καὶ γεύσεως μάχαιραν· [para]ἂν φάγῃς οὖν ἐκ τούτου, ἀποβάλλει τὴν ζωὴν τὴν αἰώνιον.

book 8 Ἰδού, πρωτόπλαστε, παραγγέλλω μὴ ἅψῃ ἐκ τοῦ ξύλου οὗ εἶπόν σοι ὅλως· [para]ἂν ἅψῃ γάρ, εὐθὺς ὡς κλέπτης ἐκδοθήσει πρὸς θάνατον, οὐχ ὡς ἔχειν αὐτὸ μὴ δυνάμενος, ἀλλ’ ἐπειδὴ ἄπιστος ἀποβήσει καὶ ἄχρηστος· πρὸς μικρόν σε καὶ εὔκολον θεῖον νόμον ἤγαγον· [para]διὰ τοῦτο τὴν τῶν ἄλλων ἀφθονίαν σοι ἐδωρησάμην, ἵν’ ὅλων τούτων [para]ἐν ἀπολαύσει γένῃ καὶ θανάτου μὴ γένῃ ὑπεύθυνος, ὁ κατ’ εἰκόνα ἔχων καὶ κατέχων ζωὴν τὴν αἰώνιον.»

book 9 Νόμον οὖν θεῖον κρατοῦντές ποτε, Ἀδάμ τε καὶ ἡ Εὔα ἐφύλαττον τοῦτον· [para]ἐτήρει δὲ ὁρμὰς τὰς τούτων ὁ διάβολος 〈–〉 · καὶ ἀπάτην σκευάζειν ἐπείγετο, καὶ ὡς ἐθεάσατο κρυπτομένους ὡς ἔμφρονας, προσελθεῖν τῷ ἀνθρώπῳ μὲν τέως οὐκ ἐθάρρησε· [para]τὴν δὲ Εὔαν ὁ πανοῦργος θεασάμενος παρὰ τὸ δένδρον μόνην ἑστῶσαν, [para]ἐντίθησιν εὐθέως διὰ ταύτης τοῖς δύο τὸ πρόσκομμα [para]τοῖς πρότερον λαβοῦσι διὰ χάριτος ζωὴν τὴν αἰώνιον.

book 10 Ὁ πονηρὸς γὰρ πρὸς τὴν γυναῖκα ὡς φίλος καὶ συνήθης προσέρχεται δόλῳ [para]καὶ πλάττεται καὶ προκομίζει τὴν κακοῦργον ἐρώτησιν· ὡς συμπάσχων αὐτῇ διαλέγεται· «Διὰ ποίαν πρόφασιν ὁ Θεὸς τὸν παράδεισον ὡς φιλῶν ὑμῖν δέδωκε, πάντων δὲ ἐκώλυσε [para]τῶν φυτῶν μεταλαμβάνειν ὁ φιλότιμος; Τίνος οὖν χάριν τοῦ παραδείσου [para]τὴν οἴκησιν κρατεῖτε, τῆς δὲ τούτου τρυφῆς ἐστερήθητε; [para]Πῶς δύνασθε οὖν ἔχειν 〈–〉 ζωὴν τὴν αἰώνιον;»

book 11 Ὑπὸ τῶν λόγων ἀπατηθεῖσα, ἡ Εὔα πρὸς αὐτὸν ἀπεκρίνατο ταῦτα· [para]«Πεπλάνησαι καὶ οὐ γινώσκεις τί προσέταξε Κύριος. Τὸν παράδεισον ὅλον ὡς τράπεζαν παραχθεῖσι δέδωκεν ὁ Θεὸς εἰς ἀπόλαυσιν, ἀλλ’ ἑνὸς τὴν μετάληψιν μόνον διεκώλυσεν, [para]ἐμποδίου γενομένου τῇ ζωῇ ἡμῶν, ὃ χρησιμεύει τοῖς ἀμφοτέροις [para]καὶ ἐκπαιδεύειν οἶδε τῶν καλῶν τε καὶ φαύλων τὴν εἴδησιν· [para]ἐλάβομεν γὰρ ἤδη ὥσπερ κτῆσιν ζωὴν τὴν αἰώνιον».

book 12 Ῥήματι οὖν θανατηφόρῳ γλυκεῖαν ὁ ἐχθρὸς συγκατέμιξε γεῦσιν, [para]σκεπτόμενος καὶ λέγων ταῦτα κατ’ ἰδίαν ὁ ἔχθιστος· «Εἰ μὴ δόλῳ κεράσω τὸ βούλημα, ἂν καταψηφίσωμαι τοῦ Θεοῦ ἐν τοῖς λόγοις μου, εὐθέως ὑποπτεύσει με Εὔα ὡς μισόθεον, [para]καὶ γενήσομαι πρὸς ταύτην ἀπαράδεκτος· οὐδὲ γὰρ οἶδα τέως τὴν γνώμην [para]ταύτης· ἐὰν ἰσχύσω διαστρέψαι, ἔστιν ὅτι στέργει με· [para]ἐντέχνως οὖν προσέλθω τοῖς λαβοῦσι ζωὴν τὴν αἰώνιον.»

book 13 Ὡς δὲ τοιαῦτα διενοήθη, ὁ ὄφις πρὸς τὴν Εὔαν ἐφθέγξατο λέγων· [para]«Συνήδομαι τῇ ἀφθονίᾳ τῆς τρυφῆς ἧς ἐλάβετε, ἐπαινῶ τοῦ Θεοῦ τὴν ἀλήθειαν, ὅτι οὐκ ἐψεύσατο πρὸς ὑμᾶς διηγούμενος ὡς μεγάλη ἡ δύναμις τούτου τοῦ φυτοῦ ἐστι· [para]τῶν καλῶν γὰρ καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φαύλων γνῶσιν δίδωσι· μόνος Θεὸς δὲ διαγινώσκει [para]διάκρισιν τὴν πάντων· διὰ τοῦτο τὴν τούτου μετάληψιν παρήγγειλε μὴ ἔχειν, ὃ παρέχει ζωὴν τὴν αἰώνιον.

book 14 Μὴ γὰρ οὐκ οἶδα ὅτι τὴν κτίσιν καλὴν ὁ Θεὸς ἀπειργάσατο πᾶσαν; [para]Ὁ πάντα οὖν καλὰ ποιήσας πῶς φυτεῦσαι ἠνείχετο παραδείσου εἰς μέσον τὸν θάνατον; Οὐχ ὑπάρχει πρόσκομμα τὸ φυτὸν τὸ τῆς γνώσεως· οὐδὲ γὰρ ἀποθνῄσκετε ἐὰν τοῦτο φάγητε· [para]ὡς θεοὶ δὲ διὰ τούτου νῦν γενήσεσθε ὥσπερ ὁ κτίστης, τοῦ διακρίνειν [para]καλῶν καὶ φαύλων τρόπους· διὰ τοῦτο ἐν μέσῳ προτέθειται [para]παντὸς τοῦ παραδείσου, ὥσπερ ἔχοντα ζωὴν τὴν αἰώνιον.»

book 15 Αὕτη οὖν ἰδοῦσα τὸ δένδρον ὡς ἔστιν εὐπρεπὲς καὶ ἐνάρετον Εὔα, [para]ἐφλέγετο καὶ πρὸς τὴν γεῦσιν ταῖς ἐλπίσιν ἐπείγετο· λογισμοῖς ἑαυτὴν συνεκίνησεν, «Ὁ μηνύσας, λέγουσα, οὐκ ἐχθρὸς τοῦ Θεοῦ ἐστιν; Ποίαν ἔχθραν γὰρ κέκτηται ὁ ὄφις πρὸς τὸν πλάσαντα; [para]Τὸ φυτὸν δὲ καὶ τῇ θέᾳ ἐστὶ πάγκαλον· σπεύσω πρὸς βρῶσιν θεοποιΐας [para]καὶ ἀπολαύσω τούτου οὗ τὴν θέαν ὁρῶσα μαραίνομαι, καὶ δώσω τῷ ἀνδρί μου ἵνα σχῶμεν τὴν ζωὴν τὴν αἰώνιον.»

book 16 Νῦν ἐδέξω θανατηφόρον, ὦ τάλαινα Εὔα, καὶ ἔφαγες τούτου· [para]τί τρέχεις οὖν συναπολέσαι καὶ τὸν ἄνδρα τὸν ἴδιον; Ἀκριβῶς ἑαυτὴν κατεξέτασον, εἰ ὃ προσεδόκησας διὰ γεύσεως γέγονας, εἰ θεὸς εἶ, ὡς ἤλπισας· γνῶθι τοῦτο πρότερον, [para]καὶ εἶθ’ οὕτως, πρὸς τὴν γεῦσιν καὶ τὸν ἄνδρα σου, γύναι, προτρέπου· μὴ οὖν ποιήσῃς [para]συγκτήτορα τὸν ἄνδρα ἀπωλείας· τί σπεύδεις νομίζουσα [para]ὡς βρῶσίς σοι παρέσχεν ἡ τοῦ ξύλου 〈τὴν ζωὴν τὴν αἰώνιον〉;

book 17 Ὅτε τῷ δένδρῳ ἐπιτερφθεῖσα ἀπώλετο—οὐ γὰρ ἀπήλαυσεν Εὔα—, [para]ἐσπούδασε καὶ ἐπεδίδου καὶ Ἀδὰμ τοῦ καρποῦ αὐτοῦ, καὶ ὡς μέγιστον δῶρον προσφέρουσα οὕτως διεγίνετο· πρὸς αὐτὸν δὲ ἐφθέγγετο· «Θησαυρὸν παρετρέχομεν μέχρι νῦν, ὦ σύζυγε, [para]καὶ τρυφὴν τὴν μακαρίαν ἐφοβούμεθα· νῦν ἔγνων, ἄνερ, καὶ ἐπειράθην [para]ὡς ἄκαιρον δειλίαν ἐκρατοῦμεν· καὶ γὰρ ἐγὼ ἔφαγον καὶ ζῶσά σοι παρέστην καὶ ἀπέχω 〈τὴν ζωὴν τὴν αἰώνιον〉.

book 18 Ὑπάρχει μᾶλλον ὡς ἔχων πεῖραν ὁ λόγος τοῦ μηνύσαντος βέβαιος ὄντως· [para]φαγοῦσα γὰρ οὐκ ἐνεκρώθην, ὡς Θεὸς προηγόρευσεν, ἀλλὰ ζῶσά σοι νῦν παραγέγονα, καὶ σχηματισμός ἐστι τοῦ Θεοῦ τὸ παράγγελμα· εἰ γὰρ ἦν ἀληθέστατον, ἄρτι συνεθρήνεις με [para]ὡς θανοῦσαν καὶ κειμένην πρὸς τὸν θάνατον. Δέχου οὖν, ἄνερ, καὶ κατατρύφα· [para]προσλάμβανε ἀξίαν διὰ τούτου τὴν θείαν καὶ ἄχραντον· [para]θεὸς γενήσει ὥσπερ ὁ παρέχων 〈τὴν ζωὴν τὴν αἰώνιον〉.»

book 19 Ὁ μὲν οὖν ὄφις, ὡς φθάσας εἶπον, ἐγγίσαι τῷ Ἀδὰμ οὐκ ἐθάρρησε τότε, [para]φοβούμενος μὴ διαμάρτῃ τῆς ἐλπίδος ἧς ἔσπευδεν, ἀλλὰ ἄλλος ἐφάνη δεινότερος καὶ ὀφιωδέστερος ὄφις τούτου τοῦ ὄφεως. Ὃν γὰρ ὄφις οὐκ ἔδακεν, αὕτη ἐθανάτωσε· [para]κολακεύουσα γὰρ τότε τὸν ἰὸν αὐτῆς τούτῳ ἐμβάλλει, καὶ ἑαυτήν τε [para]κἀκεῖνον ἀπορρήσσει, καὶ σκευάζει ἀπάτῃ τῆς βρώσεως [para]νεκροὺς ὀφιοπλήκτους ἀπολέσαντας ζωὴν τὴν αἰώνιον.

book 20 Ὑπὸ οὖν ταύτης πολιορκεῖται Ἀδὰμ τῆς ἀπάτης ὁ δείλαιος πρώην· [para]μιᾷ μὲν γὰρ πληγῇ τιτρώσκει διὰ βρώσεως ἅπαντας· διὰ τοῦτο δὲ οὕτως ὡς ἄτακτος ἐν τοῖς πόνοις ἅπασιν ἐπὶ γῆς κατεβέβλητο· πρὸς νηστείαν γὰρ σύμμετρον ὄντως καὶ ὠφέλιμον, [para]μὴ μεθύειν ἀκρασίᾳ, οὐκ ἠνέσχετο· χριστιανῶν δὲ πάντα τὰ γένη [para]νηστείᾳ προσεθίζειν καὶ ἐρίζειν ἀγγέλοις ἐπείγονται, [para]ἐλπίζοντα ἐντεῦθεν προσλαμβάνειν τὴν ζωὴν τὴν αἰώνιον.

book 21 Μεγάλη ἐστὶν ἡ νηστεία πρὸς ἣν ὁ Ἀδὰμ ἐκεκλήρωτο πρώην· [para]ἐν μόνοις γὰρ φυτοῖς ὑπῆρχεν ἡ τροφὴ τῷ γεννήτορι· ἀκρατὴς δὲ καὶ οὗτος ἐγένετο. Νῦν παντοδαπής ἐστι τῶν βρωμάτων ἀπόλαυσις, τῶν ἰχθύων τὰ ἥδιστα, ὄρνεις καὶ τετράποδα, [para]τῶν φυτῶν καὶ τῶν σπερμάτων τὰ ποικίλματα, 〈αἱ〉 μαγγανεῖαι αἱ τῶν τρυφώντων, [para]τῶν τραπεζῶν ἡ χάρις ἡ κινοῦσα ἡμᾶς πρὸς τὴν ὄρεξιν [para]τὴν τῆς γαστριμαργίας, 〈ἀφαιροῦσα δὲ ζωὴν τὴν αἰώνιον〉.

book 22 Νῦν ταῦτα λέγων, μὴ ἐρεθίσω πολλοὺς πρὸς γυμνασίαν παμφάγον, 〈ὦ〉 φίλοι· [para]μὴ δείξω δὲ τοῦ πρωτοπλάστου λιχνοτέρους ἐν βρώμασι· τὸν γὰρ ζῆλον ἡμῶν, ὦ πιστότατοι, περὶ τὴν ἐγκράτειαν τὴν μεγίστην ἐκήρυξα· λειτουργεῖν γὰρ ἐπείγεσθε, τὴν νηστείαν στέργοντες, [para]ἐτησίως νῦν δεκάτας τῷ Θεῷ ἡμῶν, ὥσπερ Ἑβραῖοι ἐκ τῶν χρημάτων [para]προσέφερον Κυρίῳ τὰς δεκάτας, τῷ τύπῳ σημαίνοντες τὴν μέλλουσαν νηστείαν δι' ἧς ἔχομεν ζωὴν τὴν αἰώνιον.

book 23 Ὁ ἀριθμὸς οὖν ἐν τῇ νηστείᾳ δηλούσθω ὁ τῆς δεκατώσεως, φίλοι· [para]ἑπτὰ μὲν γὰρ αἱ ἑβδομάδες τῆς νηστείας ὑπάρχουσιν· αἱ δὲ πέντε ἡμέραι ὑπόψηφοι ἐφ' ἑκάστῃ δείκνυνται ἑβδομάδι νηστεύσιμοι, ὡς ὑπάρχειν τριάκοντα πέντε ἃς νηστεύομεν, [para]καὶ νυχθήμερον πρὸς τούτοις τὸ τοῦ σαββάτου τοῦ σωτηρίου ἔχομεν πάθους· [para]τριάκοντα ἓξ οὖν ἡμέραι πᾶσαι καὶ ἥμισυ γίνονται, [para]δεκάτωσις τοῦ ἔτους, δι' ἧς κτώμεθα ζωὴν τὴν αἰώνιον.

book 24 Σῶτερ τοῦ κόσμου, σὲ προσκυνοῦντες λατρείαν λογικήν σοι προσφέρομεν ταύτην· [para]φιλάνθρωπε καὶ ἐλεῆμον, σὺ τοὺς πάντας ἐλέησον· καὶ ἐσθίοντες γὰρ καὶ νηστεύοντες, πάντες σε δοξάζομεν τὸν 〈τοὺς πάντασ〉 ῥυόμενον ἐκ τῆς πλάνης οὓς ἔπλασας· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, [para]εἰ καὶ ἄνθρωπος ἐγένου, ὡς ἠθέλησας, ἐκ τῆς παρθένου καὶ παναγίας [para]Μαρίας τῆς ἀχράντου Θεοτόκου· διὸ σοὶ προσπίπτομεν·

book 24 πρεσβείαις τῆς μητρός σου, δὸς τοῖς δούλοις σου ζωὴν τὴν αἰώνιον.

book pro 1 Ἐπὶ Νῶε τὴν ἁμαρτίαν κατέκλυσας, [para]ἐπ' ἐσχάτων διὰ βαπτίσματος ἔσωσας [para]τὸ γένος τῶν ἀνθρώπων, Χριστὲ ὁ Θεός· [para]μέλλεις δὲ πάλιν διὰ πυρὸς ἀνακαθαίρειν τὴν γῆν· ὅθεν αἰτοῦμεν τοὺς ἐκτενῶς ἀνυμνοῦντάς σε, ὡς εὔσπλαγχνος, [para]ῥῦσαι πάντας τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς, λυτρωτὰ τοῦ παντός.

book pro 2 Τῶν ἁμαρτιῶν τὸ πέλαγος ἐπὶ Νῶε [para]ἐν ὀργῇ θυμοῦ κατέκλυσας σῇ ἰσχύϊ· [para]ἐπ' ἐσχάτων δὲ κόσμον, Χριστὲ ὁ Θεός, [para]ἀνεκαίνισας τῷ βαπτίσματι καὶ πυρὶ τὴν γῆν ὕστερον καθαρίσεις· ἀλλὰ σῶσον ἡμᾶς τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς, λυτρωτὰ τοῦ παντός.

book 1 Ἀφορῶν τὴν ἀπειλὴν τῶν ὑπευθύνων ἣν ὑπέμειναν ποτε ἐπὶ τοῦ Νῶε, τρέμω ἐνθυμούμενος τὰ δεινά μου ἐγκλήματα γέμοντα κατακρίσεως. [para]Ἐκείνοις μὲν ὁ πλάστης ἠπείλησεν προθέσμως χρόνον τῆς μετανοίας ἀναμένων αὐτῶν· ἡμῖν δὲ ἡ ὥρα τῆς τελευταίας ἡμέρας οὐκ ἐπεγνώσθη —τὸ πότε ἥξει οὔτε ἀγγέλοις ἀπεκαλύφθη— ἐν ᾗ Χριστὸς ἐλεύσεται ὁ πρὸ αἰώνων Κύριος νεφέλαις ἐποχούμενος, ὡς Δανιὴλ ἑώρακε, τοῦ διακρῖναι τὴν γῆν· πρὶν ἐπέλθῃ οὖν ἡμῖν ἡ τοῦ τέλους ῥοπή, [para]ἱκετεύσωμεν Χριστὸν ἐκβοῶντες αὐτῷ· [para]Ῥῦσαι πάντας τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς,

book 1 λυτρωτὰ τοῦ παντός.

book 2 Ἵνα γνῶμεν οὖν ἡμεῖς τὰ ἐπὶ Νῶε, τῶν ῥημάτων τῆς γραφῆς ἀκροασθῶμεν. Τοῦτο γὰρ ἐφθέγξατο πρὸς αὐτὸν ὁ φιλάνθρωπος βλέπων τὰς ἀδικίας τῶν πρίν· [para]«Καιρὸς παντὸς ἀνθρώπου ἐναντίον μου ἥκει, ὅτι ἡ γῆ ἐπλήσθη ἀδικίας πολλῆς· νῦν οὖν καταφθείρω αὐτοὺς καὶ πᾶσαν τὴν γαῖαν τοῦ ἐξαρθῆναι τὴν ἁμαρτίαν, ὅτι ἐπλήσθη φθορᾶς τὰ πάντα. Ὑπάρχεις δὲ μονώτατος δίκαιος καὶ εὐάρεστος ἀπὸ τῆς γενεᾶς αὐτῶν· δίκην γὰρ ῥόδου ἤνθησας ἐν μέσῳ τῶν ἀκανθῶν· ἐνωτίσθητι οὐκοῦν σὺ ῥημάτων ἐμοῦ [para]τοῦ ποιῆσαι θέλημα τὸ ἐμὸν ἐκβοῶν· [para]Ῥῦσαι πάντας ...

book 3 Νῦν οὖν ἄγαγε ὕλην ἀσήπτων ξύλων, καὶ ποιήσεις κιβωτὸν καθάπερ θέλω, ἥντινά σοι δείκνυμι, ὡς εἰς μήτραν βαστάζουσαν σπέρματα μελλουσῶν γενεῶν. [para]Καὶ ταύτην ὥσπερ οἶκον ἐν τύπῳ ἐκκλησίας ποίησον ἁρμοδίως, ὡς ἐντέλλομαί σοι· νοσσιὰς ποιήσεις τὴν κιβωτὸν ἀσφαλτώσας, τριακοσίων πηχῶν τὸ μῆκος, πεντήκοντα δὲ τὸ πλάτος πάλιν, τὸ ὕψος δὲ τριάκοντα· ἐπισυνάγων ποίησον εἰς πῆχυν ἕνα ἄνωθεν· διώροφα, τριώροφα σκευάσεις τὴν

κιβωτόν, τὴν δὲ θύραν τέλεσον ἐκ πλαγίων αὐτῆς· [para]καὶ ἐν αὐτῇ φυλάξω σε βοῶντά μοι πιστῶς· [para]Ῥῦσαι πάντας ...»

book 4 Ὅτε ἤκουσε ταῦτα ἐκ τοῦ Κυρίου, οὐ παρήκουσεν οὐδὲν τῶν λεγομένων, ἀλλὰ ἐπειγόμενος ἐκτελέσαι τὸ πρόσταγμα τάχιον, καθὼς ἔφη Θεός, [para]ποιεῖται τὴν σχεδίαν ὡς ἔντιμος οἰκέτης, οὕτως καθὼς ὁ πλάστης προσέταξεν αὐτῷ. Νοσσιὰς ὀρνέων καὶ ταμιεῖα θηρίων ποιεῖ ἐν ταύτῃ, καθάπερ γράφει· τὰ περικύκλῳ τῶν ὑπερῴων, κατάγαια, διώροφα, καταφυγὴν τοῖς κτήνεσιν, ὁμοίως καὶ τριώροφα τοῖς πετεινοῖς καὶ ἑρπετοῖς, τὰ πάντα πίστει ἐκτελῶν ἵνα μὴ τῶν τοῦ Θεοῦ παρακούσῃ ῥητῶν [para]καὶ ὀφθῇ ὑπεύθυνος, ὡς μὴ κράζων αὐτῷ·

book 4 Ῥῦσαι πάντας τῆς ὀργῆς ...

book 5 Συνετῶς ὁ ἐκλεκτὸς πληροῖ τὸ ἔργον· ἀσυνέτων δὲ λαὸς ὁρῶν τὰ ἔνδον ἔγνω τὸ τελούμενον καὶ τὸ δρᾶμα ἀκούσαντες ἔδοξαν φαντασίαν ὁρᾶν. [para]Ὁ δίκαιος δὲ πίστει ἐβόα τοῖς ἀπίστοις· «Παύσατε μέχρι τούτου τὴν ὀργὴν τοῦ Θεοῦ· ἐν τάχει γὰρ ἥξει, καὶ οὐ μὴ συγχωρηθείη ἡ ἀπιστία τῶν ἐν τῷ βίῳ, εἰ μὴ τὸ τάχος ἐπιστραφῆτε. Σφοδρὸς γὰρ καταβήσεται κατακλυσμὸς αἰφνίδιον, καὶ ὄρη ἅπερ βλέπετε καλύψουσι τὰ ὕδατα, καὶ καταφθείρουσι τὴν γῆν ἣν ἀπόλλυτε ὑμεῖς ἐν τοῖς ἔργοις ὑμῶν· [para]ἀλλὰ κλαύσατε πικρῶς καὶ κράξατε Θεῷ· [para]Ῥῦσαι πάντας ...»

book 6 Καθορῶν τῶν δυσμενῶν τὴν ἀπιστίαν καὶ τὴν ἄμετρον αὐτῶν ἀπανθρωπίαν, Νῶε διετρύχετο καὶ ὑπὲρ τούτων προσηύχετο ὅπως μετανοήσωσιν· [para]ὁρῶν τὴν οἰκουμένην σχεδὸν συντελουμένην, ἔστενεν ἐν καρδίᾳ ἐκβοῶν τῷ λαῷ· «Ἐκφύγετε τάχος ἐκ τῆς δεινῆς ἁμαρτίας, ἀποσοβοῦντες τὰς πονηρίας, μετανοοῦντες ἐφ' οἷς ἐδρᾶτε· τὸν ῥύπον τῆς ψυχῆς ὑμῶν δάκρυσιν ἀποσμήξατε, τὸ κράτος τοῦ Θεοῦ ἡμῶν πίστει ἐξιλεώσασθε.

book 6 Πρὶν οὖν ἐπέλθῃ ὑμῖν ἡ αἰφνίδιος ὁρμὴ τῆς ὀργῆς τοῦ Θεοῦ [para]ἀπαλείφουσα ὑμᾶς, βοήσατε αὐτῷ· Ῥῦσαι πάντας ...»

book 7 Αὐτοὺς θέλων παιδεῦσαι τῷ παραδόξῳ, ἐπακούσας τῇ εὐχῇ 〈τῇ〉 τοῦ δικαίου, ἅπαντα συνήγαγεν ἐν σοφίᾳ ὁ Κύριος κτήνη τὰ ἐν τοῖς ὄρεσιν [para]ἐνώπιον τοῦ Νῶε, ὡς πρὶν τῷ πρωτοπλάστῳ, θῆρας δὲ δεδοικότας τὴν ὀργὴν τοῦ Θεοῦ. Τὰ κτήνη πτοοῦνται, καὶ οἱ βροτοὶ ὡς κτηνώδεις οὐκ ἀπωθοῦντο τὴν πονηρίαν, ἀλλὰ ἡγοῦντο ὡς φάσμα βλέπειν· πρὸς τούτους δὲ ἐφθέγγετο Νῶε ὁ τρισμακάριος· «Τοῖς λόγοις μου οὐ πείθεσθε· πείσει ὑμᾶς τὰ ἄλογα νυνὶ ἅπερ βλέπετε, ὅτι λύκοι καὶ ἀμνοὶ ἵστανται ὁμαδόν, [para]ἑρπετὰ μετὰ πτηνῶν, καὶ οὐ κράζετε· [para]Ῥῦσαι πάντας ...;»

book 8 Ἱκετεύων συνετῇ διδασκαλίᾳ, οὐ μετέτρεπεν υἱοὺς τῆς ἀπειθείας· ὅθεν καὶ προσέθηκαν τοῖς κακοῖς καὶ ἐπέμειναν πωρωθέντες οἱ ἄθλιοι. [para]Τῇ αὐτῇ ἀσπλαγχνίᾳ ἐφάνη ἐν Αἰγύπτῳ ἐπὶ τῇ ἀπειθείᾳ τοῦ λαοῦ Φαραώ· σκληρὰ γὰρ καρδία ἐκτυφλωθεῖσα ἀνοίᾳ οὐ κατευθύνει ἕως θανάτου· ὃ καὶ ἐδείχθη ἐπ' ἀμφοτέρων· ἀπολώλαντο πρότερον κατακλυσμῷ οἱ γίγαντες, ὡσαύτως οἱ Αἰγύπτιοι σὺν Φαραὼ εἰς θάλασσαν, ὥσπερ ἐν χρόνοις τισὶν ὁ λαὸς ὁ ἀσεβὴς ἐν Σοδόμοις οἰκῶν, [para]ἐξ ὧν ἔσωσε Θεὸς κραυγάζοντα τὸν Λώτ·

book 8 Ῥῦσαι πάντας ...

book 9 Ὁμαδὸν ἠθροισμένων θηρῶν ἀγρίων, ἑρπετῶν καὶ πετεινῶν ὁμοῦ παρόντων (πάντα γὰρ συνήχθησαν τῇ προστάξει τοῦ κτίσαντος εἰσελθεῖν εἰς τὴν λάρνακα), [para]εὐχῇ δὲ ἀδιστάκτῳ ἐβόα ὁ θεράπων ἀμέμπτως τηρηθῆναι ἐν πᾶσι τῷ κριτῇ. Σοφῶς δὲ εἰσάγων τὰ ἀναρίθμητα ζῷα ἐν τοῖς ταμίειοις τῆς τριωρόφου, καθάπερ εἶπεν ὁ παντοκράτωρ, ζυγὰ μὲν τὰ ἀκάθαρτα, τὰ καθαρά, ὡς γέγραπται, ἑπτὰ ἑπτὰ συνέκλεισεν, ἅπερ καὶ διεχώρισε τῷ ἐν ὑψίστοις βοῶν· «Μὴ παρίδῃς με, Σωτήρ, ὁ τὰ πάντα ὁρῶν, [para]ἀλλὰ σῶσόν με 〈βυθοῦ〉 βοῶντά σοι πιστῶς· [para]Ῥῦσαι πάντας ...»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 10 Ὑπερεῖδεν οὖν λοιπὸν τοὺς ἀσυνέτους καὶ τὴν ἄμετρον αὐτῶν ἀπανθρωπίαν· πάντων κατεφρόνησε καὶ τὸ μέλλον ἐφρόντισε δάκρυσιν ἱκετεύων Θεόν· «Ἐξήγαγές με πάλαι ἐκ μήτρας, ὁ Θεός μου· σῶσόν με καὶ ἐν ταύτῃ τῇ τερπνῇ κιβωτῷ· καθάπερ γὰρ τύμβῳ ἐναποκλείομαι ταύτῃ ἐξ ἧς ἐξέλθω τῇ σῇ δυνάμει ὥσπερ ἐκ τάφου σοῦ με καλοῦντος. Ἐν ταύτῃ προτυπώσω νῦν τὴν πάγκοσμον ἀνάστασιν ἐν ᾗπερ τοὺς δικαίους σου σῴζεις πυρός, καθάπερ με ἐκ μέσου 〈τῶν〉 ἀσεβῶν ἀφαρπάσας σώζεις με ἐν κλύδωνι κακῶν [para]ἐκβοῶντά σοι πιστῶς τῷ εὐσπλάγχνῳ κριτῇ· [para]Ῥῦσαι πάντας ...»

book 11 Τότε πράξας ὁ σοφὸς εὐρύθμως πάντα, διὰ ῥήματος Θεοῦ εἰσήχθη τάχος ἅμα τοῖς υἱοῖς αὐτοῦ καὶ σὺν ταῖς γυναιξὶν αὐτῶν, ἔνδοθεν ὀκτὼ μόναι ψυχαί. [para]Στενάζων δ’ ἀνενδότως ἐβόα ὁ θεράπων· «Μή με συναπολέσῃς τοῖς ἀδίκοις, Σωτήρ· αὐτὴ γὰρ ἡ κτίσις νῦν συνταράττεται ἤδη, καὶ τὰ στοιχεῖα δονοῦνται φόβῳ, τῆς οἰκουμένης συγκλονουμένης· νεφέλαι ηὐτρεπίσθησαν καὶ ὁ ἀὴρ συγκέχυται· οἱ ἄγγελοι προτρέχουσι τῆς ἀπειλῆς σου πρόδρομοι.» Τοιαῦτα λέξαντος αὐτοῦ, ἠσφαλίσατο Θεὸς 〈〉 τὴν κιβωτὸν [para]καὶ ἐσφράγισεν αὐτήν, βοῶντος τοῦ πιστοῦ· [para]Ῥῦσαι πάντας ...

book 12 Οὐρανόθεν ὁ κριτὴς κελεύει τότε, καὶ ἠνοίχθησαν εὐθὺς οἱ καταρράκται, ὄμβρους ἐπαφιόντες, ὀχετούς τε καὶ χάλαζαν εἰς τὰ πέρατα πάντα 〈τῆς γῆσ〉 · [para]πηγαὶ δὲ τῆς ἀβύσσου ἐρράγησαν τῷ φόβῳ, ὅθεν καὶ ὑπερῆλθον πάντα τόπον τῆς γῆς· ἐκάλυψαν ὄρη τὰ ὑψηλότατα λίαν, καὶ οὐχ ὡρᾶτο ξηρὰ οὐκέτι, ἀλλὰ ὑπῆρχε καθὼς τὸ πρώην. Ἀνήχθη γὰρ τὰ ὕδατα εἰς πήχεις πεντεκαίδεκα, καὶ πάντα ἐκαλύφθησαν τὰ ἀπ’ ἀρχῆς ὁρώμενα τῇ ἀπειλῇ τοῦ Θεοῦ, ὅτι ἔμειναν βροτοὶ τῇ πωρώσει αὐτῶν [para]καὶ οὐκ ἔσπευσαν πιστῶς ἐκβοῆσαι αὐτῷ· [para]Ῥῦσαι πάντας ...

book 13 Συνεπνίγοντο πλήθη τὰ τῶν ἀλόγων ἅμα αὐτοῖς τῶν λογικῶν ἀπολλυμένων· νάπαι διερρήγνυντο καὶ βουνοὶ διελύοντο δύναντες εἰς ἀπέραντον· [para]ἡ ἄβυσσος ἐξήχει, φωνὴ βροντῶν ἐκτύπει, ἀστραπαὶ δὲ σπινθῆρας ἀπέβαλλον σφοδρῶς· κατέδυσαν ὄρη ἐν καρδίαις θαλασσῶν, τῆς οἰκουμένης καταντλουμένης, σφοδρῶν ἀνέμων ὑπερφυσώντων. Ἀπόλωλαν οἱ γίγαντες, οἱ ἀπ’ αἰῶνος ἄνθρωποι, ἀπαύστως παρoργίσαντες τὸν πρὸ αἰώνων Κύριον·

book 13 ὡς ἀθετοῦντες αὐτόν, ὑπὸ πλήθους ὑετῶν κατεκλύσθησαν, [para]ἐκαλύφθησαν βυθῷ μὴ βοήσαντες· [para]Ῥῦσαι πάντας ...

book 14 Ῥαθυμίας καὶ φθορᾶς ἀφαιρεθείσης καὶ πάντων τῶν ἐν σαρκὶ καταφθαρέντων, ὄμβροι οὐκ ἐξέλιπον ἕως ὅτε ἐξήλειπτο ἅπαν γῆς τὸ ἀνάστημα· τεσσαράντα ἡμέρας καὶ νύκτας ἰσαρίθμους ὕδατα ἀνυψοῦντο ἐπὶ ὕψος πολύ. Ἐμνήσθη οὖν τότε τοῦ ἐκλεκτοῦ ὁ δεσπότης καὶ ἀναστέλλει τὰ νέφη, ἄφνω ἐξαποστείλας εἰρήνης πνεῦμα· συνέσχε γὰρ τὴν ἄβυσσον καὶ τὰς πηγὰς ἐκάλυψε, καὶ οὕτω διεχώρησαν ἐκ τῆς ξηρᾶς τὰ ὕδατα ἐν τῇ προστάξει αὐτοῦ· τῷ δεκάτῳ 〈δὲ〉 μηνί, τῶν ὀρέων, φησίν, [para]ὤφθησαν αἱ κεφαλαί, βοῶντος τοῦ πιστοῦ· [para]Ῥῦσαι πάντας ...

book 15 Ὡς δὲ ἀκαταλήπτῳ τῇ δυναστείᾳ διεχώρισε τὸ ὕδωρ ὁ πανοικτίρμων, παύσας τὸν θυμὸν αὐτοῦ εὐσπλαγχνίᾳ ἠλέησεν ἅπαντας τοὺς ἐν τῇ κιβωτῷ· [para]ἐμνήσθη τῆς ἰδίας εἰκόνος ὁ οἰκτίρμων ἥντινα καὶ ποθήσας διέπλασε χερσίν· ἐπήγαγε πνεῦμα, καὶ ἠλαττοῦτο τὸ ὕδωρ ἐπὶ ἡμέρας πολλάς, ὡς οἶμαι, καὶ ὑπεχώρει καθάπερ πρώην εἰς τὰς συναγωγὰς αὐτοῦ, καὶ ἡ ξηρὰ ἐδείκνυτο. Διὸ καὶ ἐπεκάθισεν ἡ κιβωτός, ὡς γέγραπται, εἰς ὄρη τὰ Ἀραράτ, καὶ ἐπαύθη ὁ κλύδων παραυτὰ ἐξ αὐτῆς, [para]εὐχομένου τοῦ πιστοῦ ἱκεσίᾳ δεκτῇ·

book 15 Ῥῦσαι πάντας ...

book 16 Μετὰ ταῦτα ὁ χορὸς τῶν ἀσωμάτων τὸν ἐν σώματι λαὸν ἰδὼν φθαρέντα, τότε ἀνεβόησεν ὅτι «ἄρτι κρατήσωσιν δίκαιοι τῶν περάτων τῆς γῆς»· [para]ἡδέως γὰρ ὁ πλάστης ὁρᾷ τοὺς κατ’

εἰκόνα, ὅθεν κατ' ἰδίαν σῴζει τοὺς ὁσίους αὐτοῦ. Ἀνοίξας δὲ Νῶε κατανοεῖ τὸν αἰθέρα καὶ ἀνεβόα τοῖς ἐκ τῶν σπλάγχνων· «Μὴ ῥαθυμεῖτε, ἀλλὰ θαρσεῖτε». Εὐθὺς δὲ ἐξαπέστειλε τὸν κόρακα ὁ ὅσιος, καὶ οὗτος οὐχ ὑπέστρεψε, παραχειμάσας ἔξωθεν·

book 16 καὶ γὰρ πάντοτε ποθεῖ τὸν χειμέριον καιρόν, συγχαίρων τῷ βορρᾷ· [para]ὅθεν οὐκ ἀνέλυσε πρὸς τοὺς κράζοντας· [para]Ῥῦσαι πάντας ...

book 17 Ἀλλ' εὐθὺς περιστερὰν ἐξαποστέλλει, τὴν ἀκέραιον οὖσαν ἐν τοῖς ὀρνέοις, ἥτις καὶ ὑπέστρεψε, μὴ εὑροῦσα ἀνάπαυσιν, πρὸς τὸν Νῶε τὸν δίκαιον· [para]ὃς ἐπισχὼν ἡμέρας ἑπτὰ ἐξαποστέλλει ταύτην, καὶ ἐπανῆλθε πρὸς ἑσπέραν σχεδὸν, κατέχουσα κάρφος ἐν στόματι τῆς ἐλαίας, Θεοῦ σημαῖνον τῷ πανολβίῳ τὴν εὐσπλαγχνίαν ἐν μυστηρίῳ. Εὐθὺς οὖν ἐξελήλυθε Νῶε ἀπὸ τοῦ μνήματος κελεύσει τοῦ προστάξαντος, μετὰ πάντων τῶν ἔνδοθεν, οὐχ ὥσπερ πρώην Ἀδάμ· οὐ γὰρ ἔφαγε φυτοῦ θανατοῦντος αὐτόν, [para]ἀλλ' ἐβλάστησε καρπὸν μετανοίας βοῶν· [para]Ῥῦσαι πάντας ...

book 18 Νεκρωθείσης τῆς φθορᾶς καὶ ἀδικίας, κραταιοῦται ὁ εὐθὴς τῇ διανοίᾳ πίστει ὡς εὐάρεστος, καὶ οἱ τούτου ἀπόγονοι λάμψαντες ἐπὶ γῆς, ὥσπερ χνοῦς. [para]Ὁ δίκαιος δὲ τότε θυσίαν ἀναπέμπει ἄμωμον τῷ Κυρίῳ ἱκεσίᾳ πολλῇ· ὠσφράνθη δ' ὁ πλάστης ὥσπερ ὀσμῆς εὐωδίας, καὶ παρεκλήθη φιλανθρωπίᾳ, καὶ ὅρκῳ στήσας ἐπαγγελίαν βοᾷ· «Οὐκέτι φθείρονται κατακλυσμῷ τὰ σύμπαντα, εἴπερ καὶ πάντες ἔγκεινται τῇ πονηρίᾳ ἄνθρωποι·

book 18 νῦν οὖν ἀνίστημι αὐτοῖς διαθήκην ἀρραγῆ, τὸ τόξον μου δεικνὺς [para]εἰς σημεῖον τοῖς ἐν γῇ, ὅπως κράζωσί μοι· [para]Ῥῦσαι πάντας ...»

book 19 Ὅτε εἶδεν ὁ σοφὸς τὴν γαῖαν πᾶσαν ἐξ ἀνθέων ποικίλων στεφανουμένην, τότε κατεβάλετο ταῖς ἀρούραις τὰ σπέρματα, μένων τὴν εὐφορίαν τῆς γῆς· φυτεύει ἀμπελῶνα καὶ βάλλει ἐλαιῶνα· σύντομον δὲ παρεῖχον εὐκαρπίαν αὐτῷ. Τρυγήσας οὖν Νῶε τὴν λύπην παραμυθεῖται, καὶ ἐμεθύσθη πιὼν ἀμέτρως καὶ ἐγυμνώθη ὑπνῶν καὶ ῥέγχων· μὴ φέρων οὖν ὁ βάσκανος βλέπειν βροτὸν ἀμέριμνον, τὸν ἕνα ἐξηπάτησε τῶν ἀδελφῶν ὁ δόλιος ἐμπαίζειν ἰδίῳ πατρί· καὶ ἐκνήψας ὁ σοφὸς καταρᾶται τῷ Χάμ, [para]τοὺς δὲ δύο εὐλογεῖ σκεπάσαντας βοῶν· [para]Ῥῦσαι τούτους ...

book 20 Ὑποπίπτει ὁ Ἀδὰμ τῇ παραβάσει, καὶ ὑπεύθυνος ὁ Χὰμ εὑρέθη ταύτῃ· ταῦτα δὲ πρὸς ἔλεγχον ἡ γραφὴ ἀνιστόρησεν ἅμα καὶ νουθεσίαν ἡμῶν. [para]Τὴν πλάνην οὖν φυγόντες, νικήσωμεν τῇ πίστει πᾶσαν τὴν πανουργίαν τοῦ δολίου ἐχθροῦ· ὑπάρχοντες τέκνα τῆς ἀμώμου κολυμβήθρας, μὴ ὑπαχθῶμεν τῇ ἁμαρτίᾳ, ὥσπερ Ἰούδας φιλαργυρίᾳ· ἐκεῖνος γὰρ κατέλιπεν ἄμπελον τὴν ἀληθινὴν καὶ ἀκάνθας ἐβλάστησε καὶ χερσωθεὶς ἀπώλετο.

book 20 Ἐσώμεθα οὖν ἄμπελος τοῦ Κυρίου σαβαώθ, οἱ ποθοῦντες Χριστόν, [para]ἔργα ἔχοντες καλὰ καὶ βοῶντες αὐτῷ· [para]Ῥῦσαι πάντας τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς, λυτρωτὰ τοῦ παντός.

book pro Ὡς καθαρὰν θυσίαν καὶ ἄμωμον προσφορὰν ἀναιμωτὶ ἐδέξω τὸν ἄκακον Ἰσαὰκ ἐκ πατρὸς προσαγόμενον ὑπὲρ υἱῶν ἀγαπώντων σε· [para]τῆς γὰρ φιλίας θριαμβεύσας τὴν γνώμην, τῆς ἀτεκνίας τὸν πρεσβύτην ἐρρύσω, φιλάνθρωπε, ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν 〈ἡμῶν〉.

book 1 Εἰς ὄρος ἀναβαίνοντα σὲ τὸν πρεσβύτην ὁ νέος ἐγὼ ζηλῶσαι θέλω καὶ ναρκοῦσί μου πόδες· [para]εἰ γὰρ καὶ τὸ πνεῦμα πρόθυμον, ἡ σὰρξ ἀσθενής· ὦ ψυχή μου, θάρρησον θεωροῦσα τὸν Ἀβραὰμ νῦν γῆρας ἀποθέμενον καὶ νεάζοντα· οὐ ἔκαμνον πόδες, ἀλλ' ἠνδρίζετο γνώμη· ἠγνόει τὸν τόπον καὶ ἀπῄει τῷ τρόπῳ ὁδηγοῦντος αὐτὸν τοῦ καλέσαντος, [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 2 Ἰσχὺς οὖν ἦν ἡ πίστις σου, ὅθεν ὁ πόθος πολὺς ἦν ὁ σὸς τοῦ ἐκτελέσαι τοῦ καλοῦντος τὴν βουλήν. [para]Τί δέ σοι ὁ καλῶν προσέταξεν ἀκούσωμεν· «Λάβε παῖδα τὸν ἐκ τῶν σῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαγόνων ὅνπερ ἐν γήρει ἔσχες παραμύθιον, καὶ σφάξον μοι.» Ὢ πόσης ὑπῆρχε τούτῳ λύπης τὸ ῥῆμα· οὐκ εἶπε γὰρ παῖδα καὶ ἠρκέσθη τῷ λόγῳ, ἀλλὰ ἠρέθιζε σπλάγχνα γέροντος, ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 3 Σκληρὸν μὲν τὸ πρόσταγμα· σὺ δὲ πρὸς τοῦτο, πρεσβύτα, ὀξύς· τοῦ γὰρ παιδός σοι ποθεινότερος Θεός· [para]διὸ πρὸς τὸ ῥηθὲν ἀμφίβολος οὐ γέγονας. Πῶς οὐκ εἶπας· «Διὰ τί με πατέρα καὶ οὐ φονέα τέκνου προσηγόρευσας, ὦ δέσποτα; Ὃ γίνομαι λέγε, ὃ γέγονα μὴ κάλει· καιρὸν γὰρ ὀλίγον ὠνομάσθην γενέτης, εἰς αἰῶνα δὲ σφαγεὺς γόνου κηρύττομαι· [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 4 Τί ἄρα οἱ ὁρῶντές με σφάττοντα τέκνον λογίσονται νῦν; Μανέντα, οἴμοι, ἢ ἐκστάντα τῶν φρενῶν· [para]καὶ λῆρόν μου τὸ γῆρας δόξωσιν οἱ ἀκούοντες. Πῶς χερσὶ δὲ ταῖς ἰδίαις ὀλέσω οὗ τοῖς δακτύλοις ἤλπιζον κλεισθῆναί μου τὰ βλέφαρα; Ὃν ἔλυσα σπαργάνων πῶς δεσμήσας φονεύσω; Ὃν βλέπων σκιρτῶντα, σὲ εὐλόγουν τὸν δόντα· οὗ γέγονα τροφεύς, σφαγεὺς οὐ γίνομαι, ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 5 Ὅταν μὲν τῷ κάλλει σου βλέψω, ὦ τέκνον, πληροῦμαι χαρᾶς· ὅταν δὲ πάλιν τοῦ δεσπότου ἀκούσω, [para]ὁ γέλως μου εἰς πένθος τρέπεται καὶ δάκρυα. Οἴμοι, σπλάγχνον, τὴν ψελλίζουσαν γλῶσσαν ἄφωνον δείξει χεὶρ τοῦ σε γεννήσαντος ἡ σφάζουσα· τὰ δὲ βλέφαρά σου οὐ καμμύσει ἡ Σάρρα· τὰ ῥοδίζοντα χείλη νῦν ἀδόνητα δείξω ὅτι πρόσταγμα τελῶ τοῦ δώσαντος, [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 6 Ναρκῶσαν τὴν χεῖρά μου καὶ δεδοικῶσαν τὸ ξίφος κρατεῖν τίς κραταιώσει καὶ διδάξει φονεύειν [para]οὐ μόσχους σου, οὓς ἔθος ἔσχηκεν, ἀλλὰ τέκνον μου; Τίς ὠμὸν δὲ καὶ ἀνοίκτειρον δείξει τὸν εὐσπλαγχνίας χάριν εἰσδεξάμενον τοὺς ἅπαντας; Ὁ πρώην ἀγνώστους δεξάμενος καὶ θρέψας, σὲ τὸν κληρονόμον σὸς πατὴρ πῶς ὀλέσω; Τίς ἀκούσεται κἀμὲ οὐ φεύξεται; Ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἐμῶν.

book 7 Ἀκούσει τοὺς λόγους σου πάντας ⟨ἡ⟩ Σάρρα, ὦ δέσποτά ⟨μου⟩, καὶ τὴν βουλήν σου ταύτην γνοῦσά μοι λέξει· [para]Εἰ αὐτὸς ὁ διδοὺς ἐλάμβανε, τί παρέσχηκε; Σύ, πρεσβῦτα, τὸν ἐμὸν ἔα πρός με, καὶ ὅταν θελήσῃ τοῦτον ὁ καλέσας σε, δηλώσῃ μοι· ὁ πρώην δι᾽ ἀγγέλου τόκον τούτου σημάνας, τὸν φόνον μοι αὖθις ὡς ἂν θέλῃ, δηλώσῃ· οὐ πιστεύω σοι τὸ τέκνον, οὐ δώσω σοι, [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 8 Βραχὺν καιρὸν ζήσουσα, τούτῳ συζήσω· μετὰ τὸ θανεῖν, ἐὰν θελήσῃς. τοῦτο δρᾶσον ἐν αὐτῷ· [para]μὴ λείπῃ με καὶ λύπη κτείνῃ με, σοῦ αἰτέομαι. Μόλις τούτου ἐπετύχομεν, ἄνερ, καὶ παρ᾽ ἐλπίδας παῖδα ἐκ κοιλίας μου ἐκτησάμεθα· εἰ οὖν πρώην τυχόντες ἀποτύχωμεν ἄρτι, ἢ τάχα κυῆσαι, θηλαῖς θρέψαι ὀφείλω, καὶ ἀκμάσαντα δοῦναι τῷ δώσαντι; [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 9 Ῥοπὴν ἐμοῦ ἀπόστηθι· τοῦτον ἀγκάλαις λαμβάνω ἐγὼ πόνον γαστρός μου· κορεσθῆναι γὰρ ζητῶ· [para]εἰ χρῄζει θυσιῶν ὁ καλέσας σε, λάβῃ πρόβατον. Οἴμοι, τέκνον Ἰσαάκ, εἰ κατίδω σοῦ ἐπὶ γῆς ⟨τὸ⟩ αἷμα ἐκχυνόμενον ... μὴ γένοιτο· φονεύσει με πρώτην, εἶθ᾽ οὕτως σε φονεύσει· πρὸ σοῦ τὴν τεκοῦσαν, μετ᾽ αὐτὴν σὲ τὸν τόκον· μὴ κατίδω σου σφαγήν, καὶ ἀπόλωμαι· [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 10 Ἀγγέλου σημάναντος τόκον ⟨ἐν γήρᾳ⟩, ἐγέλασα πρίν, καὶ νῦν τὸ ῥῆμα ἰδοῦσα πρᾶγμα, ἐχάρην· ἀλλ᾽ ἤδη ἡ χαρὰ εἰς δάκρυα τάχα τρέπεται· σύ μου φάος, σὺ αὐγὴ ἐμῶν βλεφάρων· σὲ ὥσπερ ἄστρον βλέπουσα λαμπρύνομαι, ὦ τέκνον μου· σὺ τῆς ἐμῆς κοιλίας καρπὸς ὥριμος ὤφθης· σὺ βότρυς περκάζων ἀκμασάσης ἀμπέλου· οὐ σβέσει σε πατήρ, οὐ τέμνει σε· [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 11

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀκμάσας γενήσει μου στήριγμα γήρους, ὦ σπλάγχνον ἐμόν, τὰ σὰ δὲ τέκνα βακτηρία πολιᾶς· [para]κατίδω σῆς ὀσφύος ἔκγονα καὶ οὕτω θνήξομαι· σὺ δὲ κόρας τὰς ἐμὰς ἀποκλείσεις, σὺ σὺν τοῖς τέκνοις κόλποις παραπέμψεις με τῶν πατέρων μου, σὺ κλίνης μου πρῶτος πορευόμενος κλαύσεις· ἐγὼ δέ σου θνῆσιν οὐδαμῶς μὴ θρηνήσω ὀλετῆρα σὸν πατέρα ἀκούσασα· [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 12 —Μὴ τουτοισὶ τοῖς ῥήμασι γύναι, χρωμένη, ὀργίσῃς Θεόν· ἀλλότριόν τι οὐκ αἰτεῖται παρ' ἡμῶν· [para]ὃ πρώην γὰρ αὐτὸς δεδώρηται, τοῦτο λήψεται. Μὴ σπιλώσῃς τὸ ὁλοκαύτωμα θρήνοις μηδὲ δακρύσῃς· μῶμον ἐπιθήσεις γὰρ τῇ θυσίᾳ μου· Θεὸς αὐτὸν θέλει, καὶ τίς τοῦτον ἐπέχει; Καὶ κόλποις σοῖς ὄντα θανατῶσαι ἰσχύει· τὴν οὖν πρόθεσιν δεῖξόν σου πέμψασα, ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 13 Ῥαντίσω τοῖς δάκρυσι πᾶσαν τὴν γαῖαν, καὶ σὺ σὺν ἐμοί, ἀλλ' οὖν ἐκ τούτου κέρδος ἡμῖν οὐκ ἔσται· [para]ὅταν γάρ τι Θεὸς βεβούλευται, τίς ἀνθίσταται; Ἤ, δοκεῖς σύ, μόνος σὸς πέλει γόνος; Τέκνον ἐμὸν δὲ οὗτος οὐχ ὑπάρχει νῦν ὃν ἐγέννησα; «Σπορεὺς αὐτοῦ πέλεις καὶ σφαγεὺς τούτου μέλλεις·» Ὁ τοῦτο προστάξας, γύναι, πάντων δεσπόζει, δῶρον εὔκαιρον ἡμῶν ἐξαιτήσας με, [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.»

book 14 Ὡς ἤκουσε τὰ ῥήματα τοῦ ὁμοζύγου, 〈ἡ〉 Σάρρα φησίν· «Εἰ εἰς ζωήν σε θέλει, ζῆσαι προστάξει· [para]ἀθάνατος ὑπάρχων Κύριος, οὐ μὴ κτείνει σε· νῦν αὐχήσω, σὲ προσάξασα δῶρον ἐκ κοιλιᾶς μου τῷ δωρησαμένῳ σοι μακαρίζομαι. Πορεύου οὖν, τέκνον, καὶ γίνου Θεῷ θῦμα, σὺν τῷ σῷ γενέτῃ, φονευτῇ δέ σου μᾶλλον· πιστεύω δέ, γονεὺς σφαγεὺς οὐ γίνεται, ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 15 Μητέρα λιμπάνων με, εὕρῃς πατέρα τὸν πάντων Θεόν· αὐτὸς σφαγέντα ἀναδείξει μοι ζῶντα· [para]εἰ καὶ μὴ τῷ παρόντι, δείξει μοι εἰ τῷ μέλλοντι· ἄσπασαί με, Ἰσαάκ, τὴν τεκοῦσαν καὶ τῶν ὠδίνων μήπω ἀπολαύσασαν, καὶ ἀποτρέχετε.» Τοιαῦτα ἦν ἄρα ἅπερ ἔφη Σάρρα· ὁ πρέσβυς δὲ πάντως εἶπεν ἄλλ' ὑπὲρ ταῦτα, ἀλλ' οὐκ ἔστερξαν ὑπὲρ 〈τὸν〉 Κύριον, [para]ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 16 Αὐτὸς ὁ γεννήσας γὰρ σχίδακας τέκνῳ ἐπέθηκεν, καὶ ὤμοις φέρει οἷς ἐτίθεντο ὁ παῖς· [para]ἐνταῦθα πᾶς πιστὸς νοείτω μοι τὸ μυστήριον. Ἤλυθαν δὲ οὗπερ ἦσαν κληθέντες, καὶ ὡς προβλέπων ἔφησε τὰ μέλλοντα ὁ πιστότατος, «Καθίσατε», λέγων τοῖς συνοῦσιν, «ἐνταῦθα· ἐγὼ δὲ σὺν τέκνῳ πορευθεὶς ἀναστρέψω.» Καὶ τὰ ῥήματα ἐφάνη πράγματα, 〈ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.〉

book 17 Νευρώσας ναρκήσαντας πόδας τῇ πίστει καὶ τὴν δεξιὰν ὁπλίσας ξίφει, πρῶτον εἶχεν Ἰσαάκ, [para]ἀλλ' εὗρε πειρασμὸν τὰ ῥήματα τοῦ παιδός· φησίν· «Φράσον, πάτερ, τίς ὁ σφάττεσθαι μέλλων; Ἔχω τὰ ξύλα, πῦρ σὺ καὶ τὴν μάχαιραν· ποῦ τὸ πρόβατον;» Ὦ σπλάγχνον γενέτου· πρὸς τοὺς λόγους τοῦ τέκνου τίς τότε ὑπάρχων ἀπηνὴς οὐκ ἐκάμφθη; Καὶ οὐκ ἔκαμψε λαλῶν, ἀλλ' ἤγγρισεν, [para]ὅτι μόνος 〈ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.〉

book 18 «Ὁ πρώην καλέσας με ὄψεται, τέκνον, εἰ θέλει σφαγήν· ἡμεῖς δὲ τούτῳ ὑπουργήσωμεν», φησίν. [para]«Ὦ πάτερ, κατ' ἐμοῦ τὴν μάχαιραν ἠκόνησας; Βλέπω τύμβον τὸν βωμόν, ὦ γενέτα· σὲ δὲ δεσμοῦντα ἅμα καὶ φονεύοντα ἐνοπτρίζομαι· εἰ τοίνυν ὃ βλέπω ἀληθῶς ὁρῶ, λέγε, μὴ ἄκοντα σφάξῃς ἵν' εὐπρόσδεκτον εὕρῃς τὴν θυσίαν σου, ἐμὲ τὸ τέκνον σου· ὅτι μόνος 〈ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.»〉

book 19 Υἱοῦ μὲν τὰ ῥήματα τότε παρίδε πιστὸς Ἀβραάμ, καὶ τῆς θυσίας ἦν ἐργάτης ἰσχυρός, [para]καὶ πόδας σὺν χερσὶν ἐδέσμησεν ὃν ἐγέννησε, «Πρῶτον», λέγων, «δήσω, εἶτα φονεύσω, μήποτε τούτου σκίρτημα κωλύσῃ μου τὸ ὅρμημα.» Χειρὶ λαβὼν ξίφος εἰς σφαγήν, ἐπεσχέθη, οὐ τέκνου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκιρτῶντος, τοῦ Θεοῦ δὲ καλοῦντος καὶ σημαίνοντος αὐτοῦ τὰ μέλλοντα, [para]〈ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.〉

book 20 Ὑψόθεν ἐπέβλεψεν ὁ ἐπιβλέπων ἀβύσσους Θεὸς, καὶ τῷ δικαίῳ ἀνεβόησε φωνήν· [para]«Ἀβραάμ, Ἀβραάμ, πιστότατε, στεῖλον χεῖρά σου· γνῶναι θέλων σὲ ὁ μὴ ἀγνοήσας σὲ πρὸ τοῦ πλάσαι, τὴν πίστιν σου νῦν εὗρον ἥνπερ μέλλουσι βλέπειν οἱ τῆς ἀληθείας θερμοὶ ἐρασταί μου ἐπ’ ἐσχάτων τῶν αἰώνων, ὅτι μέλλει ὁ υἱός μου εἰς 〈τὸ〉 ὄνομα ἐμὸν δοξάζεσθαι, ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.

book 21 Μὴ κτείνῃς τὸν παῖδά σου· νῦν γάρ σε ἔγνων φοβούμενόν με· τοῦ ὑἱοῦ σου οὐκ ἐφείσω δι’ ἐμέ, ὅντινα λαβὼν ἀπότρεχε καθὼς πρόειπας.» Ταῦτ’ ἀκούων Ἀβραὰμ ἔφη τότε· «Μή τινα μῶμον εὗρες ἐν θυσίᾳ μου καὶ ἐπέσχες με; Μή τι παρερρύη ἐν λόγῳ ἢ ἐν ἔργῳ; ἢ δόλος ἐν τῷ στόματί μου; Ὡς καρδίας ἐτάζων, σὺ καθάρισον καὶ σφάξαι πρόσταξον, [para]ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book 22 —Νῦν στεῖλον τὴν χεῖρά σου· εὗρον ὡς θέλω σὴν πίστιν ἁγνήν, διὸ καὶ ἐν σοὶ προσκιάζω τὰ ἐμά· [para]ἐμὸν γὰρ εἶ σαφῶς ἐκτύπωμα, ναί, δίκαιε· θέλεις γνῶναι ἐκ τῶν σῶν τὰ μετὰ σέ; Τούτου γὰρ χάριν ἔνθα σε ἀνήγαγον, 〈τοῦ〉 δεῖξαί σοι. Ὥσπερ οὖν οὐκ ἐφείσω δι’ ἐμὲ τοῦ υἱοῦ σου, κἀγὼ διὰ πάντας οὐ φείσομαι τοῦ υἱοῦ μου· ὑπὲρ κόσμου δὲ σφαγῆναι δίδωμι, ὁ δοτὴρ τῶν ἀγαθῶν 〈καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.〉

book 23 Οὕτως δ’ ὡς ἐβάσταξε ξύλα τοῖς ὤμοις ὁ σὸς Ἰσαάκ, ἐπ’ ὤμων φέρει ὁ ἐμὸς υἱὸς τὸν σταυρόν· [para]ὁ πόθος ὁ πολύς σοι ἔδειξε καὶ τὰ μέλλοντα. Βλέψον ἄρτι καὶ κριὸν τὸν ἐν ξύλῳ· πόθεν κρατεῖται βλέπων καταμάνθανε τὸ μυστήριον· τοῖς κέρασιν τοῦτον τὰ δεσμὰ περιέχει, τὰ κέρατα χεῖρας τοῦ υἱοῦ μου σημαίνει· [para]καὶ σφάξον μοι, καὶ σὸν υἱὸν φυλάττω σοι, ὁ δοτὴρ τῶν ἀγαθῶν 〈καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.»〉

book 24 Σφαγὴν οὐ δεχόμενον βλέπουσα Σάρρα σὺν τῷ Ἀβραάμ, χορεύει πάλιν δεξαμένη Ἰσαάκ· [para]«Ὁ δείξας σε ἐμοί, ὦ τέκνον μου, λάβῃ πνεῦμά μου.» Ταύτην ἡμῖν τὴν χαρὰν σὺ παράσχου, ὁ ἐπὶ ξύλου χεῖρας ὥσπερ κέρατα δεσμηθεὶς δι’ ἡμᾶς· ἡμῶν ἱκεσίας κενὰς μὴ ἀποστρέψῃς, δι’ οὓς ἐσταυρώθης ἐν θυμῷ σου μὴ κτείνῃς· τούτων πρέσβευε καὶ σύ, πάτερ, τυχεῖν ἡμᾶς, ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

book pro Τὸν Ἡσαῦ μισήσας ὡς ἄσωτον καὶ Ἰακὼβ ἀγαπήσας ὡς δίκαιον, τὴν εὐλογίαν ἐξ ἐκείνου εἰς τοῦτον μετήγαγες· ἀλλ’ ὡς τῷ πράῳ τῇ συμβουλίᾳ τῆς μητρός, ταῖς ἱκεσίαις τῆς ἀχράντου σου μητρός, Χριστὲ ὁ Θεός, ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.

book 1 Τὸν διὰ τῆς ὑπακοῆς σώσαντα γένος ἀνθρώπων, [para]πατήσαντα τὸν ὄφιν καὶ φωτίσαντα τὸν κόσμον [para]καὶ ἐκ τῆς παρθένου τεχθέντα ἀγεωργήτως, τὸν τῆς κατάρας ἀπαλλάξαντα κτίσιν ἅπασαν, τὸν τοὺς παραβάντας ῥήξαντα ἀγγέλους [para]καὶ παραπεσόντα χειρὶ ἐγείραντα Ἀδὰμ ὑμνήσωμεν, δοξάσωμεν. Γνῶμεν τί ἔδρασεν ἡμῖν τὸ πτῶμα [para]τῆς παραβάσεως ἐν τῇ παρακοῇ, καθὼς καὶ ἡ βίβλος τῆς κτίσεως λέγει [para]τοῦ πρωτοπλάστου τὴν ἀθεσίαν· ὅθεν σπεύσωμεν ἅπαντες καὶ κράξωμεν τῷ Θεῷ ἡμῶν· [para]Ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.

book 2 Οἱ τῶν μελλόντων τύποι οὖν σύγγονοι δύο ὑπῆρχον, [para]τεχθέντες ἐκ Ῥεβέκκας Ἰσαὰκ τῷ πατριάρχῃ· [para]τὸν Ἡσαῦ δὲ τότε καλέσας ἔφη ὁ πρέσβυς· «Πορεύου, τέκνον, ἐν ἀγρῷ σπουδῇ καὶ ἀγώνισαι· λάβε σου τὸ τόξον καὶ τὴν φαρέτραν· [para]θήρευσόν μοι θήραν καὶ σπεῦσον ἀρέσαι πατρὶ, καὶ ἔνεγκέ μοι ἔδεσμα, ὅπως σου δέξωμαι τὴν προθυμίαν, [para]καὶ εὐλογήσω σε πρὶν τελευτῆσαί με· ἀνάστηθι, δεῖξον τὴν διάθεσίν σου, [para]καὶ πλήρωσόν μου ἐπιθυμίαν· ὁρῶν γάρ σου τὴν ἅπασαν προαίρεσιν, τῷ Θεῷ κράζω·

book 2 Ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.»

book 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὑπέστησεν ὁ γηραιὸς τὸν ἐκ τῶν σπλάγχνων τεχθέντα, [para]καὶ τρέχειν κατεπείχθη ὁ Ἡσαῦ τό 〈τε〉 εἰς θήραν· [para]ἡ δὲ μήτηρ τούτου πρὸς Ἰακὼβ ἀνεβόα· «Σπούδασον φθάσαι εἰς τὴν ποίμνην καὶ ἀγωνίσασθαι· ἤκουσα λαλοῦντος τοῦ σοῦ γενέτου [para]πρὸς τὸν ἀδελφόν σου· Θήρευσόν μοι θήραν, ὦ παῖ, καὶ ἔνεγκέ μοι ἔδεσμα· καὶ φαγὼν καὶ εὐφρανθεὶς σὲ εὐλογήσω· [para]πρὸ τοῦ 〈ἐ〉 μὲ θανεῖν συντόμως πείσθητι.

book 3 Καθώς σοι οὖν εἶπον πορεύθητι, λάβε [para]ἀπὸ τῆς ποίμνης δύο ἐρίφους· ποιήσω τῷ γενέτῃ σου τὸ ἔδεσμα, ἵν' εὐξάμενος [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχῃ ἡμῖν.»

book 4 Ταῦτα ἀκούσας Ἰακὼβ πρὸς τὴν τεκοῦσαν ἐβόα· [para]«Πῶς φθάσω εἰς τὴν ποίμνην καὶ κομίσω τοὺς ἐρίφους; [para]Ὁ Ἡσαῦ, ὦ μῆτερ, ἀνὴρ δασὺς φύσει ἐστίν· ἐγὼ δὲ πάλιν ὡς ἀνὴρ λεῖος ἐπαισχύνομαι· μήπως ὁ πατήρ μου ἐμὲ γνωρίσῃ [para]καὶ ὑπὸ αἰσχύνης ὡς καταφρονήσας αὐτοῦ ἀπέναντι γενήσομαι· ἐπάξω δὲ ἐμαυτῷ μᾶλλον κατάραν, [para]καὶ οὐκ εὐλογήσει με, ἀλλ' ἀπολέσει με. Ὦ μῆτερ, πτοοῦμαι τὸ τόλμημα πάνυ, [para]τοῦ ἀδελφοῦ μου καὶ τὴν μανίαν· σιγήσομαι οὖν καὶ εὔξομαι τῷ πλάσαντι κράζων· Εὔσπλαγχνε, ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.»

book 5 «Ἄκουσον λόγων τῶν ἐμῶν καὶ μὴ δειλία, ὦ τέκνον,» [para]ἡ μήτηρ ἀνεβόα κολακεύουσα τὸν νέον· [para]«νῦν ἐπάκουσόν μου καὶ δεῖξον ὡς ἀγαπᾷς με· ἡ σὴ κατάρα ἐπ' ἐμὲ γενήσεται, τέκνον μου· μόνον τῇ βουλῇ μου παράσχου χάριν [para]ὡς ἐνετειλάμην, καὶ δύο ἐρίφους καλοὺς καὶ ἁπαλούς μοι κόμισον.» Ὁ δὲ παῖς πορευθεὶς ἤγαγε ταύτῃ [para]δύο ἐρίφια, καὶ τὰ ἐδέσματα ἐποίησε τάχος καθὼς καὶ ἐφίλει [para]ὁ πατὴρ τούτου, τῇ προθυμίᾳ ἀγαπῶσα· τὸ τέκνον δὲ προσηύχετο· «Σύ, φιλάνθρωπε, [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.»

book 6 Περιεπτύξατο στολὴν τοῦ πρεσβυτέρου συγγόνου [para]ὁ νεανίσκος τότε, ὡς διδάσκει τὸ βιβλίον· [para]τὰ δὲ δάση πάλιν τὰ τῶν ἐρίφων λαμβάνει καὶ περισφίγγει τῷ τραχήλῳ σὺν τοῖς βραχίοσι μέχρι καὶ τῶν ὤμων καὶ τῶν δακτύλων· [para]ἦρε δὲ τοὺς ἄρτους καὶ τὰ ἐδέσματα ὁμοῦ καὶ τρέχειν κατεπείγετο. Ἔνδον δὲ εἰσελθών, τῷ γηραλέῳ [para]εὐθὺς ἐβόησεν· «Ὦ πάτερ, κέλευσον, ἰδοὺ ὁ υἱός σου 〈ὁ〉 Ἡσαῦ ὁ πρῶτος· [para]ἐγὼ λαλῶ σοι, ἐπάκουσόν μου· ἐδέσματά σοι ἤγαγον, ὡς ἔφης μοι, καὶ αἰτοῦμαί σε·

book 6 ἐξ οὐρανοῦ εὐλογίαν παράσχου 〈ἡμῖν.〉 »

book 7 Εἶπεν δὲ τότε Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· «Τέκνον, [para]ταχὺ ὑπήκουσάς μου καὶ τὴν θῆρα ἐκομίσω.» [para]Ὁ δὲ νέος πάλιν πρὸς τὸν γενέτην ἐβόα· «Τοῦτο ὑπάρχει ὅπερ ὁ Θεός σοι ἀπέστειλεν, ὅστις θωρακίσας ἐπὶ τὴν θήραν [para]ὥσπερ πρὸς ἀρνίον ἐν τῷ πεδίῳ μοι ὀφθεὶς παρέσχε μοι τὴν δύναμιν. Καὶ λοιπὸν ἔφθασα ὥσπερ εἰς μάνδραν, [para]καὶ κομισάμενος τὸ θῦμα ἤγαγον, γενέτα, ὡς εἶπας· ἐπλήρωσα ἔργον [para]ἵνα μετάσχω τῆς εὐλογίας· τὴν χάριν οὖν ἣν πρότερον ὑπέσχου μοι ἐκπληρώσας νῦν, [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.»

book 8 Ἰσαὰκ γνοὺς τὸν υἱὸν τάχος ἐλθόντα τῆς θήρας, [para]τὸν νοῦν αὐτοῦ ταράξας, ἐλογίζετο τοιαῦτα· [para]«Τίς ὁ δρόμος οὗτος; τίς ἡ σπουδὴ ἡ τοσαύτη; Ὁ λογισμός μου περιβάλλει με πρὸς ἐνθύμησιν· μή τις ἄρα τέχνη γέγονεν αὕτη; [para]μή τις μετὰ δόλου ἁρπάσαι ἦλθεν ἀπ' ἐμοῦ τὴν δωρεὰν τοῦ τέκνου μου; Μᾶλλον δὲ Κύριος, πληρῶσαι θέλων [para]ἐπιθυμίαν μου, αὐτὸς συνήργησε, καὶ ὅπερ ἐζήτει εὗρεν ὁ υἱός μου, διὸ καὶ ἦλθεν εὐθυδρομήσας, μισθὸν λαβὼν τὸ χάρισμα τοῦ πέμψαντος, ὃν αἰτήσομαι· [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχου 〈ἡμῖν.〉

book 9 Νῦν ἔγγισόν μοι, τέκνον μου, καὶ ψηλαφήσω σε τάχος· [para]εἰ πέλεις ὁ Ἡσαῦ σὺ ὁ πρωτότοκός μου, δεῖξον.» [para]ψηλαφῶν δὲ τοῦτον, ὁ Ἰσαὰκ ἐνθυμεῖται· «Ἡ μὲν φωνὴ νῦν Ἰακὼβ ἠχεῖ εἰς τὰ ὦτά μου, χεῖρες τοῦ Ἡσαῦ δὲ τοῦ υἱοῦ μου· [para]δεῦρο οὖν, ὦ σπλάγχνον, καὶ καταφίλησον 〈ἐ〉 μέ, καὶ ἔνεγκε τὸ ἔδεσμα.» Καὶ φαγὼν Ἰσαάκ, καταφιλήσας [para]τὸν υἱὸν αὐτοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠσφράνθη τῆς στολῆς τῆς τούτου καὶ εἶπεν· «Ἰδοὺ τοῦ υἱοῦ μου [para]ὡς ἀγροῦ πλήρης ὀσμὴ ὑπάρχει, ἀγροῦ οὗπερ ηὐλόγησεν 〈ὁ〉 Κύριος· εἰσακούσας μου, [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχῃ ἡμῖν.»

book 10 Ὅτε εὐλόγησε σαφῶς τὸν Ἰακὼβ ὁ γενέτης, [para]κατήχησε τὸν παῖδα ταῖς εὐχαῖς αὐτοῦ ὁ γέρων [para]λέγων· «Ὁ Θεός μου σὲ εὐλογήσει ἐν κόσμῳ σίτῳ καὶ οἴνῳ, καὶ τὰ ἔθνη πάντα δουλεύσει σοι· προσκυνήσουσί σοι ἄρχοντες πάντες· κύριος δὲ πάλιν γίνου καὶ τοῦ σοῦ ἀδελφοῦ. Ὁ σὲ δὲ καταρώμενος λήψεται τὴν ἀράν, ὁ δὲ εὐλογῶν σε [para]εὐλογηθήσεται τῇ θείᾳ χάριτι.» Τοιαῦτα ἀκούσας, ἐξῆλθεν ὁ νέος [para]εὐλογημένος, ὑμνῶν τὸν κτίστην, βοῶν· «Δίκαιος Κύριος, φιλάνθρωπος· ὡς γὰρ εὔσπλαγχνος, [para]ἐξ οὐρανοῦ εὐλογίαν παρέσχεν ἡμῖν.»

book 11 Ὑπὸ τοῦ πόθου τὸν υἱὸν ὁ γηραλέος εὐλόγει, [para]Χριστὸν τὸν πάντων κτίστην ἐντυπῶν ταῖς εὐλογίαις. [para]Ἰακὼβ δὲ τότε πρὸς τὴν τεκοῦσαν ἐκτρέχει, λέγων πρὸς ταύτην· «Ἰδού, εὐλογίαν ἀπέλαβον, παρὰ τοῦ πατρός μου ἔλαβον χάριν.» [para]Τότε προσεπλάκη τῷ νέῳ ἡ μήτηρ αὐτοῦ καὶ κλαίειν κατεπείγετο, λέγουσα· «Εἷς ἐστιν ὁ τοῖς ἁγίοις [para]παρέχων σύνεσιν· αὐτὸς ἐλεύσεται σαρκὶ ἐν τῷ κόσμῳ ἐκ ῥίζης βλαστοῦ σου, [para]πατρὸς τοὺς κόλπους μὴ καταλείψας. Αὐτὸν οὖν δυσωπήσωμεν τὸν εὔσπλαγχνον καὶ φιλάνθρωπον· [para]ἐξ οὐρανοῦ εὐλογίαν 〈παράσχου ἡμῖν.»〉

book 12 Ῥήματα καὶ ὁ Ἰσαὰκ εὐχαριστίας ἐκπέμπειν [para]οὐδόλως ἐνεδίδου, ἕως ὅτε ἐπληρώθη [para]ἡ ψυχὴ 〈ἡ〉 τούτου χαρᾶς μεγάλης, καὶ λέγει πρὸς τὴν Ῥεβέκκαν· «Νῦν Θεὸς ἡμᾶς ἐπεσκέψατο, καὶ ἐκ τῶν ὑψίστων 〈τὴν γῆν〉 ἐπεῖδεν, [para]ὅπως τοῖς ἁγίοις τὴν εὐλογίαν τὴν αὐτοῦ δωρήσηται ὡς Κύριος· παῖδας δὲ εἰς τιμὴν ἡμῖν παρέσχε, [para]καὶ χάριν δίδωσι τὴν ἐκ τοῦ πνεύματος ἐκχέων πλουσίως, ὅτε εὐδοκήσει [para]τὸ γένος σῶσαι ἐνανθρωπήσας· νυνὶ γὰρ προετύπωσε τὰ μέλλοντα ἐν τῇ χάριτι· [para]ἐξ οὐρανοῦ εὐλογίαν 〈παρέχει ἡμῖν.»〉

book 13 Ὡς οὖν ἐλάλει Ἰσαὰκ τῇ ὁμοζύγῳ τοιαῦτα, [para]Ἡσαῦ ὁ γόνος τούτων ἐκ τῆς θήρας ἐπανῆλθε, [para]καὶ αὐτὸς ἐποίει ἐδέσματα τῷ γενέτῃ· προσήνεγκε δὲ τῷ πατρὶ αὐτοῦ πρὸς μετάληψιν, λέγων· «Ὦ γενέτα, ἐπάκουσόν μου, [para]καὶ ἀπὸ τῆς θήρας εὐφράνθητι τοῦ σοῦ υἱοῦ, δι' ἧς καὶ εὐλογήσεις με.» Εἶπε δὲ Ἰσαὰκ τότε ὁ πρέσβυς [para]πρὸς τὸν υἱὸν αὐτοῦ· «Τίς εἶ σὺ δήλωσον.» Ὁ δὲ ἀπεκρίθη· «Ἐγώ εἰμι», λέγων, [para]«Ἡσαῦ, γενέτα, ὁ ὑϊός σου· πρωτότοκός σου πέφυκα ἐκ σπλάγχνων σου· ἀλλά, δέομαι, [para] 〈ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.»〉

book 14 Μετὰ τοὺς λόγους τοῦ παιδὸς καὶ τὰς αὐτοῦ ἱκεσίας, [para]ἐξέστη ὁ πρεσβύτης σφόδρα ἔκστασιν μεγάλην, [para]λέγων· «Τίς οὖν ἐστιν ὁ εἰσενέγκας μοι θήραν, καὶ ἀπὸ πάντων εὐφρανθεὶς ἐκεῖνον εὐλόγησα, καὶ εὐλογημένος ἐστὶν ἐν πᾶσι; [para]Πρὸ τοῦ γάρ σε φθάσαι ἐκ τοῦ ἀγροῦ εἰς τὴν σκηνὴν, ἐδέσματά μοι ἤγαγεν.» Ὅτε δὲ ἤκουσε τούτους τοὺς λόγους, [para]Ἡσαῦ ἐβόησεν ὀδυνηρὰν φωνήν, κραυγάζων καὶ λέγων· «Εὐλόγησον σπεύσας [para]κἀμέ, ὦ πάτερ, ὥσπερ ἐκεῖνον, κἀμοὶ ἀξίως δώρησαι τὴν χάριν σου, καὶ ὁ Ὕψιστος [para]ἐξ οὐρανοῦ εὐλογίαν παράσχῃ ἡμῖν.»

book 15 Ἀκούσας ταῦτα Ἰσαὰκ τοὺς λόγους τούτους ἐβόα· [para]«Ἐλθὼν ὁ ἀδελφός σου Ἰακὼβ πρὶν μετὰ δόλου [para]ὑπεδέξατό σου τὴν εὐλογίαν ἐκεῖνος. Τί οὖν ποιήσω; Πῶς εἰς τοῦτό σοι ὑπακούσομαι;» Ὁ Ἡσαῦ δὲ ἔφη πρὸς τὸν γενέτην· [para]«Ὄντως καὶ δικαίως ἐκλήθη οὗτος Ἰακὼβ τῷ λόγῳ καὶ τῷ πράγματι· ἤδη γὰρ δεύτερον ἐπτέρνισέ με· [para]τὰ πρωτοτόκια αὐτὸς ἀφεῖλέ μου, καὶ νῦν, καθὼς ἔγνων, καὶ τὴν εὐλογίαν [para]αὐτὸς ἐδέξατο τοῦ πατρός μου· ἐστέρησέ με δεύτερον ἐκ μήτρας μου· ἀλλά, δέομαι, ἐξ οὐρανοῦ 〈εὐλογίαν παράσχου ἡμῖν.»〉

book 16

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νενικημένος Ἰσαὰκ τοῖς σπλάγχνοις καὶ ἡττημένος, [para]πρὸς τὸν Ἡσαῦ ἐβόα λέγων· «Ἄκουσον, ὦ τέκνον· [para]εἰ τῷ ἀδελφῷ σου τὴν ἐξουσίαν παρέσχον, σίτῳ καὶ ὄνῳ 〈εἰ〉 τὸν οἶκον τούτου ἐπλήρωσα, σοὶ νῦν τί ποιήσω, τέκνον, εἶπέ μοι.» [para]Πάλιν ἀπεκρίθη Ἡσαῦ τῷ γενέτῃ αὐτοῦ, καὶ κλαίων οὕτως ἔλεγε· «Μία γὰρ μόνη σοι ἔστιν εὐλογία; [para]Ἐξ ἧς κατέλιπας κἀμὲ εὐλόγησον.» Τότε κατενύγη Ἰσαὰκ ὁ γενέτης [para]καὶ ἀνεβόα μετὰ δακρύων· «Εὐλογῶν εὐλογήσει σε ὡς βούλεται ὁ φιλάνθρωπος· [para]ἐξ οὐρανοῦ 〈εὐλογίαν παρέχει ἡμῖν.〉 »

book 17 Ὅτε ἐπαύσατο θρηνῶν, ὁ γηραλέος ἐκτείνει [para]τὴν χεῖρα καὶ ηὐλόγει τὸν Ἡσαῦ, τοιαῦτα λέγων· [para]«Ἰδοὺ ἐκ τῆς δρόσου τῶν ὑψωμάτων σοι ἔσται, καὶ ἐκ τῆς γαίας τῆς πιότητος 〈ἡ〉 κατοίκησις, καὶ ἐν τῇ μαχαίρᾳ τῇ σῇ τραφήσει, καὶ τῷ ἀδελφῷ σου προθύμως δουλεύσεις ἀεί, [para]καὶ ἔσει εὐφραινόμενος. Ἐὰν γὰρ τὸν ζυγὸν τὸν τῆς δουλείας [para]αὐτοῦ μὴ καθέλῃς ἐκ τοῦ τραχήλου σου, ἐν πάσῃ εἰρήνῃ πορεύσει ἐν κόσμῳ, [para]ὅτι ἐκλέλοιπεν ἡ ὀργή σου· πληρώσει σου τὰ αἰτήματα ὁ Κύριος, καὶ ὡς βούλεται ἐξ οὐρανοῦ εὐλογίαν 〈παρέχει ἡμῖν.〉 »

book 18 Ὑπὸ τοῦ φθόνου ὁ Ἡσαῦ τῷ Ἰακὼβ ἐνεκότει, [para]καὶ κτεῖναι ἐνενόει τοῦτον μετὰ τὸ θανῆναι [para]τὸν αὐτοῦ γενέτην, καὶ ἔλεγεν ἐν καρδίᾳ· «Νῦν ἐγγισάτω ἡ ἀσθένεια τοῦ γενέτου μου, καὶ μετὰ τὸ θνῆξαι τοῦτον εὐθέως [para]τότε εὐκαιρίας λαβόμενος, κτείνω ἐγὼ τὸν πτερνιστήν μου σύγγονον.» Ἀλλ' εὐθὺς ὁ Θεὸς ὁ προγινώσκων [para]τὰ ἐνθυμήματα, Ἡσαῦ τὰ ῥήματα μητρὶ ἀμφοτέρων γνωρίσας, σοφίζει [para]αὐτὴν ἐμφρόνως σκεδάσαι ταῦτα· αὐτὸν οὖν δυσωπήσωμεν τὸν εὔσπλαγχνον· «Σύ, φιλάνθρωπε, [para]ἐξ οὐρανοῦ 〈εὐλογίαν παράσχου ἡμῖν.»〉

book 19 Ὑμεῖς οὖν ταῦτα ἀκριβῶς κατανοήσατε, φίλοι· [para]τὰ πάντα γὰρ ἐν τύπῳ προερρέθη καὶ ἐγράφη. [para]Ὁ Ἡσαῦ μὲν τύπος τῶν Ἰουδαίων ὑπάρχει· χριστιανῶν δὲ Ἰακὼβ εἰκόνα προέφερεν, ὃς τὴν εὐλογίαν τὴν τοῦ συγγόνου [para]ἔλαβεν ἀξίως τῇ συμβουλίᾳ τῆς μητρὸς, τὴν χάριν προσημάνας μοι. Τύπος δὲ τοῦ Χριστοῦ τῆς ἐκκλησίας [para]καὶ ἡ Ῥεβέκκα μοι σαφῶς προδέδεικται· καθάπερ γὰρ αὕτη καὶ ἡ ἐκκλησία [para]υἱοὺς προσάγει πατρὶ τῶν ὅλων, ἐν ᾗ συναθροιζόμενοι κραυγάζωμεν τῷ Θεῷ ἡμῶν·

book 19 Ἐξ οὐρανοῦ εὐλογίαν παράσχου ἡμῖν.

book pro Ὁ Ἰακὼβ τῷ χιτῶνι συνεκόπτετο, [para]οἱ ἀδελφοὶ ἀσπλαγχνίαν ἐπεδείξαντο· [para]τὸν Ἰωσὴφ γὰρ δουλώσαντες τοῖς ἀνόμοις ἐπίπρασκον· ἀλλ' εἰς Θεὸν τὴν ἑαυτοῦ πᾶσαν ἐλπίδα θέμενος, καὶ βασιλείας δι' αὐτοῦ στέφος ἐφόρεσε βοῶν· Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 1 Ἀντλήσωμεν, ἄνθρωποι, σωτήρια νάματα καρδίας εὐφραίνοντα· οἱ διψῶντες σωφροσύνην, πορευθῶμεν ἐν τῷ λάκκῳ 〈σπουδῇ〉 τοῦ Ἰωσήφ· τούτου 〈γὰρ〉 ὁ πίνων οὐ διψήσει οὐδέποτε· ἀθάνατον ὕδωρ βρύει ἐκεῖ· πῶς δὲ ἀθάνατον ἐκεῖ ὕδωρ πηγάζει ἐρεῖτέ μοι, πάντως ὁ ἄνυδρος ὤν. Ὁ ἐν τῷ Ἰωσὴφ τύπος γενόμενος Χριστὸς αὐτὸς βρύων ποτίζει, ὡς καὶ τὴν Σαμαρῖτιν· δι' αὐτὸ πίστει ἀρυσώμεθα· ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 2 Βασιλικοὶ στέφανοι κοσμοῦσι τοὺς σώφρονας ὀνείροις προλάμποντες· διὰ τί δὲ δι' ὀνείρων προφητεύει τὰς ἐκβάσεις αὐτῶν, μάθε, πιστέ. Χρηστῶν πολιτείας ἐπανάγων εἰς κρείττονα, Θεὸς ζωγραφεῖ 〈σοι〉 τὰς ἀρετάς, ὥσπερ οὖν καὶ τὰ πονηρὰ στηλογραφεῖ σοι, τῶν πειρασμῶν εἰκόνας καθ' ὕπνον δηλῶν· προτρέπων, νουθετῶν, ἀσφαλίζεται πάντα 〈σοι〉 · ἀγρυπνῶν γὰρ ὁ πλάστης σε τειχίζει ὑπνοῦντα, γνωριῶν ἤδη σοι τὰ μέλλοντα· ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 3 Γραφὴ προϋπέστρωσε τὸ σκάμμα τοῦ σώφρονος, καὶ μάθωμεν, σώφρονες, μιμησώμεθα τὸν νέον, πῶς κατέσβεσε τῆς πορνείας τὸ πῦρ χόρτῳ σαρκός· οὐδέπω γὰρ ὄντως ἡ γραφὴ οὐκ

ἀπέθανεν, ἀλλὰ διαμένει ζῶσα ἀεί· στήλη ἁγνείας χαλκευθεὶς ὁ νεανίας τοὺς θέλοντας διδάσκει ἁγνείαν φιλεῖν. Σαλπίζει ἡ γραφὴ τοὺς πολέμους τοὺς σαρκικούς, ἵνα σοι παραστήσῃ ὅπλον τὴν παρθενίαν· ἀλλὰ καὶ‿οἱ‿ταύτην ἀγαπήσαντες κραυγάσωμεν·

book 3 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 4 Δραγμὰς εἶδεν ἕνδεκα δραγμῇ ᾗ ἐδέσμησεν αὐτῇ προσκυνήσαντας· καὶ ἀπλάστως διηγεῖται τῷ πατρὶ αὐτοῦ τὸ ὄναρ αὐτοῦ ὁ Ἰωσήφ· [para]καὶ ἔστησαν γνώμην ὡς πληγέντες οἱ σύγγονοι ἐπὶ τῇ ἐλπίδι τοῦ ἀδελφοῦ· ποῖος δέ, φίλοι, ἀδελφός, ἂν βασιλεύσῃ, οὐ σπεύδει ὑπὲρ πάντας ὑψοῖν ἀδελφούς; Ἀλλ' ὤτρυνεν αὐτοὺς ἐν τῷ φθόνῳ ὁ Σατανᾶς, καὶ χορὸν συνημμένον ὡς 〈τὸν〉 τῶν ἀποστόλων ἐμβαλὼν ζῆλον, ἀπεχώρισε κραυγάζοντα·

book 4 Μέγας 〈μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.〉

book 5 Ἐνύπνιον δεύτερον ἰδών, τῷ πατρὶ αὐτοῦ φησιν ὅτι «Ἥλιος καὶ σελήνη καὶ ἀστέρες προσεκύνουν με ῥυθμῷ, τῷ ἀριθμῷ δέκα καὶ εἷς. —Φαντάζει, παιδίον, βασιλεῦσαι πειρώμενος,» ὁ πρέσβυς ἀντέφη τῷ Ἰωσήφ· «μάθε καθεύδειν ὡς ποιμὴν πρόβατα βόσκων· βαρὺ προσκυνεῖσθαι υἱὸν ἐκ πατρός. Χιτῶνά σοι διδῶ τὸν ποικίλον ἀντὶ λαμπρᾶς πορφυρίδος, καὶ στέφος τὸν χορὸν τῶν συγγόνων ὃν ἐμοὶ Κύριος χαρίσηται· ὑπάρχει γὰρ μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 6 Ζητῆσαι τὰ πρόβατα, ἀρνίον μου, ἄπιθι πρὶν λύκοι σε ἔδονται», τῷ παιδὶ ἔφη ὁ πρέσβυς. Καὶ δὴ ὥρμησεν ἐν τῇ ποίμνῃ σπουδῇ ὁ Ἰωσήφ· ὅντινα ἰδόντες οἱ συναίμονες τρέχοντα· «Καλῶς, φασίν, ἦλθεν ὁ βασιλεύς· βάψωμεν αἵματι αὐτοῦ τὴν πορφυρίδα· ἐγκαινίσει πρόκενσον ἐν πύλαις νεκρῶν.» Ῥουβὶμ δὲ συναλγῶν πάντας πείσας ῥίπτει αὐτὸν ἐν τῷ λάκκῳ βοῶντα· «Οἴμοι τῆς βασιλείας· τοῦτο νῦν ἐστι τὸ παλάτιον;» Καὶ ἔκραξε·

book 6 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 7 Ἡ πρόθεσις ἔσφαξε τὸ λογικὸν πρόβατον, καὶ δεῖπνον παρέθηκαν· μασησάμενοι τὰ μέλη, ἐπεζήτησαν καὶ κέρδους τροφὴν οἱ ἀδελφοί. Φησὶ γάρ· «Ἰούδας τοῖς συγγόνοις βουλεύεται· Πραθείτω τὸ μῦρον τῶν ἀδελφῶν.» Ὢ ἀπὸ πόσων γενεῶν λάμπει Ἰούδας· ὢ τῆς προδοσίας ἀρχαία εἰκών. Καὶ εἴκοσι χρυσῶν διεπράθη ὁ συγγενής, ἄνευ τοῦ ἱματίου δοθεὶς Ἰσμαηλίταις· εἰ πωλεῖς, δὸς καὶ τὸ ἱμάτιον τῷ κράζοντι·

book 7 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 8 Θηρῶν ἀγριώτεροι οἱ ἀδελφοὶ ὤφθησαν τὸ τέλος πωλήσαντες, λεαινῶν μὴ συγχωρούντων ἁφαρπᾶσαι ἐξ ἀγκάλων ποτὲ σκύμνον αὐτῶν. Αἵματι ἐρίφου τὸν χιτῶνα μολύναντες, προσήγαγον τοῦτον τῷ Ἰακώβ· βλέπων ὁ γέρων συμφοράν, πλείω καμίνου φλεγόμενος τὰ σπλάγχνα, τὸ τέκνον θρηνεῖ· «Οἴμοι, βοῶν, υἱέ, ἀνῃρέθης ὑπὸ θηρός; Ὁ χιτὼν σῶός ἐστι· σὺ πῶς μόνος ἐβρώθης; Ποῦ τῶν σῶν σκήπτρων τὰ ὁράματα; Πῶς ἔκραζες·

book 8 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν;»

book 9 Ἰδὼν ὁ νεώτερος δεσπότην, αἰφνίδιον ὡς γέρων παρίστατο λέγων· «Ὀνειροπολοῦμαι· τὰς ἡμέρας καὶ τὰς νύκτας ἐμὲ χρὴ καρτερεῖν· δραγμῶν καὶ ἡλίου καὶ σελήνης προσκύνησις καὶ ἕνδεκα ἄστρων ἔδυσαν νῦν· δεί〈ξασ〉 οὖν τὴν ὑπακοὴν τοῖς ἀδελφοῖς μου, οὐ λύω τῶν πατέρων θεσμοὺς εὐπρεπεῖς· εἰ γὰρ ὁ Ἰσαὰκ εἰς θυσίαν εἶξε πατρὶ μόνο〈σ〉 μόνῳ προστάξας, πῶς ἐμὲ δουλωσάντων ἀδελφῶν δέκα μὴ ἀνέξομαι καὶ κράξομαι·

book 9 Μέγας μόνος Κύριος ὁ σωτὴρ 〈ἡμῶν;〉 »

book 10 Κατέλαβεν Αἴγυπτον ὁ λογικὸς ἥλιος ἐν ζόφῳ κρυπτόμενος, ὃς ἐν πράσει τῇ δευτέρᾳ ἀνατέλλει εἰς τὸν οἶκον ὡς φῶς τοῦ Πετεφρῆ. Ἡ χάρις δὲ τοῦτον πανταχοῦ ὡραΐζουσα [para]ἀστράπτειν ἐποίει ταῖς ἀρεταῖς· ὅθεν αὐτὸς ὁ Πετεφρῆς σώφρονα βλέπων χειροτονεῖ ἐπάνω αὐτὸν τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ. Ἀλλ’ ἦλθεν ἡ γυνὴ κάτω ῥίψαι τὸν ὑψηλόν· πότε γὰρ λείπει Εὔα τὴν τοῦ ὄφεως γνώμην; Ἥν, λαοί, πάλιν θεωρήσαντες κραυγάσωμεν·

book 10 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 11 Λαμπρότητος ἄγαλμα ὁρῶντα τὸ γύναιον χαυνοῦται ὡς γύναιον, καὶ τὸν νέον κατεπάτει προκαλοῦσα εἰς τὴν κοίτην πεσεῖν τὴν τοῦ ἀνδρός. Αὐτὸς δὲ τὸ σθένος τῆς ἀνδρείας ὑπήλειψε, φυγῇ νικῶν πτῶμα τέχνῃ καλῇ· πρώτην οὖν πάλην ἐξελθὼν ὁ νικηφόρος, καὶ πάλιν κατεπάτει αὐτὸν ἡ μαινάς· καὶ εὗροῦσα μοναχὸν ἐν τῷ οἴκῳ, ἀμεριμνεῖ καὶ ἀλύσεως δίκην δράσσεται τοῦ χιτῶνος· ἀλλ’ αὐτὸς ἄνω βλέπων, οὕτως ἀνεκραύγασε·

book 11 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 12 «Μαρᾶναι τὸ ἄνθος μου, τὸ ἄνθος τῆς χάριτος, ἐγὼ οὐκ ἀνέχομαι· κἂν κρατῇς με τοῦ χιτῶνος, οὐ γυμνοῖς με σωφροσύνης», φησὶν ὁ Ἰωσήφ· «Μὴ νόμιζε, γῦναι, τὸ σφάλμα ἀκατόπτευτον· Θεὸς ἡμᾶς βλέπει ἐξ οὐρανοῦ· γένος οὐκ οἶδεν Ἀβραὰμ μίγνυσθαι πόρναις· [para]μὴ θελήσῃς τεφρῶσαι τὸν σὸν Πετεφρῆν· δεσπόζεις μου αὐτὴ εἰς τὴν πρᾶσιν, ὁμολογῶ· ἀλλ’ ἐγὼ εἰς τὴν πρᾶξιν σοῦ δεσπόζω· ἐλπίζω εἰς Θεόν· ἔχε τὸν χιτῶνά μου· ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ 〈ἡμῶν.〉 »

book 13 Νικήσας ὁ ἄρρηκτος πορνείας παλαίσματα, πηδᾷ ἐκ τοῦ σκάμματος ὁ εὐσχήμων, ἐν 〈τῇ〉 γνώσει προσκυνῶν τὸν ἀγωνοθέτην Θεὸν ὁ εὐστεφής. Ἀντὶ δὲ βραβείου, εἰς φρουρὰν ἀποκλείεται· ἡ γὰρ Αἰγυπτία τέχνῃ πικρᾷ τὸν Πετεφρῆν παρώξυνε συκοφαντίαις, τὸ σφάλμα ἀνακλῶσα εἰς τὸν εὐγενῆ· δεικνύουσα αὐτῷ τὸν χιτῶνα τοῦ Ἰωσὴφ καὶ δακρύων πελάγει πνιγομένη τῷ πόθῳ, εἰς εἱρκτὴν πείθει ἐκπεμφθῆναι τὸν κραυγάζοντα·

book 13 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 14 Ζενοπρεπῶς ὤργισται, καινοπρεπῶς μαίνεται ὁ ἀληθῶς μάγειρος· πόθεν γὰρ αὐτῷ σοφία τῆς ἁγνείας παιδευθῆναι τὸν νοῦν, ὁ ἀμαθής; Εἰ φρόνησιν εἶχεν, οὐκ ἂν τὸν δόλον ἔλαθε· κριτὴς ἐγένου ἄφρων· τῷ Ἰωσὴφ μάρτυς ὑπάρχει ὁ χιτών· ποῦ οὖν ὑπάρχει [para]ἐρεύνησον, καὶ βλέπε εἰ πιστή ἐστι· εἰ ἔφυγεν αὐτόν, πῶς κατέχει τούτου στολήν; Ἀδικεῖν μὲν νομίζεις τὸν ἐλεύθερον δοῦλον, ἀλλ’ αὐτὸν ὄψει ὡς φῶς λάμποντα καὶ κράζοντα·

book 14 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 15 Οἰκεῖ δεσμωτήριον τὸ αἷμα τὸ τίμιον ἀνθ’ ὧν οὐκ ἠσέβησε, καὶ γίνεται ξενοδόχος τὸν προπάτορα Ἀβρὰμ ζωγραφῶν ἐν τῇ φρουρᾷ· σοφὸς ἐθαυμάσθη διαλύων ἐνύπνιον, τὸν μὲν ἐπανάγων ἐν τῇ τιμῇ, τὸν δὲ κατάγων ἐν νεκροῖς ταῖς ἑρμηνείαις· καὶ ὤφθη προφήτης τοῖς δύο παισίν. Τῇ τε ὑπομονῇ τῆς φρουρᾶς ἦν ἀνεκτικός· καὶ γὰρ τῆς πορφυρίδος σκυθρωπάζει ἡ ῥίζα, ἣ καιρῷ ἔλαμψεν ὡς ἥλιος τῷ κράζοντι·

book 15 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 16 Πικρὸν θεασάμενος ὁ Φαραὼ ὅραμα, σοφοὺς μετεστείλατο καὶ φησὶν αὐτοῖς· «Κατ’ ὄναρ ἐθεώρησα λιπαροὺς καὶ καλοὺς βόας ἑπτά, καὶ ἄλλους ἰσχνούς τε καὶ λεπτούς, καὶ κατήσθιον τοὺς εὐθαλεστέρους· καὶ μετ’ αὐτοὺς εἶδον καὶ στάχυας ἑπτὰ πεπείρους πάνυ, καὶ ἀνεμοφθόρους ἑτέρους ἑπτά· καὶ ἔτι τῶν μικρῶν τὰ μεγάλα ὤφθη τροφή.» Πάντων δ’ ἀπορησάντων τὸ ἐνύπνιον λῦσαι, Ἰωσὴφ λύσας στέφος εἴληφε καὶ ἔκραξε·

book 16 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 17 Ῥητόρων ἀνώτερος ὀφθείς, ὁ νεώτερος Αἰγύπτου ἐδέσποσεν· ἦν δὲ βλέπειν βασιλέα πατρικῶς οἰκονομοῦντα λαὸν ὡς υἱῶν· τροφὰς θησαυρίζων ὑπὲρ ψάμμον θαλάσσιον, κελλάριος ὤφθη πάσης σαρκός. Εἶτα κατέλαβε λιμὸς γῆν Χαναναίων, καὶ Ἰακὼβ ἐκπέμπει τοὺς 〈δέκα〉 υἱούς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«Ἀπέλθατε, φησίν, ἐν Αἰγύπτῳ, τέκνα ἐμά· σιτοδότην ἀκούω καὶ τροφέα πεινώντων· ἀδελφὸν ἴδιον εὑράμενοι κραυγάσητε·

book 17 Μέγας μόνος 〈Κύριος ὁ σωτὴρ ἡμῶν.〉 »

book 18 Σκιρτῶντες ἐβάδιζον ἐλπίδι ζωῆς αὐτῶν, καὶ φθάσαντες Αἴγυπτον προσκυνοῦσι τῷ πραθέντι· περιύπνισε τὸ ὄναρ ἐκεῖ τὸ τῶν δραγμῶν. Ὁ μὲν Ἰωσὴφ τούτους ἐπέγνω, οἱ δέκα δὲ οὐκ ἔγνωσαν τίς ἦν· ὅθεν λοιπὸν τὸν γνωρισμὸν κυοφορῶν, λέγει ὁ ἄναξ· «Κατάσκοποι οὗτοι οἱ ἄνδρες εἰσί.» Καὶ ἅμα τῷ ῥητῷ φυλαχθῆναι ἔφη αὐτούς· καὶ αὐτὸν βασιλέα εἴδοσαν καὶ τροφέα ὃν αὐτοὶ φθόνῳ ἀπεμπόλησαν, καὶ ἔκραζον·

book 18 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 19 «Τὰ καθ' ὑμᾶς εἴπατε, πορφύραν μὴ ψεύσησθε», ὁ ἄναξ ἐβόησε· «τὰς καρδίας ὑμῶν ἔγνων, οὐ λανθάνει με οὐδεὶς ἐξ ὑμῶν· οἶδα ὑμᾶς.» Οἱ δέ φασι· «Δοῦλόν σου πατέρα κεκτήμεθα· ἐσμὲν δυὸ‿ καὶ δέκα οἱ ἀδελφοί· εἷς τετελεύτηκε 〈ἡμῶν〉 —σοὶ τῷ δεσπότῃ ἀλήθειαν ἐροῦμεν εἰς ἃ φράζομεν—· μικρότερος δ' ἡμῶν πάντων ἐστὶ Βενιαμίν· 〈νῦν〉 τοῦ οἴκου σου οὗτος ἐστὶ παραμυθία· καὶ ἡμεῖς σίτου χάριν ἤλθομεν, καὶ κράζομεν·

book 19 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 20 —Ὑμεῖς πρὸς ἃ λέγετε εἰ θέλετε πεῖσαί με, ὃ λέγω ποιήσατε· οὐχ ὡς ἄναξ ἐπιτρέπω, ἀλλ' ὡς σύγγονος συγγόνοις λαλῶ· λάβετε μὲν τὸν σῖτον οἱ πάντες, ἕνα δὲ παρεάσαντες οἱ ἄλλοι βαδίσατε ἐν χαρᾷ· ἀγάγετε δὲ τὸν μικρὸν σύγγονον πρός με, καὶ γνώσομαι ὅτι οὐ δόλιοί ἐστε.» Καὶ ἔλαβε λοιπὸν ἐξ ἐκείνων τὸν Συμεὼν, δήσας ἔμπροσθεν πάντων· οἱ λοιποὶ δὲ ἰδόντες ἅ ποτε ἔπραξαν ἐμνήσθησαν καὶ ἔκραξαν·

book 20 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 21 Φρικτὰ τὰ τοῦ ἄνακτος ἰδόντες ἐδάκρυσαν ὡς διὰ τὸν σύγγονον, καὶ ἐλθόντες πρὸς γενέτην, προσηγόρευσαν αὐτὸν σκυθρωπῶς· «Χαίροις πατήρ.» Ἰδὼν δὲ ἐννέα ἀντὶ δέκα ὁ ὅσιος νεκροῦται καὶ λέγει· «Ποῦ Συμεών;» Πρὸς ὅν φασιν οἱ ὑἱοί· «—Πάτερ, μὴ στένε· ἀνάσχου μακροθύμως τῶν λόγων ἡμῶν. —Οὐ λόγων τῶν ὑμῶν οὔτε σίτου χρῄζω, φησίν· τὸ ἐμὸν τέκνον θέλω· μὴ καὶ ἄρτι χιτῶνα σύ, Ῥουβίμ, ἄγεις μοι; Ἐπάκουσόν μοι κράζοντι·

book 21 Μέγας 〈μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.〉

book 22 —Χαυνοῦσαι προβλήμασι, νικᾶσαι τοῖς δάκρυσι, ὀφείλων ἀγάλλεσθαι· ὡς ἠγάγομεν γὰρ σῖτον, κομιοῦμέν σοι καὶ τὸν Συμεών, πάτερ, φησί. Μὴ τρέμε, μὴ κλαῖε, Συμεὼν οὐκ ἀπέθανε· πρὸ τοῦ σὲ ἀκοῦσαι, τί ἀθυμεῖς; Ὁ τῆς Αἰγύπτου βασιλεύς, ὡς ἡμᾶς εἶδεν, ἐδόκει κατασκόπους τῆς γῆς καθορᾶν, καὶ πέμψας εἰς φρουράν, τρεῖς ἡμέρας πάντας ἡμᾶς κατακλείστους ποιήσας, θεραπεύει ἐξάξας, καὶ ἐπὶ τῇ ἐναλλαγῇ αὐτοῦ κραυγάζομεν·

book 22 Μέγας 〈μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.〉

book 23 Ψευδῆ οὐκ εἰρήκαμεν ὑπόνοιαν φεύγοντες τοῦ εἶναι κατάσκοποι, [para]ὡς εἰρήκαμεν πατέρα καὶ ὅτι ἔχομεν μικρὸν ἀδελφὸν Βενιαμίν. Ὁ ἄναξ δ' εὐθέως τὸ ἀμφίβολον ἔλυσε [para] 〈ἀσπλάγχνωσ〉 θεσπίσας· Μείνῃ ὁ εἷς ἕως ἐλθεῖν Βενιαμίν, ἵνα πιστεύσω.» [para]Ὁ Ἰακὼβ πρὸς ταῦτα ἐβόα θρηνῶν· »Ἰωσὴφ καὶ Συμεὼν οὐχ ὑπάρχει· Βενιαμὶν [para]σὺ ὑπάγεις· τῶν τέκνων Ῥαχὴλ θλῖψιν οὐκ οἶδας; [para]Τοὺς λοιπούς, ὕψιστε, συντήρησον· ὑπάρχεις γὰρ μέγας μόνος Κύριος ὁ 〈σωτὴρ ἡμῶν.〉

book 24 Ὡς τέκνα μου φείσασθε· ἐγὼ γὰρ ἐκ θλίψεως εἰς Ἅιδην κατέρχομαι· τὸν ἐμὸν γὰρ ἀμπελῶνα ἐκτρυγώμενον κατὰ μέρος ὁρᾶν οὐ καρτερῶ· ἐκεῖ γὰρ εὑρήσω Ἰωσὴφ τὸν ποθούμενον.» Οἱ δέ φασι· «—Πάτερ, τί στενάζεις; Ἴδε ἣν εὕρομεν χαρὰν ἐν τοῖς μαρσίπποις, τὸ τίμημα τοῦ σίτου, καὶ παῦσαι θρηνῶν. —Διπλῆ μοι συμφορά», ἔκραζε λέγων Ἰακώβ· «διὰ τοῦτο γὰρ πλέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Συμεὼν κακῶς ἕξει, ὃν χειρὶ σώσει ὁ φιλάνθρωπος· ὑπάρχει γὰρ μέγας 〈μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.〉

book 25 Ἄφευκτον τὸ πέμψαι με, φευκτὸν τὸ μὴ πέμψαι μοι· ὡς πλάστιγξ δαμάζει με ἡ φροντίς, φησι, τῶν τέκνων· τὴν ἀρχὴν γὰρ καὶ τὸ τέλος θρηνῶ τῶν ὑϊῶν. Λοιπὸν μετ᾽ ὀδύνης εἰς τὸν Ἅιδην ἀπέρχομαι· καὶ σὲ γὰρ προπέμπων, Βενιαμίν, ἤδη τὸ κλεῖθρον τῶν ἐμῶν τέκνων προδίδω φανερῶς τοῦ γενέσθαι τροφὴν τῶν θηρῶν· ἀπήλπισά σου νῦν· μὴ σὲ κλαύςῳ ὡς τὸν Ἰωσήφ· ὀφθαλμοὺς δύο εἶχον τῆς Ῥαχὴλ ζεύγλην τέκνων· κἂν αὐτὸν δώρησαί μοι, εὔσπλαγχνε· ὑπάρχεις γὰρ

book 25 μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 26 Λοιπόν, τέκνον, ἄπιθι, τὸ μέλος τὸ ἄωρον, μετὰ τῶν συγγόνων σου», ἔφη κλαίων ὁ πρεσβύτης· «ὁδηγήσει ὑμᾶς ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ κἀμοῦ Ἰακώβ 〈ου〉, τοῦ πατρὸς ὑμῶν, τέκνα μου.» Ἐν τούτοις ἀπῆλθον χάριν τροφῆς ἐν τῇ Αἰγύπτῳ 〈ἐκ καινῆσ〉, καὶ προσκυνοῦσι τῷ ἄνακτι φόβῳ πεσόντες εἰς γῆν. Οὓς βλέψας Ἰωσὴφ ἅμα τε καὶ τὸν Βενιαμίν, πρὸς τὸ ὄναρ τὴν λύσιν τῶν ἀστέρων ἠρίθμει, καὶ σιγῇ ἔνδον ταραττόμενος προσηύχετο·

book 26 Μέγας μόνος 〈Κύριος ὁ σωτὴρ ἡμῶν.〉

book 27 Φρονήσεως αἵματι φυκώσας τὸ πρόσωπον, αἰδεῖται τὰ πρόσωπα καὶ τῇ φύσει ῥητορεύει δικαστήριον κινήσας ψυχήν, λέγων τῷ νῷ· «Οὐχ ἥμαρτον οὗτοι· Θεοῦ ἔργον ἐγένετο· αἴτιοί μου οὗτοι τῶν ἀρετῶν· ποῖον 〈γὰρ〉 καύχημα θερμῶς ἀνδρὶ ἀθλοῦντι, εἰ μὴ ἐκνικήσας νομίμως στεφθῇ; Χορὸν ἀδελφικὸν τίς τοιοῦτον 〈οὐ〉 προσκυνεῖ; Δάκρυα, σιωπᾶτε, οὔπω θέλω γνωσθῆναι· ὀφθαλμοί, γλῶτταν μὴ νικήσητε· σιγῇ δ᾽ εὖξαι·

book 27 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

book 28 Αὐταῖς ἰδεῖν ὄψεσι, φησί, πῶς τεχνάσομαι τὸν πατρικὸν ἥλιον; Τῆς μητρός μου γὰρ γινώσκω τὴν σελήνην ἐν τῇ ἄνω αὐλῇ οὖσαν σεμνῶς· τὰ ἄστρα καλύπτει ὡς νεφέλη τὸν οἶκον μου. Παράσχω τὸν σῖτον τοῖς ἀδελφοῖς καὶ σίτῳ τὸν Βενιαμὶν νῦν δελεάσω, ὡς δέλεαρ τὸ κόνδυ μαρσίππῳ βαλών· καὶ τῇ ἐμῇ κλοπῇ θηραθήσεται ὃν ποθῶ. Ταῦτά μοι καλῶς ἔσται ἐν κακούργῳ ἀγάπῃ· Χαναναῖς φάγονται καὶ πίονται καὶ κράξονται·

book 28 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 29 Βραχέα σκεψάμενος, τὰ κατὰ διάνοιαν εἰς ἔργα προέβησαν καὶ οὓς εἶπε κατασκόπους πρὸς ἑστίασιν ὥσπερ φίλους ποιεῖ ἀναπεσεῖν· καὶ μέσον τοῦ δείπνου τὰ τῆς ἄγρας ἐσκεύαζεν ἐν τῷ λεληθότι δούλῳ εἰπών· «Τῶν ἀριστούντων σὺν ἐμοὶ πλήσας τοῦ σίτου τοὺς τούτων μαρσίππους, ἐντὸς τοῦ μικροῦ οὗ φημι Βενιαμίν, εἰς τὸν μάρσιππον τὸν αὐτοῦ, ἐν ᾧ πίνω τὸ κόνδυ ἔμβαλε λάθρᾳ πάντων.» Καὶ πληρῶν πράγματα τὰ ῥήματα ἐκραύγαζε·

book 29 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 30 Ἦν νῆμα καὶ δίκτυον τῷ νέῳ τὸ δρώμενον, οὐ σίτου ἐμπόριον· ἦν γὰρ τοῦτον θεωρῆσαι αὐλιζόμενον ὡς ἐν ζώγρῳ κρυπτῷ δόλους στοργῆς, καὶ πάντας ἐξ ἴσου μεμφόμενον ὡς κλέψαντας τὸν κλέψαντα πάντας τρόπῳ σοφῷ. Τί γάρ; Βαινόντων καθ᾽ ὁδὸν τῶν μειρακίσκων, παῖς ἦλθε δρομαῖος τοιαῦτα βοῶν· «Κακοῦργοι, πονηροί, κλέπται δόλιοι, τολμηροί· τίς ἐσύλησεν, εἴπῃ, τὸ τοῦ ἄνακτος κόνδυ· τὰ δεινὰ ἤδη ὑμᾶς ἔφθασαν, κἂν κράξετε·

book 30 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 31 Τρομέοντες ἵσταντο ὡς ἅπαξ εὑράμενοι ἀνέγκλητον ἔγκλημα, καὶ φησὶ τῷ ἐκζητοῦντι· «Ἀνερεύνησον ὡς θέλεις ἡμᾶς· πάντες ἐσμέν· τὸ κόνδυ εἰ εὕρῃς, αἷμα χέαι τοῦ κλέψαντος· οἰκέτας δὲ λάβε πάντας ἡμᾶς.» Καὶ τοὺς μαρσίππους καθελὼν κρίσει ἐρεύνα· ἐγέλων δὲ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνδρα ἀγνοίας σκοπῷ. Ἐγγίσας δὲ λοιπὸν τῷ μαρσίππῳ Βενιαμίν, ἐκεῖ εὗρε τὸ κόνδυ· καὶ σαλπίζουσι θρῆνον· «Ἰακώβ, κλαῦσον ἡμᾶς ἅπαντας καὶ κραύγασον·

book 31 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉»

book 32 Ὅλοι μορφὴν τύπτοντες, στυγνοὶ ἐπανέστρεψαν σὺν γόμοις εἰς Αἴγυπτον οἱ μὴ κλέψαντες ὡς κλέπται· οὓς ὁ πάνσοφος θεωρῶν σκυθρωποὺς πάσχει ψυχήν, καὶ τούτων τὸ δέος ἀποκόπτων προσήγγισεν ἐν μέσῳ συγγόνων· φόβῳ δ' αὐτοὶ εἶδον αὐτὸν ὡς ἀστραπὴν καὶ προσκυνοῦσι, δουλείαν πρὸ ψόγου κυροῦντες αὐτῷ. Ὁ ἄναξ δὲ ὁρῶν παραλήπτους τοὺς ἀδελφοὺς ἀσφαλίζεται κλεῖθρα καὶ ἀνοίγει τὰ ῥεῖθρα· ποταμοὺς ὄμμασι μιμούμενος ἐκραύγαζε·

book 32 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 33 «Νῦν τί, φησι, φθέγξομαι; Θαρρήσω τίς πέφυκα; Ἐλέγξω τί πέλουσι; Κυματοῦνταί μου τὰ σπλάγχνα· οὐ χωρεῖ μου τὴν χαρὰν ἡ ψυχὴ μεῖναι ῥοπήν· νικῶμαι, οὐ νήφω καὶ μεθύω τῷ φίλτρῳ μου· ἐμοῦ ἡ βραδύτης τούτους λυπεῖ.» Μήπω δὲ στέξας τὴν χαράν, ἄφνω ἀνοίγει καὶ ὥσπερ μαργαρίτης ὀφθεὶς ἐκβοᾷ· «Ἐγώ εἰμι αὐτός, ἀδελφοί μου, ὁ Ἰωσήφ· ἀποδύσασθε αἰδῶ καὶ ἐνδύσασθε σθένος· τῷ Θεῷ δόξαν ἀναπέμψωμεν κραυγάζοντες·

book 33 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book 34 Ῥιζώσω τὸν πόθον μου, φιλήσω τὰ ὄμματα ὑμῶν καὶ τὰ στόματα· εὐφρανθῶ, χορεύσω, ὅτι βασιλεία μού ἐστε, ἀδελφοί, ἀπὸ τοῦ νῦν· ἐμὲ μὴ αἰδεῖσθε, μὴ φοβεῖσθε· ἐγώ εἰμι ὁ δεύτερος Ἄβελ, ζῶν Ἰωσήφ· ῥίψαντες τρόμον ἀφ' ὑμῶν τὸν ἐκ τοῦ Κάϊν, πορεύθητε καὶ τὸν πατέρα ἡμῶν ἀγάγετε πρός με, ἵν' ἐγκύψῃ οὐχὶ ἐμοί, ἀλλὰ τῇ πορφυρίδι καὶ τῷ ταύτης δοτῆρι· καὶ ἐμὲ ὄψεσι θεώμενος κεκράξεται·

book 34 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 35 Ὡς οὖν κατεφίλησαν ἀλλήλους, ἐξώρμησαν σπουδῇ εἰς τὰ ἴδια· οὓς ὁρῶν ὁ γηραλέος νέος γέγονεν ὡς ἰδὼν τοὺς υἱούς, οὕτως βοῶν· «Ἀεί σε δοξάζω, ὁ Θεός μου, ὁ πάντοτε ἐμὲ περιέπων καὶ τοὺς ἐμούς.» Ὁ Συμεὼν δὲ πρὸς αὐτὸν ἔφη· «Ὦ πάτερ, χαράν σοι μηνύω· πορεύου, σπεῦδε· ἰδὲ τὸν Ἰωσὴφ βασιλέα καὶ μὴ λυποῦ.» Πρὸς ὃν ἔφη ὁ πρέσβυς· «Ἐγγελᾷς μοι, ὦ τέκνον· τῷ Θεῷ κρύψαι σου τὰ σφάλματα 〈καὶ〉 βόησον·

book 35 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 36 «Μὴ δίσταζε, πίστευε», οἱ νέοι ἐβόησαν φιλοῦντες τὰ γόνατα τοῦ πατρὸς αὐτῶν, καὶ πάντα τὰ ῥηθέντα διηγοῦνται αὐτῷ. Ὁ Ἰακὼβ ἀκούσας ἠγέρθη καὶ ὡς βρέφος ἐσκίρτησε, τὸ γῆρας τῆς κάρας ὑπερβαλών, ἔσπευδεν ὡς 〈ὁ〉 Ἀβραάμ, ἐπαγγελίαν τοῦ τέκνου ἀκούσας. Τὸ πένθος λιπών, «ἐξέλθωμεν, φησί· ῥαθυμίας νύκτα μηδεὶς φοβηθείτω, διότι ταύτην ἐκ τῶν ὀμμάτων τῶν ἐμῶν Κύριος ἐδίωξεν· ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ 〈ἡμῶν.〉

book 37 Ἀνέτειλεν ἤδη μοι ἡμέρα ἡ ἔχουσα ὡρῶν δωδεκάωρον, λογική, τῶν ἐμῶν τέκνων τὸ ἰσάριθμον καὶ ἰσόφωτον φῶς· τὰ ἀπλανῆ τὰ τοῦ Θεοῦ ἔργα ἀπαγγέλλων οὐ παύσομαι· φευγέτω ὁ φθόνος ἐκ τῶν ἐμῶν· κατὰ γὰρ ὥραν ἔφαινε τῇ πανημέρῳ καὶ τέκνον παρέσχεν ἐμοὶ ὁ Θεός. Ποῦ πέλει ἡ Ῥαχήλ, ἵνα ἴδῃ τὸν ἐξ αὐτῆς ἐκ νεκρῶν ἀναστάντα, ὃν ὁ πλάστης ἐγείρας Ἰωσὴφ ζῶντα ἐχαρίσατο; Ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 38 Νῦν γέρων τοῖς μείραξιν ἐφάμιλλος ὥδευεν, καὶ ἐπὶ τὴν Αἴγυπτον τὴν πορείαν ποιουμένων, θεωρῆσαι ἦν ἐκεῖ πῶς σκιρτῶν εἷς τῷ ἑνὶ ἔριζον· τὰ κτήνη ἑνωθνοῦντες προέκοπτον. Ἦν δὲ καὶ σκοπῆσαι τὸν Ἰακὼβ διεζωσμένον τὴν ὀσφὺν καὶ βακτηρίαν κρατοῦντα, καὶ ὥσπερ δρομαίᾳ σπουδῇ προβαίνοντα, καὶ τοὺς συνοδεύοντας σὺν αὐτῷ ἐρωτῶντα τὸ μῆκος τῆς ὁδοῦ, γαυριῶντα καὶ ἀεὶ ἄνω προσανέχοντα καὶ κράζοντα·

book 38 Μέγας μόνος Κύριος 〈ὁ σωτὴρ ἡμῶν.〉

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 39 Ὅτε οὖν κατέλαβον τὴν Αἴγυπτον, ἔλαμψεν ὁ ἄναξ ὡς ἥλιος καὶ πλακεὶς ἐν τῷ τραχήλῳ τοῦ πατρὸς αὐτοῦ κατεφίλει αὐτὸν δακρυρροῶν. «Ἐμὲ τῷ Θεῷ σου, φησί, πάτερ, ἐδάνεισας, κἀγὼ ταῖς εὐχαῖς σου καρποφορῶ· τὸ δὲ κεφάλαιον διπλοῦν εὗρες σὺν τόκῳ.» Πρὸς ὃν ὁ πρεσβύτης δακρύων βοᾷ· «Πόθεν μοι ἔλαμψας; ἀπὸ γῆς ἢ ἐξ οὐρανοῦ; ἐκ νεκρῶν ἢ ἐκ ζώντων; ποῖος θὴρ ἔτεκέν σε; Ταῦτα τοῦ κτίστου τὰ τεράστια· ὑπάρχει γὰρ μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.»

book 40 Ὑμνήσωμεν ψάλλοντες τὸν κτίστην τῆς κτίσεως τοιαῦτα παρέχοντα· τὴν αὐτοῦ γὰρ εὐσπλαγχνίαν ἱκετεύοντας περιέπει ἡμᾶς διὰ παντός. Οἱ ἄνθρωποι πάντες σωφροσύνην ποθήσωμεν ζηλοῦντες εἰς πάντα τὸν Ἰωσήφ· ἐρῶμεν τί ἀποτελεῖ ἡ σωφροσύνη καὶ ἡ ἀκολασία τί ἀποκυεῖ· ἡ μὲν πρὸς τὴν ζωὴν τὴν αἰώνιον 〈συγ〉 καλεῖ, ἡ δὲ πρὸς τὴν γέενναν· ἀλλὰ φύγωμεν ταύτην τῇ εὐχῇ πάντοτε σχολάζοντες καὶ κράζοντες·

book 40 Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.

book pro 1 Οἱ τὸ στάδιον τῶν νηστειῶν πανσόφως διανύσαντες καὶ τὴν ἔναρξιν τοῦ πάθους τοῦ Κυρίου ἐν πόθῳ ποιούμενοι [para]δεῦτε, πάντες ἀδελφοί, τὴν τοῦ σώφρονος ἁγίαν Ἰωσὴφ σπουδὴν ζηλώσωμεν· τῆς δὲ συκῆς τὴν ἀκαρπίαν φοβηθέντες, τῶν παθῶν ξηράνωμεν δι’ ἐλεημοσύνης τὴν ἡδύτητα, ἵνα καὶ τὴν ἔγερσιν εὐθύμως προφθάσαντες, ὡς μύρα κομισώμεθα ἐξ ὕψους τὴν συγχώρησιν, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book pro 2 Τοὺς τὸ πάθος σου πεφθακότας καὶ τὴν ἔγερσιν [para]προσκυνῆσαι ἀξίωσον, σωτήρ, τὸ ἀκοίμητον ὄμμα.

book pro 3 Ἀκολασία τὸν νέον ἐξαπατᾷ πρὸς ἡδύτητα, [para]ἡ ἁγνεία ἀνδρείαν συνεισάγει τῷ σώφρονι, δι’ ὧν ὤφθη ὁ δίκαιος Ἰωσὴφ ἐν [Αἰγύ]πτῳ, δεδοικὼς μὴ ἁμαρτῆσαι, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book pro 4 Τὸν ὀδυρμὸν τοῦ Ἰακὼβ νῦν θεωρήσωμεν, τῶν ἀδελφῶν τὴν δολερὰν γνώμην μισήσωμεν, [para]Ἰωσὴφ δὲ τὸν δίκαιον ζηλώσωμεν· σωφροσύνην γὰρ φυλάξας ἀθόλωτον, ἐκ παντοίων οὖν κινδύνων ἠλευθέρωται, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 1 Ἔχοντες βασιλέα οὐρανῶν βασιλείαν διδοῦντα τοῖς αὐτοῦ στρατιώταις, ἐνδυσώμεθα τὴν ἀρετήν, πανοπλίαν οὖσαν τῶν ψυχῶν ἄτρωτον, ἵνα καὶ πολεμήσωμεν ὡς ἔμφρονες τὴν ἁμαρτίαν. Τίνα δὲ τὴν ἀρετὴν νοῶμεν; Φιλοσοφίαν ὁρῶμεν ταύτην· τέχνη γάρ ἐστι τῶν τεχνῶν, ὡς ἀκούομεν, τῶν ἐπιστημῶν ἐπιστήμη τυγχάνουσα· δι’ αὐτῆς, ὡς διὰ κλίμακος, χειραγωγεῖται ψυχὴ καὶ πρὸς ὕψος ἀναφέρεται τῆς οὐρανίου ζωῆς· φρόνησιν καὶ ἀνδρείαν τοὺς ἀνθρώπους διδάσκει, ἔτι δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην. Τούτοις ἡμᾶς τοῖς ὅπλοις τειχίσωμεν, καὶ τοῦ Χριστοῦ τὴν χάριν αἰτήσωμεν·

book 1 δίδωσι γὰρ τοῖς αὐτὸν ἀγαπῶσι [para]τὴν κατ’ ἐχθρῶν ἀναδήσασθαι νίκην, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 2 Ἵνα μάθωμεν πάντες τὴν ὑπέρλαμπρον δόξαν ἣν ἔχει ἀρετὴ καὶ παρέχει, τὴν ὑπόθεσιν τοῦ Ἰωσὴφ ἐνεγκεῖν εἰς μέσον, εἰ δοκεῖ, σπεύσωμεν, καὶ βίον φιλοσώφρονα κτησώμεθα δι’ ἐγκρατείας. Οὗτος πραθεὶς διὰ πάθος φθόνου δοῦλος παθῶν οὐδαμῶς εὑρέθη· εἶχε γὰρ τὸν νοῦν ὡς σοφὸν αὐτοκράτορα καὶ τῶν φιλοσάρκων παθῶν ἐκυρίευσε· διὰ τοῦτο οὐκ ἐσείετο κολακείαις γυναικός, ἀλλὰ ταύτης ἀπεσείετο τὰς θωπείας ἀνδρικῶς· ἔπεμπε μὲν ἐκείνη ὡς ἀνέμους τοὺς λόγους ἵνα τῆς σωφροσύνης καταβάλῃ τὸν οἶκον, καὶ ὡς βροχὴν τὴν μέθην κατέχεε, καὶ ποταμοὺς χρημάτων προσέφερε·

book 2 νέος δὲ ὤν, Ἰωσὴφ ὁ γενναῖος [para]ἦν ἑστηκὼς ἐπὶ πέτρας ἀσείστου, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 3

Σῶμα μὲν ἐδουλώθη, τὸ δὲ φρόνημα εἶχεν ἀδούλωτον ὁ σώφρων ἐκεῖνος· [para]ὁ κατ’ ὄναρ φανεὶς βασιλεὺς νῦν καθάπερ δοῦλος ὠνητὸς γέγονεν, ἀλλ’ ὅμως καὶ κρατούμενος, ἐκράτησε τῶν κρατησάντων· ὑπὸ δεσπότου μὲν ἐτιμᾶτο, ὑπὸ δεσποίνης δὲ ἐποθεῖτο· [para]ἦν μὲν ἀγαθὴ τοῦ δεσπότου ἡ εὔνοια, ἄχρηστος δὲ λίαν ἡ ταύτης διάνοια· ἔστεργε διὰ σεμνότητα ὁ ἀνὴρ τὸν Ἰωσήφ, ἔθελγε διὰ φαυλότητα ἡ γυνὴ τὸν εὐγενῆ· ἔτερπε μὲν ἐκεῖνον ἡ ὀρθότης τοῦ τρόπου, ἔτρωσε δὲ ἐκείνην ὡραιότης προσώπου· οὗτος αὐτῷ τὸν οἶκον παρέδωκεν, αὕτη αἰσχρῶς τὸ σῶμα προδέδωκεν·

book 3 ὅπερ ἰδὼν Ἰωσὴφ ἀπεστράφη, [para]τὴν φοβερὰν ἐνθυμούμενος κρίσιν, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 4 Τῶν πραγμάτων τὴν τάξιν ἡ παράνομος πρᾶξις ἀπέστρεφε πρὸς τὸ ἐναντίον· [para]ὁ μὲν δοῦλος ἐκράτει παθῶν, ὡς δεσπότης πάσης ἡδονῆς τέλειος· ἡ δέσποινα δὲ γέγονεν ἀνδράποδον τῆς ἁμαρτίας. Πᾶς γὰρ ὁ πράττων τὴν ἁμαρτίαν δοῦλος ὑπάρχει τῆς ἁμαρτίας, [para]πάντα μὲν τὰ ἄλλα ὡς ὄναρ ἡγούμενος, πρὸς δὲ τὸ ποθούμενον ὅλως ἑλκόμενος, ὥσπερ ἔπαθεν ἡ δέσποινα τοῦ δικαίου Ἰωσὴφ πρὸς ἐκείνην τὴν ἐπέραστον εὐμορφίαν τοῦ παιδός. Βλέπουσα γὰρ τὸν νέον ὀφθαλμοῖς ἀκολάστοις, [para]βέλεσιν ἀοράτοις τὴν ψυχὴν ἐκολάσθη· ὅσον αὐτὸς τῷ κάλλει ἐξέλαμπε, ταύτης ὁ νοῦς τοσοῦτον ἐξέλειπεν·

book 4 αὕτη πυρσὸν ἡδονῆς προετίθει, [para]οὗτος δὲ πῦρ ἄσβεστον ἀντετίθει, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 5 Ὅλην τῆς Αἰγυπτίας τὴν καρδίαν συνεῖχεν ἡ τῆς ἐπιθυμίας μανία, [para]καὶ πληγεῖσα κρυφίαν πληγήν, ὑπεδέχετο μὲν τὰ πικρὰ φάρμακα, γλυκέα δὲ ἐνόμιζε τὰ τραύματα, ὡς μαινομένη· δι’ ὀφθαλμῶν δεχομένη βέλη ἀπὸ τῆς σώφρονος βελοθήκης [para]καὶ τὴν ἑαυτῆς ἀσωτίαν τιτρώσκουσα, τέρψιν ὑπενόει τὴν τρῶσιν ἡ τάλαινα. Ὁ μὲν πόθος ὁ ἀκόλαστος ἐπολιόρκει τὸν νοῦν, τὸ δὲ πάθος οὐκ ἠδύνατο φανερῶσαι τὸ αὐτῆς· αὕτη γὰρ καὶ παρόντος Ἰωσὴφ ὠδυνᾶτο, [para]πάλιν δὲ καὶ ἀπόντος ἀνεφλέγετο πλέον· λόγοις αὐτὸν χρηστοῖς ἐκολάκευε, πεῖραν αὐτοῦ λαβεῖν κατασπεύδουσα·

book 5 ὁ δὲ σεμνὸς Ἰωσὴφ παρῃτεῖτο [para]τῆς γυναικὸς τὴν ἀθέμιτον πρᾶξιν, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 6 Νυμφοστόλος μοιχείας ὁ διάβολος ἦλθεν, ἵνα τῇ Αἰγυπτίᾳ συμπράξῃ [para]καὶ «Ἀνδρίζου, ὦ γύναι, φησίν· ὡς ἀρχαῖον οὖσα καὶ στερρὸν ἄγκιστρον, ἑτοίμασον τὸ δέλεαρ καὶ θήρευσον τὸν νεανίαν. Τοὺς μὲν πλοκάμους τῆς κεφαλῆς σου πλέξον ὡς δίκτυα κατὰ τούτου· [para]τὴν δὲ τοῦ προσώπου μορφὴν κατακάλλυνον, πᾶσι ῥοδοχρόοις κοσμοῦσα σοφίσμασι· φαίδρυνόν σου καὶ τὸν τράχηλον τοῖς χρυσοπλόκοις δεσμοῖς·

book 6 ἐπὶ πᾶσιν ἀμφιάσθητι πολυτίμητον στολήν, μύροις ἄλειψαι πλείστοις ἐκθηλύνουσι νέους· [para]πρόκεινται γὰρ ἀγῶνες ἰσχυροὶ καὶ γενναῖοι· οὗτος μὲν σοὶ ἁγνείαν ἀντέστησε, σὺ δὲ αὐτῷ λαγνείαν ἀντίστησον· μὴ νικηθῇς καὶ καταγελασθῶμεν· [para]λέξει γὰρ σοί· Οὐ ποιήσω ὃ θέλεις, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 7 Ἴδεν ἄσεμνον ὄψιν ὁ σεμνὸς νεανίας, καὶ μᾶλλον ἐβδελύξατο ταύτην· [para]ἐθεώρει μορφὴν ἱλαράν, ἀλλ’ ἐνόει γνώμην δολερὰν ἔσωθεν, καὶ σπεύσας ταύτην ἔφυγεν ὡς ἔχιδναν ἐγκεκρυμμένην· ὅθεν μὴ φέρουσα ἡ ἀθλία τὴν περιφρόνησιν τοῦ γενναίου, [para]πᾶσαν τὴν αἰδῶ τῆς καρδίας ἀπέρριψε καὶ τὴν ἑαυτῆς ἀσωτίαν ἐγύμνωσε. Πρῶτον μὲν γὰρ ἐθεράπευσε διὰ μέσης γυναικός, καὶ αὐτὴ δὲ μετεπέμπετο καὶ ὡμίλει μετ’ αὐτοῦ· γλῶσσαν εἶχεν ὀξεῖαν ὑπὲρ μάχαιραν οὖσαν [para]καὶ διὰ τῆς τῶν λόγων ἡδονῆς ἀναιροῦσαν· τέχναις αὐτὸν πολλαῖς ἐγοήτευεν,

book 7

ἀλλὰ τὸν νοῦν αὐτοῦ οὐ παρέτρεψεν· ἔλεγε γάρ· «Οὐ ποιήσω τὸ μύσος, [para]ἔχων ἀεὶ πρὸς τὰ φαῦλα τὸ μίσος, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 8 Ὢ μανίας ἐσχάτης γυναικὸς ἀκολάστου ἐπὶ τοῦ Ἰωσὴφ ἐκφλεχθείσης· [para]ἐπειδὴ γὰρ κατεῖδεν αὐτὸν ταῖς αὐτῆς θωπείαις οὐδαμῶς εἴκοντα, μὴ πάθεσι νεότητος ἡττώμενον, ἐβόα τούτῳ· «Δοῦλος ἐμὸς ὠνητὸς ὑπάρχεις, πέπρασαί μοι, ἵνα μοι δουλεύῃς· [para]ὅλου σε δεσπότην τοῦ οἴκου πεποίηκα, γενοῦ δὲ κἀμοῦ τῆς κυρίας σου κύριος· οὐ λογίζομαι ὑβρίζεσθαι καταβαίνουσα πρὸς σέ·

book 8 δεσποτείας καὶ δουλείας γὰρ οὐκ ἔστι διαφορά· ἕνα πάντων πατέρα τὸν Ἀδὰμ ἐδιδάχθην, [para]μίαν πάντων μητέρα τὴν ἀρχέγονον Εὔαν· πάντες ἐσμὲν ἀλλήλων ὁμότιμοι, ὡς τῆς αὐτῆς μετέχοντες φύσεως· μὴ φοβηθῇς ὡς ἀθέμιτα πράττων, [para]μηδὲ πεισθῇς τοῖς λαλοῦσί σοι ταῦτα ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 9 Σοῦ τοὺς τρόπους ὁρῶσα κοσμουμένους ἐν πᾶσι, τῶν ἄλλων προτιμῶ σε συνδούλων· [para]ἐν τοῖς ὄμμασι γὰρ τὴν αἰδῶ καὶ τοῖς χείλεσί σου, ὡς ποθῶ, κέκτησαι, καὶ πᾶσαν ἔχεις αἴσθησιν εὐσχήμονα, καθάπερ θέλω. Δεῦρο, ἐπάκουσον τῆς φωνῆς μου, ἵνα σοι δείξω τὴν πρόθεσίν μου· [para]πλείστων γὰρ καλῶν σε ἐμπλήσω πεισθέντα μοι καὶ δωροδοκίαις πλουσίαις ἀμείψομαι· καὶ γὰρ πλεῖόν σε παράθωμαι τῷ συμβίῳ τῷ ἐμῷ, καὶ γενέσθαι σε ἐλεύθερον κατασπεύσω παρ' αὐτοῦ· δοῦλος γὰρ οὐ κληθήσῃ, συγκαθεύδων δεσποίνῃ· [para]ἐὰν δὲ μὴ πεισθῇς μοι, κινδυνεύσεις δικαίως· σὲ γὰρ πικροῖς δεσμοῖς παραδίδωμι, καὶ πονηρῷ θανάτῳ ἐκδίδωμι·

book 9 μὴ οὖν σαυτὸν ἀδικῆσαι θελήσῃς· [para]οὐ γὰρ ἔστιν ἀληθὲς ὃ νομίζεις, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 10 Ἡ γυνὴ μὲν τοιαῦτα· ἀλλ' οὐκ ἴσχυσεν ὅλως σαλεῦσαι τὸν ἀσάλευτον πύργον· [para]οὐκ ἐνύσταξε ταῖς κολακείαις, ἀλλὰ μᾶλλον εἶχε λογισμὸν ἄγρυπνον καὶ ἄσυλον ἐφύλαττε τὸ καύχημα τῆς σωφροσύνης. Ἔνθεν καὶ ἔνθεν περισκοπήσας, ταύτην ἑώρα τὴν μαινομένην· πάντας γὰρ τοὺς ἄλλους τοῦ οἴκου ἐξέπεμψε, μόνη δὲ πρὸς μόνον τοιαῦτα ἐφθέγγετο· «Ἕως πότε σου ἀνέξομαι παρακούοντος ἐμοί;

book 10 νῦν καιρὸς τοῦ ἀπολαῦσαί με τῆς ποθουμένης εὐνῆς· οὐ γὰρ ἔστιν ἐνταῦθα οὐδὲ εἷς τῶν τοῦ οἴκου, καὶ οὐδὲν ἐμποδίζει τοῦ γενέσθαι ὃ λέγω.» Βέλη πυρὸς αὐτῷ κατηκόντιζεν, ἀλλ' οὐδαμῶς αὐτὸν κατεφλόγιζεν· ἔσωθεν γὰρ σωφροσύνην πηγάζων, [para]τὰς πονηρὰς ἔσβεσεν ὁμιλίας, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 11 Φθεγγομένης τοιαῦτα τῆς μαινάδος ἐκείνης καὶ καταθωπευούσης τὸν νέον, [para]εἰς τὰ σκάμματα τῶν πειρασμῶν Ἰωσὴφ ὁ μέγας ἀθλητὴς ἔρχεται, πολύμορφον ἀντίπαλον βουλόμενος ἀντιπαλαῖσαι· καὶ βραβευταὶ συνεισῆλθον δύο καὶ παρειστήκεισαν ἀμφοτέροις· [para]τῷ μὲν Ἰωσὴφ ἡ ἁγνεία συνίστατο, τῇ δὲ γυναικὶ ἡ λαγνεία προΐστατο, μέσον τούτων ἠγωνίζετο ὁ φιλοσώφρων ἀνήρ, πρὸς αὐτὸν ἀντηγωνίζετο ἡ δολιόφρων γυνή· ἔθελγε μὲν ἐκείνη πρὸς μοιχείαν καλοῦσα, [para]ἤθελε δὲ νικῆσαι τὴν αἰσχρὰν ὁ γενναῖος· τῷ Ἰωσὴφ συνέπραττον ἄγγελοι, τῇ γυναικὶ συνέτρεχον δαίμονες·

book 11 ἄνωθεν δὲ θεωρῶν ὁ δεσπότης, [para]τὸν νικητὴν ἔστεφε τοῖς ἐπαίνοις, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 12 Ῥήματα σωφροσύνης Ἰωσὴφ ἀπεκρίθη πρὸς τὴν παραφρονοῦσαν βοήσας· [para]«Σὸς μὲν δοῦλός εἰμι ὠνητός, διὰ φθόνον τοῦτο πεπονθὼς ἄδικον· κἂν πέπραμαι δὲ σώματι, ἐλεύθερός εἰμι τῇ γνώμῃ. Τὴν γὰρ εὐγένειαν τὴν τῶν τρόπων χάρτης καὶ μέλαν οὐκ οἶδε βάψαι, [para]ὥσπερ ἡ ἀχλὺς τὸν ἀέρα σκοτίζουσα τὴν ἡλιακὴν οὐκ ἀμβλύνει λαμπρότητα· ὡς γὰρ νέφος ἀπελαύνεται ὑπ' ἀνέμου διωχθέν, τοῦ ἡλίου δὲ μετέπειτα καταλάμπουσιν αὐγαί, οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ δουλεία παρελεύσεται αὕτη [para]καὶ ἡ ἐλευθερία ἡ ἐμὴ ἀναλάμψει. Πᾶσα ἡ γῆ Αἰγύπτου δουλεύσει μοι τῷ ἡδοναῖς αἰσχραῖς μὴ δουλεύοντι·

book 12 τοῦτο γάρ μοι προεμήνυσε πάλαι [para]ὁ προειδὼς τὰ ἐσόμενα μόνος, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 13 Ὡς ἀκήκοε ταῦτα προσλαλοῦντος τοῦ νέου, καὶ πάλιν κολακεύειν πειρᾶται [para]καὶ τοιαῦτά φησι πρὸς αὐτόν· «Ὅτι δούλου τρόπους οὐδαμῶς κέκτησαι, δι' ἔργων τοῦτο ἔμαθον καὶ πέπεισμαι καὶ μαρτυρῶ σοι· καὶ γὰρ τὴν πρέπουσαν ἐλευθέρῳ σὺ ἐξετέλεσας λειτουργίαν· [para]γέγονας ἐν πᾶσι τοῖς ἔργοις σου ἄμεμπτος καὶ πρὸς τοὺς συνδούλους τοὺς σοὺς ἀκακούργητος, ὅθεν φαίνει καταγόμενος ἐκ γονέων εὐγενῶν·

book 13 διὰ τοῦτο καὶ ἐλήλυθας εἰς τὰς χεῖρας τὰς ἐμὰς ἵνα γένωμαι πλείστων ἀγαθῶν ἀρχηγός σοι, [para]καὶ ἡ χώρα Αἰγύπτου δι' ἐμοῦ σοι δουλεύσῃ· μόνον ἐμὲ τὴν νῦν σου δεσπόζουσαν καὶ τὴν πρὸς σὲ στοργὴν διασῴζουσαν δέξαι λοιπὸν εἰς κοινὴν εὐφροσύνην, [para]καὶ μὴ πτοοῦ, λογιζόμενος πάλιν [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 14 Μετὰ τούτους τοὺς λόγους, Ἰωσὴφ ἀντιλέγει πρὸς τὴν ἀσελγεστάτην ἐκείνην· [para]«Ἀληθὲς μὲν ὃ λέγεις ἐστίν, ὅτι ῥίζης εἰμὶ ἀγαθῆς βλάστημα· ὡς ἄλογον δὲ βλέπω σε καὶ φεύγω σου τὴν συνουσίαν. Ὅταν γάρ τις λογισμὸν οὐκ ἔχῃ τὸν χαλινοῦντα αὐτοῦ τὸν βίον, [para]δίκην ἀλογίστων κτηνῶν περιφέρεται, καὶ εἰς ἀπρεπεῖς ἡδονὰς καταφέρεται· διὰ τοῦτο οὐκ ἀνέχομαι τῶν φιλοσάρκων παθῶν, ἀλλὰ τούτων τὰ σκιρτήματα δι' ἐγκρατείας κρατῶ· μέχρι νῦν καθαρεύων ἀπὸ μύσους τοιούτου, [para]ἄρτι διὰ μοιχείας οὐ ῥυπῶ μου τὸ σῶμα· ἔστι μὲν γὰρ βαρὺ καὶ ἀθέμιτον γάμον ἀνδρὸς συλῆσαι ἀλλότριον,

book 14 μεῖζον δέ μοι καταφαίνεται κρῖμα, [para]εἰ τὴν εὐνὴν τοῦ δεσπότου ὑβρίσω, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 15 «Ἄκουσον, νεανίσκε», ἡ γυνὴ ἀπεκρίθη πρὸς τὸν τῆς σωφροσύνης ἐργάτην. [para]«Ὁ δεσπότης, ὡς οἶδας, ὁ σὸς καταπείθεταί μου τῇ βουλῇ πάντοτε, καὶ δύναμαι κακῶσαί σε καὶ πάλιν παραθέσθαι τούτῳ· ἔχει ἐν σοὶ ἀγαθὰς ἐλπίδας ἐκ τῆς προλήψεως τῆς προτέρας· [para]στέργει καὶ ἐμέ, ὡς ἀεὶ σωφρονήσασαν· μέχρι γὰρ τοῦ νῦν ἀκατάγνωστος ἔμεινα. Τοῦ δεσπότου οὖν, ὡς εἴρηκα, πεποιθότος ἐφ' ἡμῖν, οὐδενὸς δὲ τὸ πραττόμενον θεωροῦντος ἐπὶ γῆς, τί ὀκνεῖς πειθαρχῆσαι τῇ ἐμῇ παρακλήσει [para]ἧς οὐκ ἂν ἠξιώθης μετὰ σὰς παρακλήσεις; Τοῖχοι ἡμᾶς πανταχόθεν καλύπτουσι, ἄνωθεν δὲ ἡ στέγη ἐπίκειται·

book 15 μὴ οὖν φοβοῦ οὗ οὐκ ἔστι σοι φόβος, [para]μηδὲ πτοοῦ, ἐνθυμούμενος πάλιν ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 16 Νουθετῆσαι σπουδάζων τὴν ἀθλίαν ἐκείνην, ὁ σώφρων Ἰωσὴφ ἀπεκρίθη· [para]«Μὴ συμβούλευέ μοι πονηρά, ὡς ἡ Εὔα πάλαι τῷ Ἀδάμ· ἄπαγε· τοῦ ξύλου γὰρ οὐ γεύσομαι τοῦ θάνατόν μοι προξενοῦντος. Ἔχω παράδεισον τὴν ἁγνείαν πᾶσαν βλαστάνουσαν εὐωδίαν· [para]τί γὰρ τῆς ἁγνείας ἐστὶ θαυμαστότερον, ἣν οἱ κατορθοῦντες ὡς ἄγγελοι λάμψουσι; Κἂν τὴν πρᾶξιν οὐ μὴ ἴδωσιν οἱ οἰκοῦντες σὺν ἡμῖν ὅτι ἄνθρωποι ὑπάρχουσιν μὴ ὁρῶντες τὰ κρυπτά, ἀλλὰ τὸ συνειδός μου τὸν κατήγορον ἔχω· [para]εἴγε πρᾶξαι τολμήσω τὸ παράνομον ἔργον, εἰ καὶ μηδεὶς ἐλέγξει μοιχεύσαντα, ἔχω κριτὴν ἐλέγχου μὴ χρῄζοντα,

book 16 ὅνπερ ἀεὶ ἐνθυμούμενος φρίττω, [para]καὶ τὰς αἰσχρὰς ἡδονὰς ἀποφεύγω, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 17 Ὅταν σοὶ δὲ πιστεύσω ὅτι τοῖχοι πανταχόθεν καλύπτουσιν ἡμᾶς πλημμελοῦντας [para]καὶ οὐ βλέπει οὐδεὶς ἐπὶ γῆς ὅπερ θέλεις πρᾶξαι σὺν ἐμοὶ ἄδικον, τὸν βλέποντα τὰ κρύφια ποῦ φύγωμεν, εἰπέ μοι, γύναι; Κἂν γὰρ οὐ πάρεστιν ὁ ἀνήρ σου, ἀλλ' οὐκ ἀπέστη νῦν ὁ κριτής μου·

κἂν οὐκ ἐφορᾷ με τῆς κλίνης ὁ κύριος, ἀλλὰ ἐφορᾷ με ὁ κρίνων τὰ κρύφια. Πῶς οὖν λάθω τὸν ἐτάζοντα τὰς καρδίας καὶ νεφρούς;

book 17 Καὶ αὐτὸς δὲ κινηθήσεται κατ’ ἐμοῦ ὁ οὐρανός· μάτην τοίχοις θαρροῦμεν τοῖς μηδὲν ὠφελοῦσιν· [para]στέγη ἐπουρανία τὴν μοιχείαν οὐ σκέπει· πάντα γυμνὰ ὑπάρχει καὶ πρόδηλα τῷ τὰ κρυπτὰ γινώσκοντι πταίσματα· ὅθεν ἐγὼ οὐκ ἀνέχομαι πρᾶξαι τὸ πονηρὸν ἐναντίον Κυρίου, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 18 Ὑπὸ τούτων τῶν λόγων ἡ μαινὰς ἐκκαυθεῖσα τῷ σώφρονι ἐπέρχεται ἄφνω, [para]καὶ τὸν τούτου χιτῶνα κρατεῖ καὶ βιαίως σύρει τὸν σεμνόν, λέγουσα· «Ἐπάκουσόν μου, φίλτατε, καὶ δεῦρο, συνομίλησόν μοι.» Ἔνθεν καθεῖλκεν ἡ Αἰγυπτία, πάλιν ἡ Χάρις ἀνθεῖλκε τοῦτον· [para]αὕτη μὲν ἐβόα· «Ἐμοὶ συγκοιμήθητι», ἄνωθεν ἡ Χάρις· «Ἐμοὶ συγγρηγόρησον.» Μετ’ ἐκείνης ὁ διάβολος ἠγωνίζετο πικρῶς καὶ χερσὶ σφοδρῶς κατέσφιγγε τὸν γενναῖον ἀθλητήν· πάλιν ἡ Σωφροσύνη ἐκινεῖτο πρὸς πάλην, [para]λῦσαι ἐπειγομένη τὰ κρατήματα τούτων· ἔλεγε δέ· «Ῥαγῇ τὸ ἱμάτιον,

book 18 καὶ μὴ φθαρῇ τὸ σῶμα τοῦ σώφρονος· λήψεται γὰρ παρὰ τοῦ ἀθλοθέτου, [para]ὡς νικητής, ἔνδυμα ἀφθαρσίας, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.»

book 19 Ἔχει στέφανον μέγαν Ἰωσὴφ ὡς ἀθλήσας ὑπὲρ τῆς σωφροσύνης νομίμως· [para]τὴν γὰρ ταύτης φυλάττων στοργήν, ἀπεδύθη μᾶλλον τὴν στολὴν ἔξωθεν, καὶ δόξαν ἐνεδύσατο παράδοξον ὁ στεφανίτης· τούτῳ ἐπῆλθεν ἡ Αἰγυπτία ὥσπερ ἀμπέλῳ δεινὴ ἀλώπηξ, [para]ὅλον μὲν τὸν βότρυν τρυγῆσαι ἐλπίζουσα, [para]μόνα δὲ τὰ φύλλα εὑρέθη κατέχουσα. Ἄνω ἄγγελοι συνέχαιρον τῷ δικαίῳ Ἰωσήφ, κάτω δαίμονες συνέκλαιον τῇ ἀδίκῳ γυναικί· οὗτος μὲν ἐγυμνώθη τῆς ἰδίας ἐσθῆτος [para]ἵνα πάσας τηρήσῃ ἀβλαβεῖς τὰς αἰσθήσεις· ἡ δὲ μαινὰς αἰσχύνην ἐνδύεται καὶ τὴν αἰδῶ ἀσέμνως ἐκδύεται·

book 19 ὁ δὲ σοφὸς κατ’ ἀξίαν τιμᾶται [para]ὡς ἐκφυγὼν ἁμαρτίαν μεγάλην, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 20 Πῶς ἀξίως ὑμνήσω πολυύμνητον ἄνδρα τὸν κρείττονα παντὸς ἐγκωμίου; [para]Ὅτι σκάφος ἐδείχθη στερρόν, καὶ ἀγρίαν ζάλην ἡδονῶν ἔφυγε καὶ εἰς λιμένα εὔδιον προσώρμισε τῆς σωφροσύνης· οὗτος καὶ κάμινον κατεπάτει ἔνδον τοῦ οἴκου ἀναπτομένην· [para]πνεῦμα γὰρ τῆς δρόσου ἑλκύσας τῆς ἄνωθεν, παμφάγον πυρὸς δυναστείαν κατέσβεσε. Τοῦτό ἐστι τὸ παγκράτιον τοῦ μεγάλου Ἰωσήφ, τοῦτό ἐστι τὸ ἐγκώμιον τοῦ γενναίου ἀθλητοῦ· ὅπερ τότε ἐπράχθη ἐν οἰκίσκῳ λαθραίως [para]ᾄδεται ἐν τῷ κόσμῳ καθ’ ἑκάστην ἡμέραν· τὰ γὰρ καλὰ οὐδέποτε σβέννυται, κἂν πειρασμοὶ πολλοὶ περικλύζουσι·

book 20 ῥύεται γὰρ ἀπὸ τούτων ἁπάντων [para]ὁ λυτρωτὴς τῶν αὐτοῦ θεραπόντων, [para]ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 21 Οἱ συναίμονες πρώην ἐπεβούλευσαν τούτῳ διὰ τὴν βασιλείαν φθονοῦντες, [para]καὶ ὁρμήσαντες κτεῖναι αὐτόν, ἐν τῇ γ[νώ]μῃ μόνῃ τὸ κακὸν ἔστησαν· εἰς ἔργον δὲ οὐκ ἤγαγον τὴν [ἄδι]κον σφαγὴν ἐκείνην, αἵματι βάψαντες τὸν χιτῶνα, [ἀλ]λ’ οὐχὶ βλάπτοντες τὸν φοροῦντα· [para]ζῶντα γὰρ αὐτὸν ὁ Θεὸς διεφύλαξεν, εἰ καὶ ὁ πατὴρ ὡς θανέντα ὠδύρετο· αὕτη [πά]λιν ἐπολέμησε τῷ χιτῶνι μοιχαλίς, τὴν ψυχὴν δὲ οὐ κατέτρωσε τοῦ γενναίου στρατηγοῦ· ἦν γὰρ ἐνδεδυμένος ἀσφαλῆ πανοπλίαν [para]πάσας τὰς ἑλεπόλεις τῶν παθῶν καταργοῦσαν. Τοῦτον, πιστοί, μιμεῖσθαι σπουδάσ[ωμεν], ὅτι καὶ νῦν ἡμῖν ἐπανίσταται τῶν σαρκικῶν ἡδονῶν [ἡ ἀ]πάτη, [para]ἀλλὰ μηδεὶς ὑπὸ ταύτης ἡττάσθω,

book 21 ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book 22 Στέμμα κέκτηται θεῖον καὶ ἀοίδιμον νίκην ὁ μέγας τῶν παθῶν αὐτοκράτωρ, [para]καὶ δικαίως τὴν μνήμην αὐτοῦ πανταχοῦ τιμῶσιν οἱ πιστοὶ πάντοτε, ὅτι οὐκ ἐκυρίευσε τοῦ σώματος ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁμαρτία· τῆς γυναικὸς γὰρ τῆς ἀκολάστου λόγοις καὶ ἔργοις κολακευούσης [para]πᾶσαν μὲν ὑπόσχεσιν ἔρριψεν ἄθεσμον, θάνατον δὲ μᾶλλον ἠγάπησεν ἔνδεσμον. Τί δαὶ πράξω ὁ ταλαίπωρος καὶ κατάκριτος ἐγώ, ὅτι πάντοτε συνέχει με τῆς ἁμαρτίας ἡ χείρ; Ὥσπερ ἡ Αἰγυπτία Ἰωσὴφ ἐπιβαίνει, [para]οὕτως ἕλκει με αὕτη πρὸς ἀτόπους ἐννοιας· ἀλλὰ βοῶ πρὸς σέ, παντοδύναμε· ῥῦσαι κἀμέ, Χριστέ, τυραννούμενον,

book 22 ἵνα σωθῶ διὰ τῆς Θεοτόκου, [para]ὡς Ἰωσὴφ ὁ πιστός σου θεράπων, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

book pro Προφῆτα καὶ προόπτα τῶν μεγαλουργιῶν τοῦ Θεοῦ ἡμῶν, [para]Ἠλία μεγαλώνυμε, ὁ τῷ φθέγματί σου στήσας τὰ ὑδατόρρυτα νέφη, [para]πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον.

book 1 Τὴν πολλὴν τῶν ἀνθρώπων ἀνομίαν, τοῦ Θεοῦ δὲ πολλὴν φιλανθρωπίαν [para]θεασάμενος ὁ προφήτης ἐταράττετο Ἠλίας θυμούμενος, καὶ λόγους ἀσπλαγχνίας πρὸς τὸν εὔσπλαγχνον ἐκίνησεν· [para]«Ὀργίσθητι, βοήσας, ἐπὶ τοὺς σὲ ἀθετήσαντας νῦν, κριτὰ δικαιότατε.» Ἀλλὰ τὰ σπλάγχνα τοῦ ἀγαθοῦ οὐδὲ ὅλως παρεκίνησε [para]πρὸς τὸ τιμωρήσασθαι τοὺς αὐτὸν ἀθετήσαντας· [para]ἀεὶ γὰρ τὴν μετάνοιαν τῶν πάντων ἀναμένει ὁ μόνος φιλάνθρωπος.

book 2 Ὅτε πᾶσαν τὴν γῆν ἐν ἀσεβείαις ἐθεάσατο τότε ὁ προφήτης, [para]τὸν δὲ ὕψιστον οὐδὲ ὅλως ὀργιζόμενον, ἀλλὰ ἀνεχόμενον, κινεῖται πρὸς μανίαν καὶ μαρτύρεται τὸν εὔσπλαγχνον· «Ἐγὼ καταυθεντήσω καὶ κολάσω τὴν ἀσέβειαν τῶν παροργιζόντων σε· τῆς γὰρ πολλῆς σου ἀνοχῆς οὗτοι πάντες κατεφρόνησαν [para]καὶ οὐκ ἐλογίσαντο σὲ πατέρα τὸν εὔσπλαγχνον· [para]αὐτὸς δέ, ὡς φιλότεκνος, οἰκτείρεις τοὺς υἱούς σου, ὁ μόνος φιλάνθρωπος.

book 3 Νῦν δικάσω ἐγὼ ὑπὲρ τοῦ κτίστου, ἀσεβεῖς δὲ τῆς γῆς ἐξολοθρεύσω [para]καὶ ψηφίσομαι τιμωρίαν, ἀλλὰ δέδοικα τὴν θείαν χρηστότητα· ὀλίγοις γὰρ δακρύοις δυσωπεῖται ὁ φιλάνθρωπος. [para]Τί οὖν νῦν ἐννοήσω πρὸς τοσαύτην ἀγαθότητα καὶ στήσω τὸν ἔλεον; Τὴν ψῆφον ὅρκῳ βεβαιῶν, ἵνα τοῦτον δυσωπούμενος [para]μὴ λύσῃ ὁ δίκαιος τὴν τοιαύτην ἀπόφασιν, ἀλλὰ καὶ βεβαιώσῃ μου τὴν κρίσιν ὡς δυνάστης ὁ μόνος φιλάνθρωπος.»

book 4 Προτερεύει τῆς κρίσεως ὁ ὅρκος καὶ προοίμιον ἦν τῶν ψηφισθέντων· [para]ἀλλ' εἰ βούλεσθε, πρὸς τὴν βίβλον ἀναδράμωμεν καὶ γνῶμεν τὰ ῥήματα. Φησὶ γὰρ ὁ προφήτης ὀργιζόμενος, ὡς γέγραπται· [para]«Ζῇ Κύριος, οὐ δρόσος οὐδὲ ὄμβρος κατελεύσεται εἰ μὴ διὰ τοῦ λόγου μου.» Ἀλλὰ εὐθέως ὁ βασιλεὺς τῷ Ἠλίᾳ ἀπεκρίνατο· «Ἂν ἴδω μετάνοιαν καὶ πηγάζοντα δάκρυα, [para]μὴ χορηγεῖν οὐ δύναμαι τὰ σπλάγχνα τοῖς ἀνθρώποις ὁ μόνος φιλάνθρωπος.»

book 5 Ῥητορεύει εὐθέως ὁ προφήτης καὶ προβάλλει τὸ δίκαιον τοῦ ὅρκου· [para]«Κατὰ σοῦ, φησίν, τοῦ Θεοῦ τῶν ὅλων, ὤμοσα πανάγιε δέσποτα, τοὺς ὄμβρους μὴ δοθῆναι εἰ μὴ πάλιν διὰ λόγου μου· [para]ἡνίκα γὰρ κατίδω τὸν λαὸν μεταμελούμενον, ἐγὼ ἱκετεύσω σε. Οὐκ ἔστι τοίνυν ἐν τῇ σῇ ἐξουσίᾳ, δικαιότατε, [para]κωλῦσαι τὴν κόλασιν ἐκ τοῦ ὅρκου οὗ τέθεικα ὃν φύλαξον καὶ σφράγισον, συστέλλων σου τὰ σπλάγχνα, ὁ μόνος φιλάνθρωπος.»

book 6 Ὁ λιμὸς οὖν τὴν γῆν ἐπολιόρκει, κατεφθείροντο δὲ οἱ ἐνοικοῦντες [para]ὀδυρόμενοι καὶ τὰς χεῖρας ἀνατείνοντες πρὸς τὸν πανοικτίρμονα. Συνείχετο δὲ τούτοις ὁ δεσπότης ἑκατέρωθεν· [para]τὰ σπλάγχνα μὲν ἀνοίγων τοῖς αὐτὸν καθικετεύουσι καὶ σπεύδων πρὸς τὸν ἔλεον, τὸν δὲ προφήτην ἐρυθριῶν καὶ τὸν ὅρκον ὅνπερ ὤμοσε, [para]τοὺς ὄμβρους οὐ δίδωσιν, ἀλλ' ἐσκεύασε πρόφασιν [para]συνέχουσαν καὶ θλίβουσαν ψυχὴν τὴν τοῦ προφήτου ὁ μόνος φιλάνθρωπος.

book 7 Φυσιούμενον βλέπων ὁ δεσπότης κατὰ τῶν ὁμοφύλων τὸν Θεσβίτην, [para]ἐδικαίωσε τῷ λιμῷ συντιμωρήσασθαι τοῖς ἄλλοις τὸν δίκαιον, ἵνα τῇ ἀτροφίᾳ πιεζόμενος βουλεύσηται [para]περὶ τῆς ἐνωμότου ἀποφάσεως φιλάνθρωπα καὶ παύσῃ τὴν κόλασιν· ἔστι γὰρ ὄντως φοβερὸν τῆς

γαστρὸς τὸ ἀπαραίτητον, [para]καὶ ἕκαστον ἔμψυχον λογικόν τε καὶ ἄλογον σοφίᾳ 〈τῆσ〉 θεότητος διὰ τροφῆς φυλάττει ὁ μόνος φιλάνθρωπος.

book 8 Ἡ γαστὴρ μὲν τὴν φύσιν συνηγόρει καὶ τοὺς νόμους τῆς φύσεως λαβοῦσα [para]ἐπετίθετο τῷ πρεσβύτῃ μεθοδεύουσα τὸ μεταβουλεύσασθαι· αὐτὸς δὲ ὥσπερ λίθος ἀναίσθητος ἐνίστατο [para]τὸν ζῆλον κεκτημένος ἀντὶ πάσης ἑστιάσεως καὶ τούτῳ ἀρκούμενος· ὃν θεωρήσας ὁ κριτὴς ἐπεκούφισε λιμώττοντι [para]τῷ φίλῳ τὴν ἔνδειαν, οὐχ ἡγούμενος δίκαιον [para]σὺν ἀδίκοις καὶ ἀνόμοις τὸν δίκαιον λιμώττειν ὁ μόνος φιλάνθρωπος.

book 9 Τὴν τροφὴν οὖν αὐτῷ ὁ πανοικτίρμων μετὰ πάσης σοφίας εὐτρεπίζει· [para]τοῖς γὰρ κόραξι τοῖς ἀσπλάγχνοις ἐγκελεύεται τροφὴν χορηγεῖν αὐτῷ· κοράκων δὲ τὸ γένος εὐσπλαγχνίας ἐστὶν ἄμοιρον, τροφὴν μὴ χορηγοῦντα νεοσσοῖς ὡς τέκνοις πώποτε, ἀλλ' ἄνωθεν τρέφονται. Ἐπειδὴ τοίνυν καὶ αὐτὸς μισοτέκνου ἀνελάβετο [para]καὶ τρόπους καὶ ἔννοιαν, μισοτέκνοις ἐχρήσατο [para]πρὸς τοῦτον ὡς μισάνθρωπον τοῖς κόραξι πανσόφως ὁ μόνος φιλάνθρωπος.

book 10 «Ἡ πολλή σου, φησίν, φιλοθεΐα», ὁ Θεὸς τῷ Ἠλίᾳ διελέχθη, [para]«μὴ μισάνθρωπον ἐπενέγκῃ σοι διάθεσιν· ἀλλ' ὅρα τοὺς κόρακας· οἱ γὰρ πρὸς τοὺς ἰδίους νεοσσοὺς ἀεὶ μισότεκνοι [para]αἰφνίδιον, ὡς βλέπεις, περὶ σέ εἰσι φιλότιμοι καὶ νῦν μεταβέβληνται· τῆς εὐσπλαγχνίας τῆς ἐμῆς ὑπηρέται ἀνεδείχθησαν [para]τροφήν σοι κομίζοντες· ὡς ὁρῶ δέ, οὐ δύναμαι [para]τὴν φύσιν ἐκβιάζεσθαι τὴν σὴν πρὸς τοὺς ἀνθρώπους, ὁ μόνος φιλάνθρωπος.

book 11 Νῦν αἰδεῖσθαι ὀφείλεις, ὦ προφῆτα, καὶ μιμεῖσθαι ἀλόγων εὐπειθίαν· [para]πῶς τὰ ἄσπλαγχνα αἰδεσθέντα με τὸν εὔσπλαγχνον εὐθὺς μετεβλήθησαν; Τιμῶ σου τὴν φιλίαν καὶ οὐ λύω τὴν ἀπόφασιν· [para]οὐ δύναμαι δὲ φέρειν ὀδυρμὸν καὶ θλῖψιν πάνδημον ἀνθρώπων ὧν ἔπλασα· τῶν δὲ νηπίων τὴν κραυγὴν πῶς ἐνέγκω καὶ τὰ δάκρυα, [para]κτηνῶν δὲ τὸν ἄσημον μυκηθμὸν ἐπερχόμενον; Ἐγὼ γὰρ τούτοις ἅπασιν ὡς πλάστης συμπαθήσω ὁ μόνος φιλάνθρωπος.

book 12 Ἠγριοῦτο ἐν τούτοις ὁ προφήτης· ἀπεκρίθη τότε τῷ δεσπότῃ· [para]«Μηδὲ κόρακας ὑπηρέτας πρὸς τὸ θρέψαι με προτρέψῃ, ὦ δέσποτα· λιμῷ διαφθαρῆναι ἐπιλέξομαι, πανάγιε, [para]καὶ μόνον ἀσεβοῦντας τιμωρήσομαι, καὶ ἔσται μοι μεγάλη ἀνάπαυσις· συναπολέσθαι οὐκ ὀκνῶ πᾶσι τοῖς ἀπαρνουμένοις σε· [para]μὴ οὖν οἰκτειρήσῃς με, μὴ λιμώττοντος φείσῃ μου, [para]καὶ μόνον ἐξολόθρευσον τῆς γῆς τοὺς ἀσεβοῦντας, ὁ μόνος φιλάνθρωπος.»

book 13 Λόγους τούτους ὡς ἤκουσεν ὁ κτίστης, μεθιστᾷ τὸν προφήτην ἐκ τοῦ τόπου [para]ἐντειλάμενος πετεινοῖς μὴ χορηγεῖν αὐτῷ τροφὴν ὡς τὸ πρότερον, καὶ πέμπει ἐν Σαρέφθοις πρὸς τὴν χήραν τὸν λιμώττοντα, [para]εἰπὼν ὡς «ἐντελοῦμαι γυναικὶ τοῦ διαθρέψαι σε», σοφὰ βουλευόμενος. Ἦν γὰρ καὶ χήρα καὶ ἐθνικὴ ἡ γυνὴ πρὸς ἣν ἀπέσταλτο [para]καὶ τέκνων ἠνείχετο, ἵν' ἀκούων ὁ δίκαιος τῆς ἐθνικῆς τὸ ὄνομα βοήσῃ· «Δὸς τοὺς ὄμβρους, ὁ μόνος φιλάνθρωπος.»

book 14 Ἰουδαίοις ἀθέμιτον ὑπῆρχε συνεσθίειν ποτὲ τοῖς ἀλλοέθνοις· [para]διὰ τοῦτο οὖν τὸν Ἠλίαν πρὸς ἀλλόφυλον γυναῖκα ὡδήγησεν, ἵνα τὴν παρ' ἐκείνης βδελυττόμενος ἑστίασιν [para]εὐθὺς περὶ τῶν ὄμβρων δυσωπήσῃ τὸν φιλάνθρωπον· ἀλλ' οὐκ ἐλογίσατο τὴν πρὸς τὰ ἔθνη ἀποφυγήν, ἀλλὰ τρέχει πρὸς τὸ γύναιον, τροφὴν ἀπαιτῶν αὐτὴν μετὰ πάσης τραχύτητος· «Ἐμοί, φησίν, προσέταξεν εἰσπρᾶξαί σε, ὦ γύναι, ὁ μόνος φιλάνθρωπος.»

book 15 Ἀλλὰ ταῦτα ἀκούσασα ἡ χήρα ἐν σπουδῇ τῷ προφήτῃ ἀπεκρίθη [para]ὡς «οὐκ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ἄλευρον δρακός, ὅπερ βούλομαι ποιῆσαι εἰσελθοῦσα, ἵνα φάγω σὺν τοῖς τέκνοις μου· [para]οὐδὲν δὲ τῆς δρακός μοι πλέον τι περιλείπεται ἢ μόνος ὁ θάνατος.» Πρὸς δὲ τῆς χήρας τὴν φωνὴν ἐκινεῖτο καὶ συνέπασχε [para]διαλογιζόμενος ὡς «ἐμοῦ πλέον τήκεται καὶ τῷ λιμῷ ἐκθλίβεται ἡ χήρα, εἰ μὴ φθάσει ὁ μόνος φιλάνθρωπος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 16 Νῦν στενά μοι, φησί, τὰ τοῦ γυναίου· κἂν πεινῶ γὰρ ἐγώ, ὑπάρχω μόνος, [para]μετὰ τέκνων δὲ ἐκλιμώττει ἡ χηρεύουσα πρὸς ἣν παραγέγονα. Μὴ γένωμαι ὁ ξένος τοῦ θανάτου ταύτης πρόξενος, [para]μηδὲ τῇ ξενοδόχῳ τεκνοκτόνος λογισθήσομαι, ἀλλ' ἴδω νῦν πρὸς ἔλεον· πρὸς πάντας ἔσχον ἀπαθῶς, πρὸς δὲ ταύτην μεταβάλλομαι· [para]ἐκθήσω τὴν φύσιν μου οἰκτιρμοῖς συναγάλλεσθαι· [para]οἰκτίρμων γὰρ καθέστηκεν ὁ αἴτιος τῶν πάντων, ὁ μόνος φιλάνθρωπος.»

book 17 Ὁ προφήτης τῇ χήρᾳ ἀπεκρίθη· «Δρὰξ μέν ἐστιν ἀλεύρου σοι, ὡς ἔφης· [para]οὐκ ἐκλείψει 〈σοι〉 ἡ ὑδρία, ὁ καμψάκης δὲ τὸ ἔλαιον βλύσει σοι.» Καὶ λόγοις μὲν Ἠλίας εὐλογίαν ἐχαρίσατο, [para]ὁ κτίστης δὲ εὐθέως ὡς φιλότιμος καὶ εὔσπλαγχνος τὸ ἔργον ἐπήγαγε· τοῦ μὲν προφήτου τὸν σκοπὸν ἐκπληρῶν, φησίν, ὁ πάνσοφος, [para]τὸ δὲ ἀληθέστερον τῆς καλλίστης προφάσεως δραξάμενος, χαρίζεται τὸ ἄφθονον τῇ χήρᾳ ὁ μόνος φιλάνθρωπος.

book 18 Ῥήμασι Θεὸς προφήτου ἐπεκάμφθη καὶ τροφὴν παρεῖχε τούτῳ καὶ τῇ χήρᾳ· [para]ὁ Ἠλίας δὲ οὐδὲ ὅλως ἐσπλαγχνίζετο, ἀλλ' ἔμενεν ἄκαμπτος. Ὁ εὔσπλαγχνος δὲ βλέπων τὸν λαὸν διαφθειρόμενον [para]καὶ τοῦτον ἀπειθοῦντα, ἐφ' ἑτέραν τέχνην πάνσοφον μετῆλθεν ὡς δίκαιος. Τὸν γὰρ τῆς χήρας ὑϊὸν τελευτήσαντα ἀπέδειξεν, [para]ἵνα κἂν τὰ δάκρυα καὶ τὴν ἄλλην περίστασιν [para]τῆς χήρας θεασάμενος βοήσῃ· «Δὸς τοὺς ὄμβρους, ὁ μόνος φιλάνθρωπος.»

book 19 Ὡς οὖν εἶδεν ἡ χήρα νεκρωθέντα τὸν υἱόν, ἐπανέστη τῷ προφήτῃ, [para]«εἴθε, λέγουσα, τῷ λιμῷ προαποτέθνηκα πρὶν ἤ σε θεάσωμαι· συνέφερε γὰρ πάλαι τελευτῆσαί με λιμώττουσαν [para]καὶ μὴ τὸν ὑϊόν μου θεωρεῖν με νεκρὸν κείμενον ἐν τῇ παρουσίᾳ σου. Οὐχ οὗτοί εἰσιν οἱ μισθοὶ τῆς καλλίστης δεξιώσεως· [para]ὑπῆρχον γὰρ εὔτεκνος πρὶν ἐλθεῖν σε, ὦ ἄνθρωπε· ἐλθὼν δὲ ἀτεκνίαν μοι παρέσχες ὀνομάσας τὸν μόνον φιλάνθρωπον.»

book 20 Μάλα μὲν ἐκρατεῖτο ὑπὸ χήρας ὁ κρατήσας νεφῶν τε καὶ τῶν ὄμβρων [para]καὶ συνείχετο ὑπὸ μίας ὁ τοὺς ἅπαντας συνέχων διὰ ῥήματος· γυνὴ δὲ παναθλία, πάσης ἄμοιρος δυνάμεως, [para]τὸν λόγῳ καὶ δυνάμει οὐρανοὺς κρατεῖν νομίζοντα κρατεῖ ὡς κατάδικον, καὶ συμπλακεῖσα μανικῶς ὡς φονέα εἰς κριτήριον [para]καθεῖλκε κραυγάζουσα· «Δός μοι γόνον ὃν ἔκτεινας· οὐ χρῄζω τοῦ ἀλεύρου σου· μὴ θρέψῃ με νομίζων 〈γενέσθαι φιλάνθρωπος.〉

book 21 Ἄρτους ἐν τῇ γαστρί μου κατασπείρας τὸν καρπὸν τῆς γαστρός μου καὶ τὸν κλάδον [para]ἐξερρίζωσας, καὶ πωλεῖς μοι 〈–〉 τὰ δῶρα τὰ βρώσιμα· ψυχὴν ἀντὶ ἀλεύρου καὶ ἐλαίου ἐμεθόδευσας· [para]ἐγὼ δὲ δυσωπῶ σε ἀνατρέψαι τὸ συνάλλαγμα καὶ δοῦναι ὃ ἔλαβες· ἢ τοῖς θανάτοις τοῦ λαοῦ οὐκ ἠρκέσθης, ἀλλ' ἐσπούδασας [para]τοῦ οἴκου μου ἅψασθαι; Τὴν ψυχὴν τοῦ παιδίου μου ἀπόλυσον καὶ κόμισον ψυχήν μου ἀντ' ἐκείνης, καὶ γενοῦ φιλάνθρωπος.»

book 22 Νυγεὶς τούτοις ὡς κέντροις ὁ Ἠλίας, αἰσχυνόμενος κράζουσαν τὴν χήραν [para]ὑποπτεύουσαν ὡς αὐτὸς ἐξεβιάσατο ψυχὴν τοῦ υἱοῦ αὐτῆς, καὶ θέλων ταύτην πεῖσαι διὰ λόγων οὐκ ἠδύνατο· [para]εἰδὼς ὡς ἠπιστεῖτο παρ' αὐτῆς ἀπολογούμενος, ἐθρήνει γὰρ ἄπαυστα. Ἀλλ' ἀτενίσας εἰς οὐρανούς· «Οἴμοι, Κύριε, ἐβόησεν, [para]ὁ μάρτυς ὁ ἄμεμπτος τῆς λαβούσης με σύνοικον, [para]σὺ ταύτην παρεκίνησας ἀπαιτεῖν με τὸ τέκνον, ὁ μόνος φιλάνθρωπος.

book 23 Οὐ πιστεύω, σωτήρ», παντοδυνάμῳ τῷ Θεῷ ὁ προφήτης ἀνεβόα, [para]«ὡς ὁ θάνατος τῷ παιδίῳ ἐκ τῆς φύσεως, ὡς πᾶσι, συμβέβηκεν· ἀλλ' ἔστι τοῦτο τέχνη τῆς σοφίας σου, ἀναμάρτητε, [para]καὶ πάντως μηχανᾶσαι κατ' ἐμοῦ ἀνάγκην εὔσπλαγχνον, ἵνα ὅταν αἰτήσω σε ὅτι τῆς χήρας τὸν υἱὸν νεκρωθέντα 〈ἐξ〉 ανάστησον, [para]εὐθὺς ἀντιφθέγξῃ μοι· «Τὸν υἱόν μου τὸν Ἰσραὴλ ἐλέησον θλιβόμενον καὶ πάντα τὸν λαόν μου», ὁ μόνος φιλάνθρωπος.»

book 24 Σῶσαι θέλων τὴν γῆν ὁ πανοικτίρμων τῷ Ἠλίᾳ εὐθέως ἀπεκρίθη· [para]«Νῦν τοὺς λόγους μου ἐνωτίζου φανερώτερον καὶ ἄκουέ μου λέγοντος. Ὠδίνω καὶ σπουδάζω πρὸς τὴν λύσιν τῆς

κολάσεως, [para]ἐπείγομαι τοῦ δοῦναι πᾶσι 〈τὴν〉 τροφὴν λιμώττουσιν· ὑπάρχω γὰρ εὔσπλαγχνος· τοὺς τῶν δακρύων ὀχετοὺς βλέπων, ὡς πατὴρ συγκάμπτομαι, [para]οἰκτείρω ἐκλείποντας ὑπὸ πείνης καὶ θλίψεως· [para]ἁμαρτωλοὺς γὰρ βούλομαι τοῦ σῴζειν μετανοίᾳ, ὁ μόνος φιλάνθρωπος.

book 25 Ἄκουε οὖν, προφῆτα, παρρησίᾳ· καὶ γὰρ πάνυ εἰδέναι σε σπουδάζω· [para]ὡς χειρόγραφον εὐσπλαγχνίας με κατέχουσιν οἱ ἄνθρωποι ἅπαντες, ἐν ᾧπερ συνεθέμην ὡς οὐ βούλομαι τὸν θάνατον [para]ἰδεῖν τῶν πλημμελούντων, ἀλλὰ μᾶλλον τὴν ζωὴν αὐτῶν. Μὴ οὖν ἀποδείξῃς με ὡς ψευδολόγον παρ’ αὐτοῖς ἀλλὰ δέξαι μου τὴν αἴτησιν· [para]πρεσβείαν προσφέρω σοι· σὲ γὰρ μόνα τὰ δάκρυα τῆς χήρας συνετάραξαν, ἐγὼ δὲ περὶ πάντας ὑπάρχω φιλάνθρωπος.»

book 26 Νοῦν καὶ φρένα τοῖς λόγοις τοῦ ὑψίστου ὁ Ἠλίας ὑπέθηκε καὶ ὦτα, [para]καὶ ὑπέταξε τὴν ψυχὴν καὶ ἐκαλλώπισεν αὐτὴν ἐν τοῖς ῥήμασι, καὶ εἶπε· «Γενηθήτω 〈οὖν〉 τὸ θέλημά σου, δέσποτα· [para]παράσχου καὶ τοὺς ὄμβρους καὶ ζωὴν τῷ τελευτήσαντι, καὶ ζώωσον τὰ σύμπαντα· ζωὴ ὑπάρχων ὁ Θεὸς καὶ ἀνάστασις καὶ λύτρωσις, [para]παράσχου τὴν χάριν σου τοῖς ἀνθρώποις καὶ κτήνεσιν· [para]αὐτὸς γὰρ μόνος δύνασαι τὰ πάντα περισῴζειν, ὁ μόνος φιλάνθρωπος.»

book 27 Εὐθὺς ταῦτα εἰπόντος τοῦ προφήτου, ἀπεκρίθη πρὸς τοῦτον ὁ οἰκτίρμων· [para]«Τὴν προαίρεσιν ἐδεξάμην καὶ ἐπῄνεσα, καὶ σπεύδω τιμῆσαί σε. Ἐγὼ ὑπὲρ ἐκείνων παρὰ σοῦ τὴν χάριν ἔλαβον· [para]γενοῦ δὲ σὺ μεσίτης καὶ χορήγησον τὴν χάριν μου· οὐδὲ γὰρ ἀνέχομαι καταλλαγῆναι χωρὶς σοῦ, ἀλλὰ βάδισαι καὶ μήνυσον [para]τῶν ὄμβρων τὸ χάρισμα, ἵνα πάντες κραυγάσωσιν [para]ὅτι ὁ πρώην ἄσπλαγχνος ἐφάνη νῦν ἐξαίφνης πρὸς πάντας φιλάνθρωπος.

book 28 Ὕπαγε οὖν ταχέως, ὦ προφῆτα, καὶ ὀφθεὶς Ἀχαὰβ εὐαγγελίζου, [para]καὶ ἐντέλλομαι ταῖς νεφέλαις καὶ ποτίσουσι τὴν γῆν ἐν τοῖς ὕδασι· τὴν τούτων χορηγίαν σὺ ἀπόφηναι, ὦ φίλε μου· [para]ἐγὼ δὲ ὑπογράψω ταῖς τοιαύταις ἀποφάσεσι, τιμῶν σου τὸ εὔγνωμον.» Ἀκούσας ταῦτα παρευθὺ προσεκύνησε τὸν ὕψιστον, [para]βοῶν τῷ οἰκτίρμονι· «Πολυέλεον οἶδά σε· [para]γινώσκω ὡς μακρόθυμος ὑπάρχεις, ὁ Θεός μου, ὁ μόνος φιλάνθρωπος.»

book 29 Φοβηθεὶς οὖν τὸ πρόσταγμα ἐκτρέχει 〈τότε〉 πρὸς τὸν Ἀχαὰβ ὁ προφήτης [para]καὶ εὐαγγέλια πρὸς ἐκεῖνον ἀποφθέγγεται ὡς εἶπεν ὁ εὔσπλαγχνος. Εὐθὺς δὲ αἱ νεφέλαι τῇ προστάξει τοῦ ποιήσαντος [para]ἐγκύμονες ὑδάτων τὸν ἀέρα ἐπενήξαντο, τοὺς ὄμβρους πηγάζουσαι· ἠγαλλιάσατο δὲ ἡ γῆ καὶ ἐδόξαζε τὸν Κύριον· [para]τὸν παῖδα μὲν ἔλαβεν ἀναστάντα τὸ γύναιον· [para]σὺν πᾶσιν 〈δ’〉 ἐπευφραίνετο Ἠλίας καὶ ἀνευφήμει τὸν μόνον φιλάνθρωπον.

book 30 Ἤδη χρόνου τοσούτου προϊόντος τῶν ἀνθρώπων ἑώρα τὴν κακίαν [para]καὶ ἐμελέτησε βαρυτέραν ἀποφήνασθαι Ἠλίας τὴν κόλασιν. Ἰδὼν δὲ ὁ οἰκτίρμων τῷ προφήτῃ ἀπεκρίνατο· [para]«Τὸν ζῆλον ὅνπερ ἔχεις πρὸς τὸ δίκαιον ἐπίσταμαι, καὶ οἶδα τὴν πρόθεσιν· ἀλλὰ συμπάσχω ἁμαρτωλοῖς ὅταν ἄμετρα κολάζωνται· [para]ὀργίζει ὡς ἄμεμπτος καὶ οὐ δύνῃ ἀνέχεσθαι; Ἐγὼ δὲ οὐκ ἀνέχομαι οὐδένα ἀπολέσθαι ὡς μόνος φιλάνθρωπος.»

book 31 Μετὰ ταῦτα δὲ βλέπων ὁ δεσπότης ὡς ἀπότομος οὗτος πρὸς ἀνθρώπους, [para]προυνοήσατο τοῦ γένους, καὶ ἐχώρισεν Ἠλίαν τῆς γῆς αὐτῶν, «Χωρίζου, λέγων, φίλε, τῆς ἀνθρώπων κατοικήσεως· [para]ἐγὼ δὲ πρὸς ἀνθρώπους ὡς οἰκτίρμων καταβήσομαι, γενόμενος ἄνθρωπος. Ἀνέρχου τοίνυν ἀπὸ τῆς γῆς ὡς ἐνέγκαι μὴ δυνάμενος [para]ἀνθρώπων τὰ πταίσματα· ἀλλ’ ἐγὼ ὁ οὐράνιος [para]ἁμαρτωλοῖς συνέσομαι καὶ ῥύσομαι πταισμάτων, ὁ μόνος φιλάνθρωπος.

book 32 Εἰ οὐ δύνῃ, ὡς εἶπον, ὦ προφῆτα, συνοικεῖν τοῖς ἀνθρώποις πλημμελοῦσι, [para]δεῦρο μέτελθε καὶ κατοίκει ἀναμάρτητα χωρία τῶν φίλων μου· ἐγὼ δὲ καταβαίνω ὁ τὸ πρόβατον δυνάμενος [para]τὸ ἐκπεπλανημένον ἐν τοῖς ὤμοις 〈αἴρειν〉 φέρειν τε καὶ κράζειν τοῖς πταίουσι·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δρομαῖοι πάντες ἁμαρτωλοί, δεῦτε πρός με, ἀναπαύεσθε· [para]ἐγὼ γὰρ ἐλήλυθα, οὐ κολάσαι οὓς ἔπλασα, ἀλλὰ τοὺς ἁμαρτήσαντας ἁρπάσαι ἀσεβείας, ὁ μόνος φιλάνθρωπος.»

book 33 Ἰδοὺ τύπος Ἠλίας τῶν μελλόντων ἐν τῷ ὕψει στελλόμενος ἐδείχθη. [para]Ὁ Θεσβίτης γὰρ ἀνελήφθη ἐπὶ ἅρματος πυρός, καθὼς γέγραπται· Χριστὸς δὲ ἀνελήφθη ἐν νεφέλαις καὶ δυνάμεσι. [para]Ἀλλ' οὗτος Ἐλισσαίῳ μηλωτὴν ἐξ ὕψους ἔπεμψεν· ὁ Χριστὸς δὲ κατέπεμψε τοῖς ἀποστόλοις τοῖς ἑαυτοῦ τὸν παράκλητον καὶ ἅγιον [para]ὃν πάντες ἐλάβομεν οἱ τὸ βάπτισμα ἔχοντες, δι' οὗ ἁγιαζόμεθα, ὡς πάντας ἐκδιδάσκει ὁ μόνος φιλάνθρωπος.

book pro 1 Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, [para]ἀλλ' ἄγραφον οὐσίαν θωρακισθέντες, τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς [para]ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε· «Τάχυνον ὁ οἰκτίρμων καὶ σπεῦσον ὡς ἐλεήμων [para]εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.»

book pro 2 Οἱ τρεῖς τῇ Τριάδι δουλεύσαντες ἐν ὁμονοίᾳ, θυμὸν βασιλέως καὶ πρόσταγμα ἀπανθρωπίας [para]κατῃσχύνατε, ἅγιοι παῖδες, ἡμῖν ὑπογραμμὸν καταλείποντες, πρόβολοι τῆς πίστεως γεννηθέντες. —Τάχυνον ὁ οἰκτίρμων 〈καὶ σπεῦσον ὁ ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.〉

book 1 Τάχυνον, ὁ οἰκτίρμων, καὶ σπεῦσον, ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος· [para]ἐκτεινόν σου τὴν χεῖραν ἧς πάλαι ἔλαβον πεῖραν Αἰγύπτιοι πολεμοῦντες καὶ Ἑβραῖοι πολεμούμενοι· μὴ καταλίπῃς ἡμᾶς, καὶ καταπίῃ ἡμᾶς Θάνατος ὁ διψῶν ἡμᾶς καὶ Σατᾶν ὁ μισῶν ἡμᾶς· ἀλλ' ἔγγισον ἡμῖν καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν παίδων σου [para]τῶν ἐν Βαβυλῶνι ἀπαύστως δοξαζόντων σε καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον καὶ ἐκ ταύτης κραζόντων σοι· Τάχυνον ...

book 2 Ὅτε ἐν Βαβυλῶνι τὸ τῆς εἰκόνος ἐπράχθη καὶ ἄκων πᾶς προσεκύνει τὴν μὴ ζῶσαν, ὡς ἐμπνέουσαν, [para]τότε τρεῖς νεανίαι, ὡς ἡ γραφὴ ἐκδιδάσκει, εἰς νοῦν λαβόντες τὸ θεῖον, τὴν εὐθεῖαν οὐ κατέλιπον· τὴν γὰρ Ἑλλήνων λύσσαν ὡς ἀτραπὸν πλανῶσαν οἱ ἀκλινεῖς ἐνόμισαν, ὅθεν ταύτην οὐχ ὥδευσαν· ἀλλ' ὀρθοποδοῦντες ἀεὶ πρὸς τὴν ἀλήθειαν, τὴν ἀπάτην ἐγέλων τῶν Περσῶν, μᾶλλον δὲ ἐθρήνουν καὶ ἔκλαιον οἱ ἅγιοι·

book 2 οὐ γὰρ χαίρει ἀπωλείᾳ ὁ δίκαιος, ἀλλὰ στένων κραυγάζει σοι· [para]Τάχυνον ...

book 3 Ὕμνον οὖν ὑπὲρ πάντων προσέφερον, ὡς ἐκ πάντων ἡ τρίμυρος εὐωδία τὸν δεσπότην ἱκετεύουσα· [para]«Εὐεργέτα ἐν πᾶσι καὶ ἄμωμε κατὰ πάντα, ὁ τῆς εἰδωλολατρείας ὀχετὸς μὴ παροξύνῃ σε, ἐκ θυσιῶν αἱμάτων καὶ τῶν παραπτωμάτων ὁρῶν τὴν γῆν σου γέμουσαν καὶ πάντοθεν ἐξόζουσαν· ἐσμὲν γὰρ ἐν μέσῳ βορβόρου τὸ θυμίαμα· εἰ δοκεῖ σοι, ὀσφράνθητι ἡμῶν [para]τῶν σῶν δούλων, σῶτερ, καὶ τοῦ γνησίου φίλου σου τοῦ εὐόσμου Δανιὴλ οὗ ἠγάπησας· σὺν ἡμῖν γὰρ κραυγάζει σοι·

book 3 Τάχυνον ...

book 4 Ταῦτα τότε ἐβόων οἱ περὶ τὸν Ἀνανίαν, ὁρῶντες τὴν ἀνομίαν ἣν ὁ ἄνομος ἐποίησεν. [para]Τίς δὲ ἡ ἀνομία καὶ τίς ὁ ταύτην θεσπίσας; Προσδράμωμεν τῷ βιβλίῳ καὶ ἐκ τούτου διδασκώμεθα. Ὁ Ναβουχοδονόσορ, φησίν, χρυσῆν εἰκόνα πρότερον τεκτηνάμενος, μετὰ ταῦτα ἀνέστησε· κἀκείνη μὲν ἔστη, ὁ στήσας δὲ κατέπεσεν καὶ ἐρράγη ὁ ἐγείρας τὸ κακόν· [para]οὐκ ἤρκει δὲ μόνος τῷ πτώματι, ἀλλ' εἵλκυσε καὶ τὸ πλῆθος, ὑπὲρ ὧν οἱ τρεῖς ἅγιοι ὀδυρόμενοι ἔκραζον· [para]Τάχυνον ...

book 5 Ἄνω οὖν ἐπὶ ὕψους ἐστηλωμένου τοῦ μύσους, τὰ κάτω ἐθορυβεῖτο τῷ ἀθέσμῳ βαρυνόμενα· [para]ἦν γὰρ ἄθεσμον ὄντως τὸ προσκυνεῖν τῇ ἀψύχῳ, καὶ κτίσιν πᾶσαν ἐδόνει τὸ ἀντίθεον τιμώμενον· ὅμως καὶ κλονουμένης τῆς Βαβυλῶνος ὅλης, ἔμεινεν ἀκατάβλητον τὸ τῶν παίδων τριώροφον· ἐπὶ γὰρ τὴν πέτραν καλῶς τεθεμελίωτο, καὶ οὐκ ἐβλήθη, ὠθούντων τῶν πολλῶν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]πολλοὶ γὰρ ὑπῆρχον, ὡς γέγραπται, οἱ σκάπτοντες τοῖς ἁγίοις, ἀλλ’ εἰς μάτην ἐμόχθησαν, ἡττηθέντες τοῖς κράζουσιν· [para]Τάχυνον ...

book 6 Πάνυ γὰρ ἠγανάκτουν καὶ ἐδυσφόρουν Χαλδαῖοι, θεώμενοι τοὺς Ἑβραίους ἀθετοῦντας ἃ ἐθέσπιζον· [para]ὅθεν καὶ προσελθόντες τῷ βασιλεύοντι τότε, διέβαλον τοὺς ἁγίους ὀργιζόμενοι καὶ λέγοντες· «Ὦ Ναβουχοδονόσορ, τῆς γῆς καὶ πόντου ἄναξ, πάντων ὁμοῦ τρεμόντων σε, τρεῖς γελῶσί σε μείρακες· θεοὺς γὰρ οὓς σέβει ἐκεῖνοι διαπτύουσι καὶ εἰκόνα ἣν ἔστησας χρυσῆν· [para]τῆς δὲ δεξιᾶς σου τὸ κῦρος εὐτελίζουσιν καὶ τὴν ταύτης προσδοκῶσι κατάλυσιν, καθ’ ἑκάστην εὐχόμενοι·

book 6 Τάχυνον ...»

book 7 Ἔμαθεν οὖν ὁ ἄναξ, καὶ θυμωθεὶς ἐπὶ τούτῳ κελεύει τοῖς μεγιστᾶσι παραστῆσαι τὰ μειράκια· [para]ὅθεν ἅμα τῷ λόγῳ προέβαινε καὶ τὸ ἔργον, καὶ ἤγοντο τὰ ἀρνία πρὸς τὸν λύκον τὸν ὠμότατον· ἄλλων κατασπευδόντων καὶ ἄλλων συνωθούντων, ὤφθησαν οἱ πανάρετοι τῶν ἑλκόντων ὀξύτεροι· ταχεῖς γὰρ ὑπῆρχον εἰς πάντα δι’ εὐσέβειαν καὶ σπουδαῖοι ἀεὶ πρὸς τὸν Θεόν, [para]πρὸς ὃν καὶ τὸ βλέμμα τοῦ πνεύματος ἐξέτεινον, καθ’ ἑκάστην τῶν αὐτοῦ ὁμειρόμενοι καὶ τυχεῖν ἱκετεύοντες· [para]Τάχυνον ...

book 8 Ἵσταντο οὖν οἱ παῖδες ἐνώπιον τοῦ δολίου καθάπερ τρίγωνος πύργος, ἐρρωμένοι τῷ φρονήματι· [para]ὅθεν τούτους ἰδόντες, οἱ δωρεὰν πολεμοῦντες ὡς βέλη ἠκονημένα κατηκόντιζον τὰ ῥήματα, λέγοντες τῷ τυράννῳ· «Ὁρᾷς τοὺς παρεστῶτας· νόησον ἐκ τῆς ὄψεως τὰ τῆς τούτων προθέσεως· αὐτοί εἰσιν οὗτοι οἱ πᾶσαν ἀνατρέποντες Βαβυλῶνα καὶ τὰ δόγματά σου, οἱ ξένην λατρείαν ἐνσπεῖραι ἐπειγόμενοι ἐπὶ πάντα τῆς Περσίδος τὰ ὅρια, οὕτω κράζειν διδάσκοντες· [para]Τάχυνον ...

book 9 Νῦν οὖν σκέψαι τί δρᾶσαι καὶ φρόντισον τί τελέσαι· ἐντός σου γὰρ οἱ ἐχθροί σου καὶ οἱ σοὶ ἐκπολεμοῦσί σε· [para]οἵτινες τῆς τραπέζης ἐσθίουσί σου τὸν ἄρτον, αὐτοὶ ἐπῆραν τὴν πτέρναν κατὰ σοῦ τοῦ διατρέφοντος. Ἂν οὖν καταφρονήσῃς, φθορᾷ καταφθαρήσει, σὺ καὶ ἡ βασιλεία σου· οὐ γὰρ ἔστιν ἀκίνδυνον· τὰ ἔξωθεν πάθη ῥαδίως θεραπεύονται, ἡ δὲ ἔνδον πληγὴ μένει πληγή. [para]Ἀπόκοψον τούτους ὡς πώρωμα σκληρότατον, μὴ καὶ σῆψιν τοῖς λοιποῖς ἐμποιήσωσι διὰ τούτων ὧν ψάλλουσι· [para]Τάχυνον ...»

book 10 Οὕτω λέγοντες τότε ὑφῆψαν τὸν βασιλέα καὶ ὥσπερ πῦρ ἐν ἀκάνθαις ἐξεκαύθη ὁ θυμὸς αὐτοῦ· [para]ὅθεν βρύξας ἐξαίφνης θηρίου δίκην ἀγρίου, ἐβόησε τοῖς γενναίοις· «Τλημονέστατοι, ἀκούσατε· εἰ ἀληθῶς τοιαῦτα τολμᾶτε καὶ λαλεῖτε, μάτην τοῦ ζῆν ἐλπίζετε, μάτην εἶναι πιστεύετε· οὐδεὶς γὰρ ἀνθρώπων ἐγένετο ἢ γίνεται ὃς ἰσχύει καταλῦσαι τ̣ὰ̣ ἐ̣μ̣ά̣, [para]οὐδὲ πάλιν ἔστιν ὃς δύναται λυτρώσασθαι τῶν χειρῶν μου τὸν αὐταῖς ὑποπίπτοντα, οὐδ’ αὐτὸς ᾧ κραυγάζετε· [para]Τάχυνον ...

book 11 Ὕπνον οὖν ὑποπτεύσας καὶ ὄναρ εἶναι νομίσας τὰ ἤδη γεγενημένα, ἐκ τοῦ νῦν ἐπιζητῶ ὑμᾶς· [para]δείξατε οὖν, ὦ παῖδες, τὰ ῥήματα τῶν λαλούντων ληρήματα φλυαρούντων δι’ ὧν ἄρτι ἀπεργάζεσθε. Ἐὰν ἠχήσῃ σάλπιγξ καὶ μουσικῶν τὰ γένη, πίπτοντες προσκυνήσατε τῇ εἰκόνι ᾗ ἔστησα· τιμήσατε ταύτης τὸ κῦρος, ὡς ὀφείλετε, μετὰ πάντων τῶν πρώτων τοῦ λαοῦ· [para]μὴ δῶτε αἰτίαν ἐμοὶ τοῦ ἀνελεῖν ὑμᾶς, μὴ δοθῆτε τῷ πυρὶ εἰς κατάκαυσιν, καὶ δικαίως κραυγάσητε·

book 11 Τάχυνον ...»

book 12 Ῥήματα δὲ τοιαῦτα ἀκούσαντες οἱ γενναῖοι, ἐγέλασαν τὴν τοσαύτην ματαιότητα τοῦ ἄνακτος· [para]ὅμως ἵνα μὴ πάνυ νομίσῃ φρόνιμος εἶναι, ἐπῆραν ἄνω τὸ ὄμμα οἱ 〈τρεῖς〉 πάνσοφοι καὶ ἔφησαν· «Ὦ Ναβουχοδονόσορ, τῆς Βαβυλῶνος ἄναξ, χρείαν ἡμεῖς οὐκ ἔχομεν περὶ τούτου

λαλῆσαί σοι· μωρὰ γὰρ λαλοῦντι οὐδείς σοι ἀποκρίνεται, ὅτι οὕτω κελεύει ἡ Γραφή· [para]Μὴ ἀνταποκρίνου τῷ ἄφρονι τὰ ὅμοια.

book 12 Διὰ τοῦτο σιωπὴν ᾑρησάμεθα καὶ σιγῇ προσευχόμεθα· [para]Τάχυνον ...

book 13 Ὥστε οὖν μὴ ἐλπίσῃς ἀκοῦσαί τι περὶ τούτου· σκοπὸς γὰρ ἡμῖν ἐν τούτῳ μηδὲ λόγου ἀξιῶσαί σε· [para]τί γὰρ ἔχομεν λέγειν πρὸς ἄνθρωπον μεμηνότα καὶ παραφρόνως βοῶντα· «Προσκυνεῖτε τῇ εἰκόνι μου», καὶ τὸ δὲ χεῖρον πάντων, κολάζειν ἀπειλοῦντα πάντα τὸν μὴ πειθόμενον προσκυνῆσαι τὴν ἄψυχον; Οὐ χρεία οὖν λόγων, ἀλλ' ἔργων καὶ δυνάμεων· οὐ ῥημάτων, πραγμάτων ὁ καιρός. Εὐτρέπισας φλόγα καὶ κάμινον ἐξέκαυσας·

book 13 ἤδη ὄψει πῶς αὐτὴν οὐ πτοούμεθα, ἀλλ' ἐροῦμεν πρὸς Κύριον· [para]Τάχυνον ...

book 14 Μέγαν ἔχομεν πόθον πρὸς τὸν Θεὸν τῶν Ἑβραίων, θερμότερον τοῦ πυρός σου καὶ καμίνου καυστικώτερον· [para]σὺ γὰρ τάχα νομίζεις, ὡς ἄθεος καὶ παράφρων, ὅτι πατρίδος λειφθέντες καὶ ἐλπίδος ἐγυμνώθημεν, ἀλλ' οὐκ ἐπιγελάσεις ἡμῖν ὡς ἀσυνέτοις· ἔχομεν γὰρ ὃν ἔχομεν πανταχοῦ περιφέροντες· ἐνώπιον ἡμῶν τὸν πλάστην προορώμενοι, καθ' ἑκάστην λατρεύομεν αὐτῷ· [para]οὐκ ἔστι γὰρ οὗτος ὡς αὕτη ἣν ἐχάλκευσας, ἀλλ' ἐπάνω πέλει πάσης τῆς κτίσεως, ἀσιγήτως ὑμνούμενος· Τάχυνον ...»

book 15 Ἅμα ἤκουσε τούτων, ὁ ἄθλιος καὶ πανώλης ὡς σίδηρος ἐπυρώθη καὶ φλογμὸν ἀπεσπινθήριζε, [para]κράζων, βράζων, ἀσθμαίνων καὶ λέγων τοῖς παρεστῶσιν· «Ἑπτάκις ὑπὲρ τὸ πρῶτον ὑποκαύσατε τὴν κάμινον· νάφθῃ ὁμοῦ καὶ πίσσῃ καὶ κληματίδων πλήθει ταύτης τὸ πῦρ αὐξήσαντες τῷ θυμῷ μου ἰσώσατε· ὁμοίως γὰρ ταύτης ἀνάπτομαι καὶ φλέγομαι, ὅτι οὗτοι ἠθέτησαν ἐμέ· [para]καὶ τάχα τῶν παίδων ἐγὼ προαναλίσκομαι τῇ μανίᾳ, θεωρῶν οὓς ἐλέησα εἰς αἰσχύνην μου κράζοντας· [para]Τάχυνον ...»

book 16 Νάφθῃ οὖν καὶ στυππίῳ καὶ κληματίδι καὶ θείῳ καὶ ἄλλαις πλείοσιν ὕλαις διαθρέψαντες τὴν κάμινον, [para]ἔκαυσαν εἰς τοσοῦτον ὡς καὶ ὀνόματι μόνῳ πτοῆσαι καὶ καταπλῆξαι καὶ νεκρῶσαι τοὺς ἀκούοντας. Ἀλλ' ὁ τοῖς πᾶσι φόβος τοῖς παναγίοις γέλως γέγονε, καὶ εὐτέλισμα τὸ τοσοῦτον γαυρίαμα· ἐννέα γὰρ πήχεις ὁμοῦ καὶ τεσσαράκοντα διεχεῖτο ἐπάνωθεν ἡ φλόξ, [para]καὶ πάντων τρεμόντων οἱ παῖδες ἦσαν ἄτρομοι·

book 16 τὴν γὰρ γνώμην καὶ τὴν ῥώμην συσφίγξαντες, θείῳ πόθῳ ὑπέψαλλον· [para]Τάχυνον ...

book 17 Ὅτε οὖν ἐπυρώθη ἡ κάμινος τῶν Χαλδαίων καὶ πλέον ταύτης ἐξήφθη ὁ θυμὸς τοῦ βασιλεύοντος, [para]τότε τῶν μεγιστάνων τινὲς προσῆλθον τοῖς νέοις· δοκοῦντες μὲν συμβουλεύειν, ἀληθῶς δὲ ἐπεβούλευον, λέγοντες τοῖς ἁγίοις· «Καλοί, λαμπροὶ καὶ ὡραῖοι, τίς τὴν τοιαύτην ἔννοιαν ἐν ὑμῖν ἐνεφύτευσεν; Οἱ φίλοι τὸ πάρος πῶς ὤφθητε πολέμιοι, καὶ οἱ μύσται προδόται διὰ τί; [para]Οἱ τοῦ βασιλέως ὑπέρμαχοι στερρότατοι πῶς ἐξαίφνης τοῦτον λῦσαι σπουδάζετε διὰ τούτων ὧν ψάλλετε·

book 17 Τάχυνον ...;

book 18 Ὕβρις τίς ἐπηνέχθη ὑμῖν ἐκ τῶν ὑπηκόων καὶ τούτου χάριν ἐξαίφνης κατὰ πάντων ἐξετράπητε; [para]Τοῦτο γὰρ ὃ τελεῖτε κατάλυσίς ἐστιν πάντων, τοῦ ἔθνους ἡμῶν καὶ γένους καὶ αὐτοῦ τοῦ βασιλεύοντος. Μὴ ἕως τούτου, παῖδες, πετρώσητε τὰ μέλη· φείσασθε τῆς νεότητος, ἑαυτοὺς ἐλεήσατε· οὐκ ἔστι πριάσθαι ζωὴν μετὰ τὸν θάνατον, οὐκ εἰσὶ γὰρ οἱ πωλοῦντες αὐτήν· [para]τὸ πῦρ τῶν Χαλδαίων οὐ τρέμει οὐδ' αἰσχύνεται τὴν λατρείαν τῶν Ἑβραίων ἣν λέγετε, οὐδὲ τοῦτον ᾧ ψάλλετε· [para]Τάχυνον ...»

book 19 Οὕτω λέξαντες τότε οἱ μεγιστᾶνες τοῖς νέοις, ἐνόμισαν ὅτι πάντως ὅπερ ἤθελον ἐξήνυσαν· [para]ὅμως οἱ ῥωμαλέοι καθάπερ βασανισθέντες, οὐ γὰρ ὡς συμβουλευθέντες, ἀπεκρίθησαν στερρότεροι· «Τί, φησί, τοῦτο, ἄνδρες; Δοκεῖτε ὅτι λόγοις ἢ ἀπειλαῖς συγκάμπτετε τὴν στερρὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμῶν πρόθεσιν; Οὐ λύετε τόνον ὃν πίστις περιέσφιγξεν· οὐ γὰρ αὕτη ἡ κάμινός ἐστιν· [para]Θεός ἐστιν ἄνω ὃς δύναται λυτρώσασθαι, καὶ ἐὰν μὴ βουληθῇ ἡμᾶς ῥύσασθαι, ἀποθνήσκομεν ψάλλοντες· [para]Τάχυνον ...

book 20 Ψόγον γὰρ οὐκ ἐπάγει ἡμῖν τὸ οὕτως τεθνάναι ὑπὲρ Χριστοῦ ἀθανάτου καὶ θνητοὺς ἀθανατίζοντος· [para]τοῦ Ναβουχοδονόσορ πολλάκις προκινδυνεῦσαι είλόμεθα καὶ σφαγῆναι, πόσῳ μᾶλλον τοῦ Θεοῦ ἡμῶν; Τί οὖν λοιπόν, Χαλδαῖοι, καὶ σύ, ὁ τούτων ἄναξ, τί ἡμῖν ἐμποδίζετε; Οὐ γὰρ ἔσται ὃ θέλετε.» Τοιαῦτα ἀκούων, ὁ ἄναξ κατεπρίετο καὶ παφλάζων ἐβόα ἐν θυμῷ· «Δεσμεύσατε τούτους καὶ δότε εἰς κατάκαυσιν, ἵνα βρῶμα τῆς καμίνου γενόμενοι, τεφρωθέντες μὴ κράζωσιν· [para]Τάχυνον ...»

book 21 Ἄραντες οὖν τοὺς παῖδας, οἱ ἐπὶ τούτῳ ταχθέντες δεσμοῦσι χεῖρας καὶ πόδας καὶ χαλῶσιν εἰς τὴν κάμινον. [para]Δέχεται οὖν ἐκείνη τὴν τρίκλωνον αὐτῶν ῥίζαν καὶ οὐ φλέγει, ἀλλὰ φυλάττει φοβουμένη τὸν φυτεύσαντα· ἀλλὰ εἰς πνεῦμα δρόσου ἡ φλὸξ μεταβληθεῖσα θεῖον οὕτω διέψυχε τὰ στελέχη τὰ ἅγια. Καὶ ἦν ἰδεῖν ξένον· τὸ πῦρ γὰρ ἐπελάθετο τῶν ἰδίων καὶ γέγονε πηγή, [para]ἀρδεύουσα μᾶλλον ἢ καίουσα οὓς ἔλαβεν καὶ φρουροῦσα ὥσπερ ἄμπελον τρίφορον, ἵνα δῷ τὸν καρπὸν αὐτῆς.

book 21 Τάχυνον ...

book 22 Λέλυτο παραχρῆμα ἡ δύναμις τῆς καμίνου· ὁ ἄγγελος γὰρ ἐξαίφνης οὐρανόθεν ἐπεδήμησεν, [para]μέσον ταύτης εἰσῆλθεν καὶ κατεπράϋνεν ὅλην καὶ ἔδειξεν τοῖς ἁγίοις ὡς παράδεισον τὴν κάμινον· καὶ κατεπάτουν οὗτοι τοὺς ἄνθρακας ὡς ῥόδα καὶ ὥσπερ ἐπὶ ἄνθεσι τοῖς σπινθῆρσιν ἐτέρποντο· καυτήριος τόπος εὐκτήριος ἐγένετο καὶ εὑρέθη ῥοδόπατος παστάς· [para]ἡ θάνατον πνέων τοῖς κύκλῳ καὶ τοῖς πόρρωθεν τῶν ἐν μέσῳ τὴν ζωὴν οὐκ ἐλύπησεν, φοβηθεὶς ἀφ' ὧν ἔψαλλον· [para]Τάχυνον ...

book 23 Μόνον γὰρ συγκατέβη τοῖς περὶ τὸν Ἀζαρίαν ὁ ἄγγελος οὐρανόθεν, πρὸς ψαλμὸν αὐτοὺς ἐξήγειρε [para]λέγων· «Ἅγιοι παῖδες, ἀκούσατέ μου τῶν λόγων· ἐγὼ τελῶ ἃ ἐτάχθην, καὶ ὑμεῖς ἃ ἐδιδάχθητε. Ὡς χαλινῶ τὴν φλόγα, στομώσατε τὴν γλῶσσαν· ὡς ἀμαυρῶ τὴν φλέγουσαν, ἀκονᾶτε τὴν ψάλλουσαν· μηδὲν πτοηθῆτε· τὸ πῦρ οὐκ ἐνοχλεῖ ὑμῖν, τῶν ἐχθρῶν γὰρ ὑμῶν ἐπικρατεῖ· [para]ἐκέλευσα τοῦτο νηστεῦσαι, ὡς νηστεύετε, καὶ ἀσώτως τοὺς ἀσώτους κατέδεσθαι τοὺς ὑμῖν μὴ συμψάλλοντας· [para]Τάχυνον ...

book 24 Ὅλην οὖν τὴν καρδίαν ἐκδόντες πρὸς ὑμνῳδίαν, τῷ πλάσαντι τὰς καρδίας μελῳδίαν ἐξυφάνατε· [para]λάβετε καὶ τὴν κτίσιν πρὸς εὐφημίαν τοῦ κτίστου καὶ πάντα τὰ ἔργα Κυρίου εὐλογήσουσι τὸν Κύριον, ὅτι τὸ πῦρ πηγάζει καὶ κάμινος δροσίζει τοῖς εἰς αὐτὸν πιστεύουσι καὶ τῆς πλάνης ἐκφεύγουσι. Τὰ πάντα γὰρ δοῦλα ὑπάρχει τοῖς δουλεύουσι τῷ Κυρίῳ ὡς πλάστῃ καὶ Θεῷ· [para]Ἠλίας τῶν ἄνω καὶ τῶν κάτω ἐδέσποζεν ὅτι μέσον τῶν ἀθέων ἱστάμενος τὸν Θεὸν ἐλιτάνευεν·

book 24 Τάχυνον ...»

book 25 Στήσαντες οὖν οἱ παῖδες χορὸν ἐν μέσῳ καμίνου, οὐράνιον ἐκκλησίαν ἀπειργάσαντο τὴν κάμινον, [para]ψάλλοντες μετ' ἀγγέλου τῷ ποιητῇ τῶν ἀγγέλων καὶ πᾶσαν τὴν λειτουργίαν τῶν ἀσάρκων ἐκμιμούμενοι· εἶτα ἐμφορηθέντες ἐκ τῆς λατρείας τότε τοῦ παναγίου Πνεύματος, εἶδον ἄλλο φρικτότερον· αὐτὸς γὰρ ἐκεῖνος ὃν ἔβλεπον ὡς ἄγγελον καθ' ἑκάστην ἠλλοίου τὴν μορφήν, καὶ ὁτὲ μὲν θεῖος, ἄλλοτε δὲ ὡς ἄνθρωπος ἑωρᾶτο, καὶ ποτὲ μὲν ἐκέλευε, ποτὲ δὲ συνικέτευεν· Τάχυνον ...

book 26 Ὅθεν καταπλαγέντες ἐξέστησαν τῇ καρδίᾳ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ ἀλλήλοις συνελάλησαν· [para]«Τί, φησίν, ἐστὶ τοῦτο; Οὐκ ἔστιν ἄγγελος οὗτος, ἀλλὰ Θεὸς τῶν ἀγγέλων· ἐν ἀγγέλου μορφῇ φαίνεται ὁ εἰς τὸν κόσμον μέλλων ἔρχεσθαι, καὶ σβεννύειν τὴν τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰδώλων γέενναν ὥσπερ ἄρτι τὴν κάμινον. Αὐτὸς καὶ νῦν ὤφθη καὶ τῶν μελλόντων γίνεσθαι τὴν εἰκόνα ὑπέδειξεν ἡμῖν· [para]καθάπερ καὶ ἄρτι τὴν κάμινον ἐδρόσισεν, οὕτως μέλλει ὡς ὑετὸς εἰς τὴν ἄγαμον καταρδεύειν τοὺς ψάλλοντας· [para]Τάχυνον ...

book 27 Ὕμνος οὖν τῷ εὐσπλάγχνῳ καὶ αἶνος τῷ φιλανθρώπῳ, ὅτι ἠξίωσεν ἡμᾶς τῆς μελλούσης αὐτοῦ χάριτος. [para]Δεῦτε, πᾶσα ἡ κτίσις, τὸν κυβερνῶντα τὴν κτίσιν καὶ συγκρατοῦντα τὴν φύσιν ἱκετεύσωμεν κραυγάζοντες· Ὁ πρὸς ἡμᾶς καὶ ἄνω καὶ ἐν ἑκάστῳ τόπῳ ἄφθαστε καὶ κρατούμενε, χωρητὲ καὶ ἀχώρητε, ὁ ἐπὶ πτερύγων ἀνέμων ἐποχούμενος καὶ τὰ ἴχνη μὴ ἐκφαίνων βροτοῖς, [para]ὁ πόλου καὶ γαίας καὶ πόντου τὴν ὑπόστασιν καὶ ἀνθρώπους διοικῶν ὡς ἐπίστασαι, ἐφ’ ἡμῖν παρακλήθητι·

book 27 Τάχυνον ...

book 28 Τούτων οὕτω ψαλλόντων καὶ οὕτως ἱκετευόντων, ὁ ἄναξ ἐπηκροᾶτο πρὸς τὴν κάμινον γενόμενος. [para]Ἦλθε γὰρ μεθ’ ἡμέρας, ὡς ἡ γραφὴ ἐκδιδάσκει, ἐλπίζων κόνιν εὑρίσκειν οὓς παρέδωκεν εἰς κάμινον· ὅμως ἐματαιώθη ἡ τούτου προσδοκία καὶ ἐξεχύθη ἄθροον ὡς καπνὸς ἡ ἐλπὶς αὐτοῦ· ἐμβλέψας γὰρ κάτω ὁ τλήμων εἰς τὴν κάμινον, ἐθεώρει φρικτὰ καὶ θαυμαστά· [para]τὸ πῦρ δεδεμένον κἀκείνους οὓς ἐδέσμευσε λελυμένους, ἁλλομένους, χορεύοντας καὶ σκιρτῶντας καὶ ἐπᾴδοντας· [para]Τάχυνον ...

book 29 Ὅλως δὲ ἠλλοιώθη καὶ συνεχύθη τὰς φρένας, καὶ τί τελέσαι μὴ ἔχων, τοῖς σατράπαις ἀνεβόησεν· [para]«Τρεῖς ἐρρίψαμεν ἔνδον καὶ τέσσαρας αὐτοὺς βλέπω, καὶ τοῦ τετάρτου ἡ ὄψις συνταράσσει τὴν καρδίαν μου· οὔτε γὰρ οἶδα τίνι συγκρίνω τὸν τοιοῦτον· εἴπω ὅτι βροτός ἐστιν; Ἀλλ’ υἱὸς Θεοῦ πέφυκεν· δικαίως ἡττήθη τὸ πῦρ, οὔτε γὰρ ἴσχυσεν ἀντιστῆναι πρὸς πύρινον ἡ φλόξ· [para]ἀξίως ἐσβέσθη ἡ κάμινος, οὐκ εἶχε γὰρ ὑποστῆναι τὴν αὐγὴν τοῦ ἀστράπτοντος καὶ τοῖς νέοις συμψάλλοντος· [para]Τάχυνον ...

book 30 Σέβω οὖν, κἂν μὴ θέλω, τὸν Κύριον τῶν Ἑβραίων, καὶ πᾶσι τοῖς ἐν τῇ γῇ μου διατάττω συναινέσαι μοι. [para]Δεῦτε, ἅγιοι παῖδες, ἐξέλθετε τῆς καμίνου· ἐπείσθην γὰρ ὅτι ὄντως ὁ Θεὸς ὑμῶν Θεός ἐστιν.» Ταῦτα ἐν Βαβυλῶνι ἐγένετο, ὡς γράφει, ὅτε αἰχμαλωτίσθησαν οἱ Θεὸν παρoργίσαντες. Διό, ἀδελφοί μου, ὁρᾶτε μὴ λυπήσωμεν τὸν δεσπότην καὶ δοθῶμεν ἐχθροῖς· [para]λυποῦμεν γὰρ τοῦτον ἐὰν αὐτὸν ἀφήσωμεν καὶ τὴν πίστιν 〈τὴν〉 ὀρθὴν παρατρώσωμεν ἧς ἐκτὸς λέγειν ἄδεκτον·

book 30 Τάχυνον ...

book pro Ἀπεγνωσμένην τὴν Νινευὴ προέφθασας, [para]ἐπηγγελμένην τὴν ἀπειλὴν παρήγαγες [para]καὶ τὴν ὀργὴν ἐνίκησε τὸ ἔλεός σου, Κύριε· σπλαγχνίσθητι καὶ νῦν ἐπὶ λαὸν καὶ πόλιν σου, παλάμῃ κραταιᾷ τοὺς καθ’ ἡμῶν κατάβαλε πρεσβείαις τῆς Θεοτόκου, προσδεχόμενος ἡμῶν τὴν μετάνοιαν.

book 1 Τὸ ἰατρεῖον τῆς μετανοίας τοῖς γνώμῃ ἀρρωστοῦσιν ἠνέῳκται· δεῦτε, [para]προφθάσωμεν, κἀκεῖθεν ῥῶσιν ταῖς ψυχαῖς ἡμῶν λάβωμεν· ἐν αὐτῷ γὰρ ἡ πόρνη ὑγίανεν, ἐν αὐτῷ ἀπέθετο καὶ ὁ Πέτρος τὴν ἄρνησιν, ἐν αὐτῷ τὸ ἐγκάρδιον ἄλγος Δαυὶδ ἔθραυσεν, [para]ἐν αὐτῷ καὶ Νινευῆται ἰατρεύθησαν. Μὴ οὖν ὀκνῶμεν, ἀλλ’ ἀναστῶμεν [para]καὶ δείξωμεν τὸ τραῦμα τῷ Σωτῆρι, καὶ λάβωμεν ἔμπλαστρον· [para]ὑπὲρ πάντα γὰρ πόθον προσδέχεται ἡμῶν τὴν μετάνοιαν.

book 2 Οὐκ ἀπαιτεῖται μισθὸν οὐδὲ εἷς τῶν αὐτῷ προσελθόντων οὐδέποτε, ὅτι [para]οὐκ ἴσχυον τῆς ἰατρείας δοῦναι δῶρον ἀντάξιον· διὰ τοῦτο δωρεὰν ὑγίαιναν, ἐκεῖνο δὲ ἔδωκαν ὃ καὶ δοῦναι ἐδύναντο, ἀντὶ δώρων τὰ δάκρυα· ἔστι γὰρ καὶ φίλτατα [para]καὶ ἐράσμια τῷ ῥύστῃ καὶ ποθούμενα· μάρτυς ἡ πόρνη ἅμα τῷ Πέτρῳ, [para]Δαυὶδ καὶ Νινευῆται, ὅτι μόνον κλαυθμὸν προσενέγκαντες, ὑπέπεσαν τῷ ῥύστῃ, καὶ ἐδέξατο αὐτῶν τὴν μετάνοιαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 3 Νικᾷ πολλάκις κλαυθμὸς τὸν Θεόν, εἰ ἔξεστιν εἰπεῖν, καὶ βιάζεται ὄντως [para]ἡδέως γὰρ ὑπὸ δακρύων ὁ οἰκτίρμων συνέχεται, τῶν δακρύων δὲ τῶν ἐκ τοῦ πνεύματος, οὐ τῶν ἐκ 〈τοῦ〉 σώματος, ὧν αἱ θλίψεις παραίτιοι· καὶ νεκροὺς γὰρ δακρύομεν καὶ ἐκ πληγῶν κλαίομεν· [para]ἡ γὰρ σὰρξ πηλὸς ὑπάρχει ῥέων ἄπαυστα. Κλαύσωμεν τοίνυν ἀπὸ καρδίας, [para]ὃν τρόπον Νινευῆται κατανύξει τὸν οὐρανὸν ἤνοιξαν [para]καὶ ὤφθησαν τῷ ῥύστῃ, καὶ ἐδέξατο αὐτῶν τὴν μετάνοιαν.

book 4 Περὶ οὖν τούτους εἰλήσθω ὁ νοῦς· αὐτῶν γὰρ καὶ ἔστιν ἡ ὑπόθεσις ὅθεν [para]σχολάσωμεν, καὶ τῶν ἐκείνοις πεπραγμένων ἀκούσωμεν. Μετ' ἐκεῖνο τὸ ἔμφοβον κήρυγμα ὃ πρώην ἐκήρυξε Ἰωνᾶς τοῖς μὴ νήφουσι, μετ' ἐκείνην τὴν ἄστεκτον καὶ τὴν ἀνυπόστατον [para]ἀπειλὴν ἣν ὁ προφήτης προεκήρυξεν, οἱ Νινευῆται ὥσπερ τεχνῖται [para]ἐπιστηρίξαι πόλιν ἣν κακίαι ἐσάλευσαν ἔσπευσαν, [para]οὐ λίθον ὑποθέντες, ἀλλὰ πέτραν ἀσφαλῆ τὴν μετάνοιαν.

book 5 Ῥοαῖς δακρύων τὸν ῥύπον αὐτῆς ἐκπλύναντες εὐχαῖς κατεκόσμησαν ὅλην, [para]καὶ ἤρεσεν ἐπιστραφεῖσα Νινευὴ τῷ οἰκτίρμονι· τὸ γὰρ κάλλος αὐτῆς τὸ ἐγκάρδιον εὐθέως ὑπέδειξε τῷ καρδίας ἐτάζοντι, καὶ τὴν σάρκα τὴν ἄμορφον σάκκῳ σποδῷ μίξασα, [para]εὐποιΐαις ὡς ἐλαίῳ ἐπεχρίσατο, καὶ ταῖς νηστείαις μυρισαμένη [para]πρὸς τὸν ἀρχαῖον ἄνδρα ἀναλύει καὶ τούτῳ προσπλέκεται, [para]διὸ καὶ ὁ νυμφίος ἠγκαλίσατο αὐτῆς τὴν μετάνοιαν.

book 6 Ὁ βασιλεὺς δὲ αὐτῆς ὁ σοφός, καθάπερ νυμφοστόλος γενόμενος, τότε [para]ἐκέλευσε τὴν πόλιν πᾶσαν ἀρετὴν ἀναδήσασθαι, καὶ ὡς νύμφην λοιπὸν ἐκαλλώπισε, καὶ κτήνη καὶ θρέμματα ὡς εἰς φερνὴν ηὐτρέπιζε, «Πάντα, λέγων, προσφέρω σοι· μόνον διαλλάγηθι, [para]νυμφίε, Θεέ, σωτήρ μου, καταλλάγηθι τῇ πορνευσάσῃ καὶ ἀποστάσῃ [para]ἐκ τῆς ἀκηλιδώτου συνουσίας τῆς σῆς καθαρότητος· [para]ἰδοὺ γάρ σε φιλοῦσα σοὶ προσφέρει δωρεὰν τὴν μετάνοιαν.

book 7 Φωνὴ ἀλόγων ζητούντων νομήν· ἀνθρώποις γὰρ ὁμοῦ καὶ τοῖς κτήνεσι πᾶσιν [para]ἐκέλευσα νηστείαν ἄγειν ἕως ἂν φιλιωθῇς ἡμῖν. Εἰ ἐγὼ ὁ ἀνάσσων ἠνόμησα, ἐμὲ μόνον ἔτασον καὶ τοὺς πάντας ἐλέησον· εἰ δὲ πάντες ἡμάρτομεν, πάντων φωνὰς ἄκουσον, [para]τῶν βοῶν καὶ τῶν προβάτων τὰ μυκήματα καὶ τῶν ἀνθρώπων τὰς ἱκεσίας· [para]ἐπιφθασάτω μόνον ἡ ῥοπή σου, καὶ πᾶν δεινὸν λέλυται·

book 7 οὐ δειλιῶμεν φόβον, ἐὰν δέξῃ παρ' ἡμῶν τὴν μετάνοιαν.

book 8 Ἡ τὸν ζυγόν σου, σῶτερ ἀγαθέ, τραχήλου ἑαυτῆς ἀπορρίψασα αὕτη [para]προσπίπτει σοι καὶ πάλιν τοῦτον ὑποθεῖναι ἐπείγεται· Νινευὴ ἡ δραπέτις προσπίπτει σοι, κἀγὼ ὁ ταλαίπωρος βασιλεὺς καὶ οἰκέτης σου, ὡς τοῦ θρόνου ἀνάξιος ἐπὶ σποδοῦ κάθημαι, [para]ὡς τὸ στέμμα καθυβρίσας κόνιν πέπασμαι, ὡς μὴ ἁρμόζων τῇ πορφυρίδῃ [para]τὸν σάκκον ἐνεδύθην καὶ ὠδυνήθην· διὸ μὴ παρίδῃς με· [para]ἐπίβλεψον, σωτήρ μου, καὶ πρόσδεξαι ἡμῶν τὴν μετάνοιαν.

book 9 Τίς ὠφελία ἐν τῇ Νινευῇ ἐὰν καταστραφῇ, ἀναμάρτητε μόνε; [para]Μὴ δύναται ὁ χοῦς ἐν Ἅιδῃ ἀναγγεῖλαί σοι αἴνεσιν; Διὰ τοῦτο οἱ ζῶντες ζητοῦμέν σε· ἐκεῖνο ὃ πέφυκας, τοῦτο δεῖξον τοῖς δούλοις σου· ἐλεήμων, οἰκτίρμων εἶ, οἴκτειρον, ἐλέησον· [para]μὴ ποιήσῃς ἡμᾶς πῆμα τῶν ἐχθρῶν ἡμῶν, μὴ μισηθῶμεν ὡς Σοδομῖται, [para]μὴ γέλως ἐξαπίνης τοῖς ἐχθροῖς μου ἡ πόλις σου γένηται, ἀλλὰ ὡς ἐλεήμων νῦν πρόσδεξαι ἡμῶν τὴν μετάνοιαν.

book 10 Ἡ ναυαγοῦσα ὁλκὰς Νινευὴ καὶ πάσης τῆς ζωῆς ἀπελπίσασα, κράξον [para]καὶ αἴτησαι τὸν πάντων ῥύστην δεξιὰν ἐπιδοῦναί σοι· ὁ γὰρ σὲ κυβερνῶν οὐκ ἀκούομαι· πάντων γὰρ τὰ πταίσματα ἐν ἐμοὶ μόνῳ φαίνεται. Διὰ τοῦτο οὖν κραύγασον· τάχα τοῖς σοῖς πείθεται [para]καὶ τοῖς δάκρυσί σου μᾶλλον ἐπικάμπτεται· κλαῦσον, ὦ νύμφη, κλαύσατε, νέοι, [para]κλαύσατε,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νεανίσκος σὺν παρθένῳ, πρεσβῦται καὶ νήπια, [para]ἐνώπιον Κυρίου προσενέγκωμεν 〈ἡμῶν〉 τὴν μετάνοιαν.»

book 11 Νομοθετήσας τοιαῦτά ποτε ὁ πάνσοφος ὁμοῦ καὶ πανεύφημος ἄναξ [para]ὑπήκοον τὴν πόλιν πᾶσαν εὗρεν, ὥσπερ ἠθέλησε. Καὶ μαστῶν ὁ θηλάζων ἀπείχετο, παῖδες ἀσεβήσαντες ἡδονῶν ἀπετάξαντο, καὶ τὸν γάμον τὰ γύναια τίμιον ἡγήσαντο, [para]καὶ ἀμίαντον τὴν κοίτην διεφύλαξαν· πάντες οἱ νέοι ἅμα πρεσβύταις [para]εὐχαῖς, λιταῖς, νηστείαις, εὐποιΐαις τὸν νῶτον συνέκαμψαν, καὶ ταῦτα αὐτῶν πραξάντων προσεδέξατο ὁ Θεὸς τὴν μετάνοιαν.

book 12 Καὶ ἵνα γνῶμεν τὸ μεῖζον καλόν, οὐκ εἶπεν ἡ γραφὴ ὅτι ἤσκησαν μόνον, [para]οὐδ᾽ ἔφησεν ὅτι νηστείαις καὶ τῷ σάκκῳ ἐχρήσαντο, ἀλλὰ τί μετὰ ταῦτα ἐποίησαν· ἐβόησεν ἕκαστος ἐκτενῶς πρὸς τὸν Κύριον, πρὸς ἐκεῖνον 〈ὃν〉 ἔφυγον πάλιν ἐπανέλυσαν· [para]οὐ γὰρ εὗρον ἄλλον οὕτω σπλαγχνιζόμενον, μετανοοῦντα ἐπὶ κακίαις [para]καὶ ἀγαπῶντα σῴζειν καὶ φιλοῦντα λυτροῦσθαι καὶ ῥύεσθαι [para]καὶ σπεύδοντα οἰκτείρειν καὶ δεχόμενον 〈αὐτῶν〉 τὴν μετάνοιαν.

book 13 Ὑπὸ δὲ τούτων εὐθὺς Ἰωνᾶς τῇ λύπῃ ἑαυτὸν κατεμάρανε λέγων· [para]«Οὐκ ἔλεγον ὅτι οἰκτείρεις καὶ οὐ κτείνεις, φιλόψυχε· διὰ τοῦτο γὰρ φεύγειν ἐσπούδαζον, οὐχ ἵνα 〈μὴ〉 πέμψῃς με, ἀλλὰ ἵνα μὴ ψεύσωμαι· καὶ τὰ νῦν ἠθύμησα, οὐκ ἐπειδὴ ἔσωσας, [para]ἀλλ᾽ ἐζήτουν· «Ὡς τῶν πρώτων κήρυξ γέγονα, οὕτως καὶ τούτων ἀξιωθείην.» [para]Ἀλλ᾽ ἐγενόμην κήρυξ τῆς ὀργῆς σου καὶ οὐ τῆς ἀφέσεως·

book 13 ἐγὼ σκληρὸς οἰκέτης, σὺ δὲ πρᾶος καὶ φιλῶν τὴν μετάνοιαν.

book 14 Ῥανίδα μόνην τῶν σῶν οἰκτιρμῶν παράσχου μοι τὰ νῦν ὡς οἰκέτῃ σου· λάβε [para]τὸ πνεῦμα μου· καλὸν γάρ ἐστι τὸ θανεῖν ἢ τὸ ζῆσαί με.» Καὶ τοιαῦτα εἰπὼν ἐκαθεύδησε· τῇ λύπῃ γὰρ πάντοτε καὶ ὁ ὕπνος ἀκόλουθος. Ὁ δὲ μόνος ἀνύστακτος τότε τὸν κοιμώμενον [para]τῇ σκιᾷ τῆς κολοκύντης ἐπανέπαυσε, ταύτῃ σκεπάζων τὸν ἀθυμοῦντα [para]καὶ δι᾽ αὐτῆς διδάσκων τὸν προφήτην μισεῖν τὸ ἀπότομον [para]καὶ ἅπασι συμπάσχειν καὶ φιλεῖν τὴν μετάνοιαν.

book 15 Ἰδοὺ ὁ τύπος τοῦ νόμου σαφῶς ἐπὶ τῆς κολοκύντης γνωρίζεται ὄντως· [para]φυεῖσα γὰρ νυκτὸς ἐκείνη Ἰωνᾶν ὑπεσκίαζε· καὶ ὁ νόμος σκιάζων τὰ μέλλοντα νυκτὸς ἀνεβλάστησε τῷ Μωσεῖ ὑπονέφελα· ἡ δὲ χάρις ὡς ἥλιος ἄρτι ἀνατείλασα [para]ἐπεκάλυψε τὸν νόμον ὡς τὸ λάχανον. Ὅθεν ὁ κόσμος, ὡς ὁ προφήτης, [para]ἀφυπνισθεὶς κατεῖδεν ὅτι πᾶσαν τοῦ νόμου τὴν ἄγρωστιν ἐθέρισεν ἡ χάρις, καὶ ἐφύτευσεν ἡμῖν τὴν μετάνοιαν.

book 16 Ὁ μὲν προφήτης ποτὲ Ἰωνᾶς ἐχάρη κατιδὼν τὴν κολόκυνταν τότε, [para]καὶ ἄθροον ὡς ξηρανθεῖσαν θεωρήσας ἠθύμησεν. Ὁ δὲ πλάστης φησὶ πρὸς τὸν ὅσιον· «Εἰ σφόδρα λελύπησαι ὑπὲρ ἧς οὐκ ἐκοπίασας, εἰ τὸ ἄνθος σε ἔθλιψε, πόσῳ μᾶλλον ἄνθρωπος; [para]Εἰ τοῦ χόρτου ξηρανθέντος ὠλιγώρησας, μὴ οἰκτείρω πόλιν τὴν τοιαύτην [para]ἐν μέτρῳ δεκαδύο μυριάδας ἀνδρῶν πλήρης γέμουσαν; [para]Διὸ μεγαλοψύχει καὶ ἀγάπα σὺν ἡμῖν τὴν μετάνοιαν.»

book 17 Υἱὲ τοῦ μόνου καὶ μόνε Θεέ, ὁ θέλημα ποιῶν τῶν φιλούντων σε, ῥῦσαι [para]ὡς εὔσπλαγχνος ἐκ τῆς μελλούσης ἀπειλῆς, ἀναμάρτητε· ὥς ποτε Νινευήτας ᾠκτείρησας καὶ τῶν μυστηρίων σου Ἰωνᾶν κατηξίωσας, οὕτω νῦν τοὺς ὑμνοῦντάς σε λύτρωσαι τῆς κρίσεως, [para]καὶ ἐμοὶ μισθὸν τοῦ λόγου δὸς τὴν ἄφεσιν· λέγειν γὰρ οἶδα, πράττειν δ᾽ οὐκ οἶδα· [para]ἐπειδὴ οὖν οὐκ ἔχω ἔργα, σῶτερ, τῆς σῆς δόξης ἄξια, ἀλλ᾽ οὖν διὰ τοὺς λόγους ἐξελοῦ με φιλῶν τὴν μετάνοιαν.

book pro Ὅτι οὐκ ἔστιν ὡς σὺ ἐλεήμων ἔγνωμεν, Κύριε, ἀφ᾽ οὗ ἐτέχθης [para]καὶ υἱὸς ὠνομάσθης γυναικὸς ἧς ἐποίησας· [para]ἣν μακαρίζοντες καθ᾽ ἑκάστην βοῶμεν· [para]Χαῖρε νύμφη ἀνύμφευτε.

book 1

Τῷ ἀρχαγγέλῳ Γαβριὴλ δεῦτε καὶ συμπορευθῶμεν πρὸς τὴν παρθένον Μαρίαν, καὶ ταύτην ἀσπασώμεθα ὡς μητέρα καὶ τροφὸν τῆς ζωῆς ἡμῶν· [para]οὔτε γὰρ μόνῳ πρέπον τῷ στρατηγῷ τὴν βασιλίδα ἀσπάσασθαι, ἀλλὰ καὶ τοῖς ταπεινοῖς ἔξεστι ταύτην ἰδεῖν καὶ προφθέγξασθαι, ἣν ὡς μητέρα Θεοῦ αἱ γενεαὶ πᾶσαι μακαρίζουσαι βοῶσιν· «Χαῖρε ἀκήρατε, χαῖρε κόρη θεόκλητε, χαῖρε σεμνή, χαῖρε τερπνὴ καὶ καλή, χαῖρε εὔειδε, χαῖρε ἄσπορε, χαῖρε ἄφθορε, χαῖρε μῆτερ ἄνανδρε, χαῖρε νύμφη ἀνύμφευτε.»

book 2 Ὁ ἀρχιστράτηγός ποτε τῶν οὐρανίων ταγμάτων, σύνθεμα φιλανθρωπίας δεξάμενος, ἐπείγετο ἐμφανίσαι τῇ παρθένῳ, ὡς γέγραπται· [para]καὶ ἐλθὼν εἰς Ναζαρὲτ πρὸς τὴν σκηνὴν τοῦ Ἰωσήφ, ἐξεπλήττετο ὅτι πῶς ὁ ὑψηλὸς τοῖς ταπεινοῖς ἀγαπᾷ συνεπάγεσθαι. «Ὅλος, φησίν, ὁ οὐρανὸς καὶ ὁ πύρινος θρόνος οὐ χωρεῖ μου τὸν δεσπότην, καὶ ἡ εὐτελὴς αὕτη πῶς ὑποδέχεται; Ἄνω φρικτός, καὶ κάτω πῶς ὁρατός; Πάντως ὡς βούλεται· τί οὖν ἵσταμαι καὶ οὐχ ἵπταμαι καὶ τῇ κόρῃ φθέγγομαι·

book 2 Χαῖρε νύμφη ἀνύμφευτε;»

book 3 Ὑπὸ τὴν σκέπην τῆς σεμνῆς ταῦτα λαλήσας εἰσῆλθε τῶν οὐρανῶν ὁ οἰκήτωρ καὶ πρόσειπε τὴν ἄγαμον, λέγων· «Χαῖρε, μετὰ σοῦ ὁ Κύριος.» [para]Ἡ δὲ παῖς πρὸς τὴν μορφὴν τοῦ φαεινοῦ 〈τάχα〉 οὐδ’ ὅλως ἐθάρρησεν, ἀλλ’ εὐθὺς ἐπὶ τὴν γῆν ἔκλινε τὴν κεφαλήν, καὶ ἡσύχασε. Νοῦν δὲ συνῆψεν εἰς νοῦν καὶ φρένα εἰς φρένα συμβιβάζει 〈ἐκ〉 βοῶσα· «Τί ἐστι τοῦτο ὅπερ βλέπω; Τί σκέψομαι; Εἶδος πυρός, φωνὴν δὲ ἔχει ἀνδρὸς ὁ παριστάμενος, καὶ ταράττει με, 〈καὶ〉 θαρρύνει με ὅτι τοῦτο λέγει μοι·

book 3 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 4 Τοιαύτην ὕλην λογισμῶν τῆς Μαρίας στοιβαζούσης ἐν τῇ ἰδίᾳ καρδίᾳ, [para]ἐνέπνευσεν ὁ πύρινος καὶ ὡς χαίτην τὴν δειλίαν κατέκαυσε καί φησιν· «Ὦ φαεινή, μὴ πτοηθῇς· εὗρες γὰρ χάριν πρὸς Κύριον· [para]μὴ πτοοῦ τὸν λειτουργόν, τὸν πλαστουργὸν γὰρ 〈ἐγὼ〉 ἥκω φέρων σοι· μέλλεις γεννᾶν ὑϊόν, καὶ τί σε ταράττει [para]ἡ πυρίνη ἰδέα μου; Τίκτεις τὸν Κύριον· τί πτοεῖσαι τὸν σύνδουλον; [para]Τί δειλιᾷς ἐμὲ τὸν τρέμοντά σε διὰ τὰ μέλλοντα; [para]Ἃ πεπίστευμαι καὶ τεθάρρημαι, ταῦτα ἦλθον λέγων σοι·

book 4 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 5 Ἀλλ’ ὅτε τούτων τῶν λόγων ἤκουσεν ἡ παναγία, εἶπεν ἐν τῇ διανοίᾳ· [para]«Τὰ πρότερα ἤκουσα καὶ οὐ συνῆκα· καὶ πῶς μάθω τὰ ὕστερον; [para]Ἀσπασμὸν εἶπεν ἐμοὶ ὁ παρεστώς, καὶ οὐ νοῶ τὸ τελούμενον. Καὶ ἰδοὺ ἄλλο φρικτὸν ἐν τοῖς ὠσί μου 〈ἐκεῖνοσ〉 ἐπέθηκεν· εἶπε γὰρ ὅτι υἱὸν βαστάζεις καὶ τίκτεις, [para]καίτοι ἄνδρα οὐ γινώσκω· τάχα οὐκ ἔμαθεν οὗτος ὅτι ἐσφράγισμαι; [para]Ἆρα ἀγνοεῖ ὅτι παρθένος εἰμί; Ὄντως οὐ πείθομαι· [para]εἰ μὴ ἔμαθε καὶ κατέμαθεν, οὐκ ἂν ἦλθε λέγων μοι·

book 5 Χαῖρε νύμφη ἀνύμφευτε.

book 6 Πῶς ἔσται τοῦτο ὃ λαλεῖς; Φράσον μοι νῦν ὃ ὑπάρχεις· ἄγγελον ἢ ἄνθρωπον εἴπω; οὐράνιον ἢ γήϊνον; Δίδαξόν με καὶ ὃ εἶ καὶ ὃ εἴρηκας· [para]ἐὰν γὰρ φθάσω μαθεῖν τίς ὁ λαλῶν, πάντως νοῶ τὸ λαλούμενον· καὶ διὰ τοῦτο φράσον μοι πόθεν εἶ· ἄνωθεν ἦλθες ἢ κάτωθεν; Ἔλαβον θάρσος λοιπόν· πολλὴν παρρησίαν κεκτημένη συζητῶ σοι. Τοῦτο ὃ εἴρηκας ποῦ ἐρρέθη μὴ κρύψῃς μοι· ἐν οὐρανῷ ἐρρέθη τὸ κατ’ ἐμέ; Τί οὖν οὐ λέγεις μοι 〈ὅτι〉 ἄγγελος καὶ οὐκ ἄνθρωπος πέλεις σὺ ὁ λέγων μοι·

book 6 Χαῖρε νύμφη ἀνύμφευτε;»

book 7 Εὐθὺς ἀκούσας Γαβριὴλ τῶν τῆς παρθένου ῥημάτων, πρὸς ἑαυτὸν ἐταράχθη· οὐ μέντοι γε ἐλάλησε σκληρὸν ῥῆμα τῇ τικτούσῃ τὸν Κύριον, [para]ἀλλ’ αὐτὸς καθ’ ἑαυτὸν οὕτω φησίν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«Οὐδὲ ὧδε πιστεύομαι, ἀλλ’ ὡς πρὶν ἐν τῷ ναῷ νῦν ἐν τῷ οἴκῳ τῆς κόρης ἠπίστημαι· ἴσως ἐδίστασεν ἐκεῖ ὁ Ζαχαρίας, καὶ ἐνταῦθα ἡ Μαρία. Ὅμως οὐ δύναμαι, οὐ τολμῶ ἀποφήνασθαι· οὐχ ἱκανῶ ταύτης δεσμεῦσαι φωνὴν ὡς τὴν τοῦ γέροντος· τότε ἴσχυσα καὶ ἐφίμωσα, νῦν δὲ τρέμων φθέγγομαι·

book 7 Χαῖρε νύμφη ἀνύμφευτε.

book 8 Ἰδοὺ κωφὸς ὁ ἱερεὺς καὶ κυοφόρος ἡ στεῖρα, καὶ Μαρία ἀπιστεῖ μοι καὶ τίς εἰμι καὶ τί λαλῶ ἀπαιτεῖ με, καὶ μὴ θέλων ἀνέχομαι, [para]ἵνα μὴ ὁ ἐν αὐτῇ ἐπιδημῶν ἀγανακτῶν ἀπολέσῃ με ὥς ποτε ἀπ’ οὐρανῶν πταίσαντας ἀγγέλους εἰς ᾅδην ἔρριψεν. Στέργω οὖν ἐγκαρτερῶν καὶ τῇ συζητούσῃ τὴν ἀπόκρισιν δίδωμι. Πῶς ἔσται τοῦτο ὅπερ λέγω, ἀμώμητε; Πῶς τῷ λαῷ θάλασσα ὤφθη ξηρά, πάλιν δὲ θάλασσα; Οὕτως γίνεται καὶ ἡ μήτρα σου, ἵνα πᾶς τις λέξῃ σοι·

book 8 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 9 Νοῆσαι θέλουσα σαφῶς τὸ λαληθὲν ἡ ἁγία, πάλιν βοᾷ τῷ ἀγγέλῳ· «Τὴν θάλασσαν ἣν ἔφης μοι ὁ προφήτης ἐν τῇ ῥάβδῳ διέρρηξεν· [para]οὐδὲ γὰρ δίχα τινὸς τοῦ μεταξὺ τοῦτο τὸ θαῦμα ἐγένετο, ἀλλὰ ἦν πρῶτος Μωσῆς, ἔπειτα εὐχαὶ καὶ ῥάβδος μεσάζουσα. Νῦν 〈δὲ〉 εἰς μέσον οὐδέν, καὶ πῶς ἔσται 〈τοῦτο〉 ἐπεὶ ἄνδρα οὐ γινώσκω; Ἡ ἀναρότρευτος ἄρουρα, ἀγεώργητος δώσω καρπὸν μὴ δεξαμένη σπορὰν μηδὲ τὸν σπείραντα; Τοῦτο λέξον μοι, τοῦτο φράσον μοι, ὁ ἑστὼς καὶ λέγων μοι·

book 9 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 10 Ὁ ἐν ὑψίστοις θαρρηθεὶς τὸν ἀσπασμόν, οὐ τὸν τόκον, τῆς παναγίας Μαρίας, ὡς ἤκουσεν ὃ ἔφησεν ἡ παρθένος, πρὸς αὐτὴν ἀπεκρίνατο· [para]«Ἐπειδὴ ἔφης, σεμνή, μέσον τινὰ ἔχειν τὰ πάλαι γενόμενα, τὸ παρὸν μεῖζόν ἐστιν, ὅθεν οὐκ ἔστιν χρεία μεσιτεύοντος. Ἄγγελος πέλω ἐγώ, καὶ οὐκ ἐθαρρήθην μεσιτεῦσαι τὸ τοιοῦτον· πῶς οὖν ταλαίπωρος ἄνθρωπος μεσιτεύσει σοι; Ῥάβδος ποτὲ καὶ ὁ προφήτης Μωσῆς τύποι ἐγένοντο· νῦν ἀλήθεια ἐπιλάμψει σοι, ὅθεν ἦλθον λέγων σοι·

book 10 Χαῖρε νύμφη ἀνύμφευτε.

book 11 —Ὑψόθεν ἦλθες ἀληθῶς· σύγγνωθι, νῦν σε ἐπέγνων· φόβῳ γὰρ νῦν συνεσχέθην τοῦ κάλλους σου, τῆς θέας σου, τῆς φωνῆς σου, διαφόρως θροούντων με· [para]εἰ μὴ γὰρ ἄνωθεν ἦς, τὰ τῆς γραφῆς ῥήματα οὐ διερμήνευες, ἀλλ’ ὡς ὢν ἐκ τοῦ φωτὸς πάντα τὰ σκολιὰ 〈σὺ〉 ἐξωμάλισας. Γένοιτο οὖν τοῦτό μοι ὅπερ εἶπας ἄρτι· τὴν γὰρ ἀλήθειαν ἔχεις· γένοιτό μοι, ἄγγελε, γένοιτό μοι τὸ ῥῆμά σου· δούλη εἰμὶ τοῦ ἀποστείλαντός σε· φράσον ἃ βούλεται· καὶ οἰκήσει μοι καὶ τηρήσει με, ἵνα πᾶς τις λέξῃ μοι·

book 11 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 12 Ῥυθμῷ λαλήσας Γαβριὴλ καὶ ἀντακούσας εὐθέως τῶν τῆς παρθένου ῥημάτων, ἀνίπταται καὶ ἔφθασε τὸ πύρινον καὶ φαιδρὸν ἐνδιαίτημα. [para]Ἡ δὲ παῖς τότε ἴσως πρὸς ἑαυτὴν τὸν Ἰωσὴφ μετεπέμψατο καὶ φησί· «Ποῦ ἦς, σοφέ; Πῶς οὐκ ἐφύλαξας τὴν παρθενίαν μου; Ἦλθεν γάρ τις 〈πτερωτὸσ〉 καὶ ἔδωκε μνῆστρα, μαργαρίτας τοῖς ὠσί 〈μου·〉 οὗτος ἐνεῖρέ μοι λόγους ὥσπερ ἐνώτια· βλέπε, ἰδὲ πῶς ἐκαλλώπισέ με, τούτῳ ὡραΐσας με ὅ τι ἔφη μοι, ὅ τι λέξεις μοι μετ’ ὀλίγον, ὅσιε·

book 12 Χαῖρε νύμφη ἀνύμφευτε.»

book 13 Ὡς δὲ κατεῖδεν Ἰωσὴφ τὴν θεοκόσμητον κόρην μάλα κεχαριτωμένην, ἐτρόμασεν, ἐθαύμασεν, ἐθαμβήθη, καὶ εἰς νοῦν ἐλογίσατο· [para]«Ποταπὴ αὕτη; φησί· σήμερον γὰρ ὥσπερ 〈ἐ〉 χθὲς οὐχ ὁρᾶταί μοι· φοβερὰ καὶ γλυκηρὰ φαίνεται ἡ σὺν ἐμοί, καὶ συνέχει με· καύσωνι καὶ νιφετῷ

ἐγὼ ἐνατενίζω, παραδείσῳ καὶ καμίνῳ, ὄρει καπνίζοντι, θείῳ ἄνθει χλοάζοντι, θρόνῳ φρικτῷ, ὑποποδίῳ οἰκτρῷ τοῦ πανοικτίρμονος· ἥνπερ ἔλαβον οὐ κατέλαβον· πῶς οὖν ταύτῃ φθέγξομαι·

book 13 Χαῖρε νύμφη ἀνύμφευτε;»

book 14 Μεγάλη οὖν καὶ ταπεινή, δέσποινα ἅμα καὶ δούλη, φράσον μοι νῦν ὃ ὑπάρχεις· τί εἴπω σε; τί λέξω σοι; πῶς ὑμνήσω, πῶς αἰνέσω τὸ κάλλος σου; [para]Ἀληθῶς τοῦτό ἐστιν ὅπερ ἡμῖν ἔφησε τὸ εὐαγγέλιον· ὁ Ἰωσὴφ ἕως καιροῦ τὴν σὺν αὐτῷ Μαρίαν οὐκ ἐγίνωσκεν, ἕως οὗ ἔτεκε σαφῶς τὸν τοῦ Θεοῦ λόγον· ὅπερ ἦν καὶ ἐδηλώθη ἕως οὗ ἔτεκεν, ἀλλὰ οὐδὲ μετέπειτα· ἔμεινε γὰρ κεκαλυμμένη αὐτὴ καὶ ὃν ἔτεκεν, καὶ οὔτε ἔγνωσται, οὔτε γνωσθήσεται ᾗ δικαίως λέξομεν·

book 14 Χαῖρε νύμφη ἀνύμφευτε.

book 15 Αὐτὸς οὖν οὗτος ὁ Ἰωσὴφ ποτὲ μὴ γνοὺς τὴν παρθένον πρὸς τὴν αὐτῆς εὐδοξίαν ἱστάμενος ἐξίστατο, καὶ ἀτενίζων τῷ φωτὶ τῆς μορφῆς αὐτῆς [para]ἔφησεν· «Ὦ φαεινή, φλόγα ὁρῶ καὶ ἀνθρακιὰν κυκλοῦσάν σε· διὰ τοῦτο, Μαριάμ, πλήττομαι· φύλαξόν με καὶ μὴ φλέξῃς με· κλίβανος πλήρης πυρὸς ἐγένετο ἄφνω ἡ 〈παν〉 ἄμεμπτος γαστήρ σου. Μὴ οὖν χωνεύσῃ με, δέομαι, ἀλλὰ φεῖσαί μου· θέλεις κἀγὼ λύσω, ὡς πάλαι Μωσῆς, τὰ ὑποδήματα, καὶ ἐγγίσω σοι, καὶ ἀκούσω σου, καὶ μαθὼν λαλήσω σοι·

book 15 Χαῖρε νύμφη ἀνύμφευτε;»

book 16 «Νῦν προσεγγίσαι μοι ζητεῖς καὶ διδαχθῆναι ὃ πέλω», τῷ Ἰωσὴφ 〈εἶπε〉 Μαρία. «Προσέγγισον καὶ ἄκουσον ὃ ὑπάρχω καὶ εἰμὶ ὅπερ βλέπεις μοι· [para]πτερωτὸς ὤφθη μοί τις οὗ ἡ μορφὴ ὅλον τὸν θάλαμον ἔπλησε καὶ ἐμὲ ἅμα αὐτῷ· τῶν γὰρ θυρῶν κεκλεισμένων ἐπέστη μοι, ἔλεξεν οὕτως ἐμοί· Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος. Ὅτε δὲ ἤκουσα τοῦ Κυρίου τὸ ὄνομα, τότε μικρὸν λαβοῦσα παραψυχὴν ἴδον ᾧ ἔβλεπον φαεινόμορφον, φλόγινον ὅλον, δροσινὰ λαλοῦντά μοι·

book 16 Χαῖρε νύμφη ἀνύμφευτε.

book 17 Ὁ οὖν τοιοῦτος ἀσπασμὸς ἠχηθεὶς τοῖς ὠσί μου πλήρης, φαεινὴν ἀπαρτίσας, ἐγκύμονα ἀπέδειξεν· τοῦ ἐμβρύου οὖν οὐκ οἶδα τὴν σύλληψιν, [para]καὶ ἰδοὺ κυοφορῶ καί, ὡς ὁρᾷς, ἄθικτος ἡ παρθενία μου· οὔτε γὰρ 〈σὺ〉 ἔγνως με· τίς τούτων μάρτυς ἢ σὺ ὁ φυλάττων με; Δὸς οὖν ὑπὲρ ἐμοῦ τὴν ἀπολογίαν ἵνα εὕρῃς ἀνάπαυσιν.» Τοῦτο ὡς ἤκουσεν Ἰωσὴφ ἀνεκραύγασε· «Τοῦτο ἐγὼ μαρτυρῶ ὄντως σαφῶς· ὅμως δὲ ἄκουσον· τίς πιστεύσει μοι ὅτι ἄνωθεν 〈ἦλθεν〉 ὁ βοήσας σοι·

book 17 Χαῖρε νύμφη ἀνύμφευτε;

book 18 Υἱοὶ λοιμοὶ καὶ πονηροὶ οἱ ἱερεῖς τοῦ λαοῦ σου, τοῦτο δὲ οἶδας· πρὶν εἴπω καὶ ἐμοὶ ἀπιστήσονται ὅτι δίχα συναφείας συνέλαβες· παρ' ἐμοὶ δῆλόν ἐστιν ὅτι 〈τὸ φῶσ〉 λάμπει τὸ τῆς παρθενίας σου, [para]παρὰ δὲ τοῖς σκοτεινοῖς ἔσβεσται ὡς ἀναξίοις τοῦ γνῶναί σε. Τοῦτο οὖν ἔσται καλόν, νομίζω, παρθένε, ἀπολῦσαί σε λαθραίως· θέλω δικαίως μὴ παραδειγματίσαι σε· στέργω γὰρ σὲ καὶ τὸν λαὸν δειλιῶ· ὅθεν οὗ ἐκπέμπω σε δυνατός ἐστιν ἀθῳῶσαί με θέλων, καὶ λαλήσω σοι·

book 18 Χαῖρε νύμφη ἀνύμφευτε.»

book pro Ἡ παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ σπήλαιον τῷ ἀπροσίτῳ προσάγει· [para]ἄγγελοι μετὰ ποιμένων δοξολογοῦσι, μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ ἐγεννήθη [para]παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 1 Τὴν Ἐδὲμ Βηθλεὲμ ἤνοιξε, δεῦτε ἴδωμεν· [para]τὴν τρυφὴν ἐν κρυφῇ ηὕραμεν, δεῦτε λάβωμεν [para]τὰ τοῦ παραδείσου ἐντὸς τοῦ σπηλαίου· ἐκεῖ ἐφάνη ῥίζα ἀπότιστος βλαστάνουσα ἄφεσιν, ἐκεῖ ηὑρέθη φρέαρ ἀνόρυκτον, [para]οὗ πιεῖν Δαυὶδ πρὶν ἐπεθύμησεν· ἐκεῖ παρθένος τεκοῦσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βρέφος [para]τὴν δίψαν ἔπαυσεν εὐθὺς τὴν τοῦ Ἀδὰμ καὶ τοῦ Δαυίδ· διὰ τοῦτο πρὸς τοῦτο ἐπειχθῶμεν ποῦ ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 2 Ὁ πατὴρ τῆς μητρὸς γνώμῃ υἱὸς ἐγένετο, [para]ὁ σωτὴρ τῶν βρεφῶν βρέφος ἐν φάτνῃ ἔκειτο· [para]ὃν κατανοοῦσα φησὶν ἡ τεκοῦσα· «Εἰπέ μοι, τέκνον, πῶς ἐνεσπάρης μοι ἢ πῶς ἐνεφύης μοι· ὁρῶ σε, σπλάγχνον, καὶ καταπλήττομαι, [para]ὅτι γαλουχῶ καὶ οὐ νενύμφευμαι· καὶ σὲ μὲν βλέπω μετὰ σπαργάνων, [para]τὴν παρθενίαν δὲ ἀκμὴν ἐσφραγισμένην θεωρῶ· σὺ γὰρ ταύτην φυλάξας ἐγεννήθης εὐδοκήσας παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 3 Ὑψηλὲ βασιλεῦ, τί σοι καὶ τοῖς πτωχεύσασι; Ποιητὰ οὐρανοῦ, τί πρὸς γηΐνους ἤλυθας; Σπηλαίου ἠράσθης ἢ φάτνῃ ἐτέρφθης; [para]Ἰδοὺ οὐκ ἔστι τόπος τῇ δούλῃ σου ἐν τῷ καταλύματι· οὐ λέγω τόπον, ἀλλ’ οὐδὲ σπήλαιον, [para]ὅτι καὶ αὐτὸ τοῦτο ἀλλότριον· καὶ τῇ μὲν Σάρρᾳ τεκούσῃ βρέφος [para]ἐδόθη κλῆρος γῆς πολλῆς, ἐμοὶ δὲ οὐδὲ φωλεός· ἐχρησάμην τὸ ἄντρον ὃ κατῴκησας βουλήσει, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 4 Τὰ τοιαῦτα ῥητὰ ἐν ἀπορρήτῳ λέγουσα καὶ τὸν τῶν ἀφανῶν γνώστην καθικετεύουσα, ἀκούει τῶν μάγων τὸ βρέφος ζητούντων· [para]εὐθὺς δὲ τούτοις· «Τίνες ὑπάρχετε;» ἡ κόρη ἐβόησεν· οἱ δὲ πρὸς ταύτην· «Σὺ γὰρ τίς πέφυκας, [para]ὅτι τὸν τοιοῦτον ἀπεκύησας; Τίς ὁ πατήρ σου, τίς ἡ τεκοῦσα, [para]ὅτι ἀπάτορος υἱοῦ ἐγένου μήτηρ καὶ τροφός; Οὗ τὸ ἄστρον ἰδόντες συνήκαμεν ὅτι ὤφθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 5 Ἀκριβῶς γὰρ ἡμῖν ὁ Βαλαὰμ παρέθετο τῶν ῥημάτων τὸν νοῦν ὧνπερ προεμαντεύσατο, εἰπὼν ὅτι μέλλει ἀστὴρ ἀνατέλλειν, [para]ἀστὴρ σβεννύων πάντα μαντεύματα καὶ τὰ οἰωνίσματα· ἀστὴρ ἐκλύων παραβολὰς σοφῶν, [para]ῥήσεις τε αὐτῶν καὶ τὰ αἰνίγματα· ἀστὴρ ἀστέρος τοῦ φαινομένου [para]ὑπερφαιδρότερος πολύ, ὡς πάντων ἄστρων ποιητής, περὶ οὗ προεγράφη· ἐξ Ἰακὼβ ἀνατέλλει παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 6 Παραδόξων ῥητῶν ἡ Μαριὰμ ὡς ἤκουσε, τῷ ἐκ σπλάγχνων αὐτῆς κύψασα προσεκύνησε καὶ κλαίουσα εἶπε· «Μεγάλα μοι, τέκνον, [para]μεγάλα πάντα ὅσα ἐποίησας μετὰ τῆς πτωχείας μου· ἰδοὺ γὰρ μάγοι ἔξω ζητοῦσί σε· [para]τῶν ἀνατολῶν οἱ βασιλεύοντες τὸ πρόσωπόν σου ἐπιζητοῦσι, [para]καὶ λιτανεύουσιν ἰδεῖν οἱ πλούσιοι τοῦ σοῦ λαοῦ· ὁ λαός σου γὰρ ὄντως εἰσὶν οὗτοι οἷς ἐγνώσθης, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 7 Ἐπειδὴ οὖν λαὸς σός ἐστι, τέκνον, κέλευσον ὑπὸ σκέπην τὴν σὴν γένωνται, ἵνα ἴδωσι πενίαν πλουσίαν, πτωχείαν τιμίαν· [para]αὐτόν σε δόξαν ἔχω καὶ καύχημα· διὸ οὐκ αἰσχύνομαι· αὐτὸς εἶ χάρις καὶ ἡ εὐπρέπεια [para]τῆς σκηνῆς κἀμοῦ· νεῦσον εἰσέλθωσιν· οὐδέν μοι μέλει τῆς εὐτελείας· ὡς θησαυρὸν γὰρ σὲ κρατῶ, ὃν βασιλεῖς ἦλθον ἰδεῖν, βασιλέων καὶ μάγων ἐγνωκότων ὅτι ὤφθης, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 8 Ἰησοῦς ὁ Χριστὸς ὄντως τε καὶ Θεὸς ἡμῶν τῶν φρενῶν ἀφανῶς ἥψατο τῆς μητρὸς αὐτοῦ, «Εἰσάγαγε, λέγων, οὓς ἤγαγον λόγῳ· [para]ἐμὸς γὰρ λόγος οὗτος ὃς ἔλαμψε τοῖς ἐπιζητοῦσί με· ἀστὴρ μέν ἐστιν πρὸς τὸ φαινόμενον, [para]δύναμις δέ τις πρὸς τὸ νοούμενον· συνῆλθε μάγοις ὡς λειτουργῶν μοι, [para]καὶ ἔτι ἵσταται πληρῶν τὴν διακονίαν αὐτοῦ καὶ ἀκτῖσι δεικνύων τὸν τόπον ὅπου ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 9 Νῦν οὖν δέξαι, σεμνή, δέξαι τοὺς δεξαμένους με· ἐν αὐτοῖς γὰρ εἰμὶ ὥσπερ ἐν ταῖς ἀγκάλαις σου· καὶ σοῦ οὐκ ἀπέστην κἀκείνοις συνῆλθον.» Ἡ δὲ ἀνοίγει θύραν καὶ δέχεται τῶν μάγων τὸ σύστημα· ἀνοίγει θύραν ἡ ἀπαράνοικτος [para]πύλη, ἣν Χριστὸς μόνος διώδευσεν· ἀνοίγει θύραν ἡ ἀνοιχθεῖσα [para]καὶ μὴ κλαπεῖσα μηδαμῶς τὸν τῆς ἁγνείας θησαυρόν· αὐτὴ ἤνοιξε θύραν, ἀφ’ ἧς ἐγεννήθη θύρα, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 10 Οἱ δὲ μάγοι εὐθὺς ὥρμησαν εἰς τὸν θάλαμον, [para]καὶ ἰδόντες Χριστὸν ἔφριξαν, ὅτι εἶδοσαν [para]τὴν τούτου μητέρα, τὸν ταύτης μνηστῆρα, καὶ φόβῳ εἶπον· «Οὗτος υἱός ἐστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγενεαλόγητος; Καὶ πῶς, παρθένε, τὸν μνηστευσάμενον [para]βλέπομεν ἀκμὴν ἔνδον τοῦ οἴκου σου; Οὐκ ἔσχε μῶμον ἡ κύησις σου· [para]μὴ ἡ κατοίκησις ψεχθῇ συνόντος σοι τοῦ Ἰωσήφ· [para]πλῆθος ἔχεις φθονούντων ἐρευνώντων ποῦ ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 11 —Ὑπομνήσω ὑμᾶς, μάγοις Μαρία ἔφησε, τίνος χάριν κρατῶ τὸν Ἰωσὴφ ἐν οἴκῳ μου· εἰς ἔλεγχον πάντων τῶν καταλαλούντων· αὐτὸς γὰρ λέξει ἅπερ ἀκήκοε περὶ τοῦ παιδίου μου· ὑπνῶν γὰρ εἶδεν ἄγγελον ἅγιον [para]λέγοντα αὐτῷ πόθεν συνέλαβον· πυρίνη θέα τὸν ἀκανθώδη [para]ἐπληροφόρησε νυκτὸς περὶ τῶν λυπούντων αὐτόν· δι' αὐτὸ σύνεστί μοι Ἰωσὴφ δηλῶν ὡς ἔστι παιδίον νέον ὁ πρὸ αἰώνων Θεός.

book 12 Ῥητορεύει σαφῶς ἅπαντα ἅπερ ἤκουσεν· ἀπαγγέλλει τρανῶς ὅσα αὐτὸς ἑώρακεν ἐν τοῖς οὐρανίοις καὶ τοῖς ἐπιγείοις· [para]τὰ τῶν ποιμένων, πῶς συνανύμνησαν πηλίνοις οἱ πύρινοι· ὑμῶν τῶν μάγων, ὅτι προέδραμεν [para]ἄστρον φωταυγοῦν καὶ ὁδηγοῦν ὑμᾶς· διὸ ἀφέντες τὰ προρρηθέντα, [para]ἐκδιηγήσασθε ἡμῖν τὰ νῦν γενόμενα ὑμῖν, πόθεν ἥκατε, πῶς δὲ συνήκατε ὅτι ὤφθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 13 Ὡς δὲ ταῦτα αὐτοῖς ἡ φαεινὴ ἐλάλησεν, οἱ τῆς ἀνατολῆς λύχνοι πρὸς ταύτην ἔφησαν· «Μαθεῖν θέλεις πόθεν ἠλύθαμεν ὧδε; [para]Ἐκ γῆς Χαλδαίων, ὅθεν οὐ λέγουσι· θεὸς θεῶν κύριος, ἐκ Βαβυλῶνος, ὅπου οὐκ οἴδασιν [para]τίς ὁ ποιητὴς τούτων ὧν σέβουσιν· ἐκεῖθεν ἦλθε καὶ ἦρεν ἡμᾶς [para]ὁ τοῦ παιδίου σου σπινθὴρ ἐκ τοῦ πυρὸς τοῦ περσικοῦ· πῦρ παμφάγον λιπόντες, πῦρ δροσίζον θεωροῦμεν, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

book 14 Ματαιότης ἐστὶ ματαιοτήτων ἅπαντα, ἀλλ' οὐδεὶς ἐν ἡμῖν ταῦτα φρονῶν εὑρίσκεται· οἱ μὲν γὰρ πλανῶσιν, οἱ δὲ καὶ πλανῶνται· [para]διό, παρθένε, χάρις τῷ τόκῳ σου δι' οὗ ἐλυτρώθημεν οὐ μόνον πλάνης, ἀλλὰ καὶ θλίψεως [para]τῶν χωρῶν πασῶν ὧνπερ διήλθομεν, ἐθνῶν ἀσήμων, γλωσσῶν ἀγνώστων, [para]περιερχόμενοι τὴν γῆν καὶ ἐξερευνῶντες αὐτὴν μετὰ λύχνου τοῦ ἄστρου, ἐκζητοῦντες ποῦ ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 15 Ἀλλ' ὡς ἔτι αὐτὸν τοῦτον τὸν λύχνον εἴχομεν, τὴν Ἰερουσαλὴμ πᾶσαν περιωδεύσαμεν, πληροῦντες εἰκότως τὰ τῆς προφητείας· [para]ἠκούσαμεν γὰρ ὅτι ἠπείλησε Θεὸς ἐρευνᾶν αὐτήν· καὶ μετὰ λύχνου περιηρχόμεθα, [para]θέλοντες εὑρεῖν μέγα δικαίωμα· ἀλλ' οὐχ εὑρέθη, ὅτι ἐπήρθη [para]ἡ κιβωτὸς αὐτῆς μεθ' ὧν συνεῖχε πρότερον καλῶν· τὰ ἀρχαῖα παρῆλθεν, ἀνεκαίνισε γὰρ πάντα παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 16 —Ναί, φησί, τοῖς πιστοῖς μάγοις Μαρία ἔφησε, τὴν Ἰερουσαλὴμ πᾶσαν περιωδεύσατε, τὴν πόλιν ἐκείνην τὴν προφητοκτόνον; [para]Καὶ πῶς ἀλύπως ταύτην διήλθετε τὴν πᾶσι βασκαίνουσαν; Ἡρώδην πάλιν πῶς διελάθετε [para]τὸν ἀντὶ θεσμῶν φόνων ἐμπνέοντα;» Οἱ δὲ πρὸς ταύτην φησί· «Παρθένε, οὐ διελάθομεν αὐτόν, ἀλλ' ἐνεπαίξαμεν αὐτῷ· συνετύχομεν πᾶσιν ἐρωτῶντες ποῦ ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 17 Ὅτε ταῦτα αὐτῶν ἡ Θεοτόκος ἤκουσεν, τότε εἶπεν αὐτοῖς· «Τί ὑμᾶς ἐπηρώτησεν Ἡρώδης ὁ ἄναξ καὶ οἱ Φαρισαῖοι; [para]—Ἡρώδης πρῶτον, εἶτα, ὡς ἔφησας, οἱ πρῶτοι τοῦ ἔθνους σου τὸν χρόνον τούτου τοῦ φαινομένου νῦν [para]ἄστρου παρ' ἡμῶν ἐξηκριβώσαντο· καὶ ἐπιγνόντες ὡς μὴ μαθόντες [para]οὐκ ἐπεθύμησαν ἰδεῖν ὃν ἐξηρεύνησαν μαθεῖν, ὅτι τοῖς ἐρευνῶσιν ὀφείλει θεωρηθῆναι παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 18 Ὑπενόουν ἡμᾶς ἄφρονας οἱ ἀνόητοι καὶ ἠρώτων, φησί· Πόθεν καὶ πότε ἥκατε; πῶς μὴ φαινομένας ὡδεύσατε τρίβους; Ἡμεῖς δὲ τούτοις ὅπερ ἠπίσταντο ἀντεπηρωτήσαμεν· Ὑμεῖς τὸ πάρος πῶς διωδεύσατε ἔρημον πολλὴν ἥνπερ διήλθετε; Ὁ ὁδηγήσας τοὺς ἀπ' Αἰγύπτου [para]αὐτὸς ὡδήγησε καὶ νῦν τοὺς ἐκ Χαλδαίων πρὸς αὐτόν, τότε στύλῳ πυρίνῳ, νῦν δὲ ἀστέρι δηλοῦντι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

book 19 [Ὁ ἀστὴρ πανταχοῦ ἦν ἡμῶν προηγούμενος ὡς ὑμῖν ὁ Μωσῆς ῥάβδον ἐπιφερόμενος, τὸ φῶς περιλάμπων τῆς θεογνωσίας· [para]ὑμᾶς τὸ μάννα πάλαι διέθρεψε καὶ πέτρα ἐπότισεν· ἡμᾶς ἐλπὶς ἡ τούτου ἐνέπλησε· [para]τῇ τούτου χαρᾷ διατρεφόμενοι, οὐκ ἐν Περσίδι ἀναποδίσαι [para]διὰ τὸν ἄβατον ὁδὸν ὁδεύειν ἔσχομεν ἐν νῷ, θεωρῆσαι ποθοῦντες, προσκυνῆσαι καὶ δοξάσαι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.»]

book 20 Ὑπὸ τῶν ἀπλανῶν μάγων ταῦτα ἐλέγετο· ὑπὸ δὲ τῆς σεμνῆς πάντα ἐπεσφραγίζετο, κυροῦντος τοῦ βρέφους τὰ τῶν ἀμφοτέρων, [para]τῆς μὲν ποιοῦντος μετὰ τὴν κύησιν τὴν μήτραν ἀμίαντον, τῶν δὲ δεικνύντος μετὰ τὴν ἔλευσιν ἄμοχθον τὸν νοῦν ὥσπερ τὰ βήματα· οὐδεὶς γὰρ τούτων ὑπέστη κόπον, [para]ὡς οὐκ ἐμόχθησεν ἐλθὼν ὁ Ἀμβακοὺμ πρὸς Δανιήλ· ὁ φανεὶς γὰρ προφήταις ὁ αὐτὸς ἐφάνη μάγοις παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 21 Μετὰ ταῦτα αὐτῶν πάντα τὰ διηγήματα, δῶρα ἦραν χερσὶν μάγοι καὶ προσεκύνησαν τῷ δώρῳ τῶν δώρων, τῷ μύρῳ τῶν μύρων· [para]χρυσὸν καὶ σμύρναν εἶτα καὶ λίβανον Χριστῷ προσεκόμισαν, βοῶντες· «Δέξαι δώρημα τρίϋλον, [para]ὡς τῶν Σεραφὶμ ὕμνον τρισάγιον· μὴ ἀποστρέψῃς ὡς τὰ τοῦ Κάϊν, [para]ἀλλ' ἐναγκάλισαι αὐτὰ ὡς τὴν τοῦ Ἄβελ προσφοράν, διὰ τῆς σε τεκούσης, δι' ἧς ἡμῖν ἐγεννήθης, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book 22 Νέα νῦν καὶ φαιδρὰ βλέπουσα ἡ ἀμώμητος μάγους δῶρα χερσὶ φέροντας καὶ προσπίπτοντας, ἀστέρα δηλοῦντα, ποιμένας ὑμνοῦντας, [para]τὸν πάντων τούτων κτίστην καὶ κύριον ἱκέτευε λέγουσα· «Τριάδα δώρων, τέκνον, δεξάμενος, τρεῖς αἰτήσεις δὸς τῇ γεννησάσῃ σε· ὑπὲρ ἀέρων παρακαλῶ σε [para]καὶ ὑπὲρ τῶν καρπῶν τῆς γῆς καὶ τῶν οἰκούντων ἐν αὐτῇ· διαλλάγηθι πᾶσι, δι' ἐμοῦ ὅτι ἐτέχθης, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 23 Οὐχ ἁπλῶς γάρ εἰμι μήτηρ σου, σῶτερ εὔσπλαγχνε· οὐκ εἰκῇ γαλουχῶ τὸν χορηγὸν τοῦ γάλακτος, ἀλλὰ ὑπὲρ πάντων ἐγὼ δυσωπῶ σε· [para]ἐποίησάς με ὅλου τοῦ γένους μου καὶ στόμα καὶ καύχημα· ἐμὲ γὰρ ἔχει ἡ οἰκουμένη σου [para]σκέπην κραταιάν, τεῖχος καὶ στήριγμα· ἐμὲ ὁρῶσιν οἱ ἐκβληθέντες [para]τοῦ παραδείσου τῆς τρυφῆς, ὅτι ἐπιστρέφω αὐτούς· λάβῃ αἴσθησιν πάντα δι' ἐμοῦ ὅτι ἐτέχθης, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

book 24 Σῶσον κόσμον, σωτήρ· τούτου γὰρ χάριν ἤλυθας· στῆσον πάντα τὰ σά· τούτου γὰρ χάριν ἔλαμψας ἐμοὶ καὶ τοῖς μάγοις καὶ πάσῃ τῇ κτίσει· [para]ἰδοὺ γὰρ μάγοι οἷς ἐνεφάνισας τὸ φῶς τοῦ προσώπου σου, προσπίπτοντές σοι δῶρα προσφέρουσι [para]χρήσιμα, καλά, λίαν ζητούμενα· αὐτῶν γὰρ χρῄζω, ἐπειδὴ μέλλω [para]ἐπὶ τὴν Αἴγυπτον μολεῖν καὶ φεύγειν σὺν σοὶ διὰ σέ, ὁδηγέ μου, υἱέ μου, ποιητά μου, πλουτιστά μου, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

book pro Ὁ πρὸ ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς ἐπὶ γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ· [para]ὅθεν ἀστὴρ εὐαγγελίζεται μάγοις, ἄγγελοι δὲ μετὰ ποιμένων ὑμνοῦσι τὸν ἄσπορον τόκον σου, ἡ κεχαριτωμένη.

book 1 Τὸν ἀγεώργητον βότρυν βλαστήσασα ἡ ἄμπελος ὡς ἐπὶ κλάδων ἀγκάλαις ἐβάσταζε καὶ ἔλεγεν· [para]«Σὺ καρπός μου, σὺ ζωή μου, 〈σὺ〉 ἀφ' οὗ ἔγνων ὅτι καὶ ὃ ἤμην εἰμί, σύ μου Θεός, τὴν σφραγῖδα τῆς παρθενίας μου ὁρῶσα ἀκατάλυτον, κηρύττω σε ἄτρεπτον Λόγον σάρκα γενόμενον. Οὐκ οἶδα σποράν, οἶδά σε λύτην τῆς φθορᾶς· ἁγνὴ γάρ εἰμι, σοῦ προελθόντος ἐξ ἐμοῦ· [para]ὡς γὰρ εὗρες ἔλιπες μήτραν ἐμήν, φυλάξας σώαν αὐτήν· διὰ τοῦτο συγχορεύει πᾶσα κτίσις βοῶσά μοι· Ἡ κεχαριτωμένη.

book 2 Οὐκ ἀθετῶ σου τὴν χάριν ἧς ἔχω πεῖραν, δέσποτα· οὐκ ἀμαυρῶ τὴν ἀξίαν ἧς ἔτυχον τεκοῦσά σε· [para]τοῦ γὰρ κόσμου βασιλεύω· ἐπειδὴ κράτος τὸ σὸν ἐβάστασα γαστρί, πάντων κρατῶ· μετεποίησας τὴν πτωχείαν μου τῇ συγκαταβάσει σου, σαυτὸν ἐταπείνωσας καὶ τὸ γένος μου ὕψωσας. Εὐφράνθητέ μοι νῦν ἅμα, γῆ καὶ οὐρανός· τὸν γὰρ ποιητὴν ὑμῶν βαστάζω ἐν χερσί·

[para]γηγενεῖς, ἀπόθεσθε τὰ λυπηρά, θεώμενοι τὴν χαρὰν ἣν ἐβλάστησα ἐκ κόλπων ἀμιάντων, καὶ ἤκουσα· Ἡ κεχαριτωμένη.»

book 3 Ὑμνολογούσης δὲ τότε Μαρίας ὃν ἐγέννησε, κολακευούσης δὲ βρέφος ὃ μόνη ἀπεκύησεν, [para]ἤκουσεν ἡ ἐν ὀδύναις τεκοῦσα τέκνα, καὶ γηθομένη τῷ Ἀδὰμ Εὔα βοᾷ· «Τίς ἐν τοῖς ὠσί μου νῦν ἤχησεν ἐκεῖνο ὃ ἤλπιζον; Παρθένον τὴν τίκτουσαν τῆς κατάρας τὴν λύτρωσιν, ἧς μόνη φωνὴ ἔλυσέ μου τὰ δυσχερῆ καὶ ταύτης γονὴ ἔτρωσε τὸν τρώσαντά με· [para]ταύτην ἣν προέγραψεν υἱὸς Ἀμώς, ἡ ῥάβδος τοῦ Ἰεσσαὶ ἡ βλαστήσασά μοι κλάδον οὗ φαγοῦσα οὐ θνήξομαι, ἡ κεχαριτωμένη.

book 4 Τῆς χελιδόνος ἀκούσας κατ᾽ ὄρθρον κελαδούσης μοι, τὸν ἰσοθάνατον ὕπνον, Ἀδάμ, ἀφεὶς ἀνάστηθι· [para]ἄκουσόν μου τῆς συζύγου· ἐγὼ ἡ πάλαι πτῶμα προξενήσασα βροτοῖς νῦν ἀνιστῶ. Κατανόησον τὰ θαυμάσια, ἰδὲ τὴν ἀπείρανδρον διὰ τοῦ γεννήματος ἰωμένην τοῦ τραύματος· ἐμὲ γάρ ποτε εἷλεν ὁ ὄφις καὶ σκιρτᾷ, ἀλλ᾽ ἄρτι ὁρῶν τοὺς ἐξ ἡμῶν φεύγει συρτῶς· [para]κατ᾽ ἐμοῦ μὲν ὕψωσε τὴν κεφαλήν, νυνὶ δὲ ταπεινωθεὶς κολακεύει, οὐ χλευάζει, δειλιῶν ὃν ἐγέννησεν ἡ κεχαριτωμένη.»

book 5 Ἀδὰμ ἀκούσας τοὺς λόγους οὓς ὕφανεν ἡ σύζυγος, ἐκ τῶν βλεφάρων τὸ βάρος εὐθέως ἀποθέμενος [para]ἀνανεύει ὡς ἐξ ὕπνου καὶ οὖς ἀνοίξας ὃ ἔφραξε παρακοὴ οὕτως βοᾷ· «Γλυκεροῦ ἀκούω κελαδήματος, τερπνοῦ μινυρίσματος, ἀλλὰ τοῦ μελίζοντος νῦν ὁ φθόγγος οὐ τέρπει με· γυνὴ γάρ ἐστιν, ἧς καὶ φοβοῦμαι τὴν φωνήν· ἐν πείρᾳ εἰμί, ὅθεν τὸ θῆλυ δειλιῶ· [para]ὁ μὲν ἦχος θέλγει με ὡς λιγυρός, τὸ ὄργανον δὲ δονεῖ μὴ ὡς πάλαι με πλανήσῃ ἐπιφέρουσα ὄνειδος ἡ κεχαριτωμένη.

book 6 —Πληροφορήθητι, ἄνερ, τοῖς λόγοις τῆς συζύγου σου· οὐ γὰρ εὑρήσεις με πάλιν πικρά σοι συμβουλεύουσαν· [para]τὰ ἀρχαῖα γὰρ παρῆλθε καὶ νέα πάντα δείκνυσιν ὁ τῆς Μαριὰμ γόνος Χριστός. Τούτου τῆς νοτίδος ὀσφράνθητι καὶ εὐθέως ἐξάνθησον, ὡς στάχυς ὀρθώθητι· τὸ γὰρ ἔαρ σε ἔφθασεν, Ἰησοῦς Χριστὸς πνέει ὡς αὔρα γλυκερά· τὸν καύσωνα ᾧ ἧς ἀποφυγὼν τὸν αὐστηρόν, [para]δεῦρο ἀκολούθει μοι πρὸς Μαριάμ, καὶ αὐτῆς πρὸ τῶν ποδῶν ἐρριμένους θεωροῦσα εὐθέως σπλαγχνισθήσεται ἡ κεχαριτωμένη.

book 7 —Ἔγνων, ὦ γύναι, τὸ ἔαρ καὶ τῆς τρυφῆς ὀσφραίνομαι ἧς ἐξεπέσαμεν πάλαι· καὶ γὰρ ὁρῶ παράδεισον [para]νέον, ἄλλον, τὴν παρθένον φέρουσαν κόλποις αὐτὸ τὸ ξύλον τῆς ζωῆς ὅπερ ποτὲ Χερουβὶμ ἐτήρει τὸ ἅγιον πρὸς τὸ μὴ ψαῦσαι 〈ἐ〉μέ· τοῦτο τοίνυν ἄψαυστον ἐγὼ βλέπων φυόμενον, ᾐσθόμην πνοῆς, σύζυγε, τῆς ζωοποιοῦ τῆς κόνιν ἐμὲ ὄντα καὶ ἄψυχον πηλὸν [para]ποιησάσης ἔμψυχον· ταύτης νυνὶ τῇ εὐοσμίᾳ ῥωσθείς, πορευθῶ πρὸς τὴν ἀνθοῦσαν τὸν καρπὸν τῆς ζωῆς ἡμῶν, τὴν κεχαριτωμένην.

book 8 Ἰδού εἰμι πρὸ ποδῶν σου, παρθένε, μῆτερ ἄμωμε, καὶ δι᾽ ἐμοῦ πᾶν τὸ γένος τοῖς ἴχνεσί σου πρόσκειται. [para]Μὴ παρίδῃς τοὺς τεκόντας, ἐπειδὴ τόκος ὁ σὸς ἀνεγέννησε νῦν τοὺς ἐν φθορᾷ· τὸν ἐν Ἅιδῃ παλαιωθέντα με, Ἀδὰμ τὸν πρωτόπλαστον οἰκτείρησον, θύγατερ, τὸν πατέρα σου στένοντα· τὰ δάκρυά μου βλέπουσα, σπλαγχνίσθητί μοι καὶ τοῖς ὀδυρμοῖς κλῖνον τὸ οὖς σου εὐμενῶς· [para]τὰ δὲ ῥάκη βλέπεις μου ἅπερ φορῶ, ἃ ὄφις ὕφανέ μοι· ἄμειψόν μου τὴν πενίαν ἐνώπιον οὗ ἔτεκες, ἡ κεχαριτωμένη.

book 9 —Ναί, ἡ ἐλπὶς τῆς ψυχῆς μου, κἀμοῦ τῆς Εὔας ἄκουσον καὶ τῆς ἐν λύπαις τεκούσης τὸ αἶσχος ἀποσόβησον, [para]ὡς ἰδοῦσα ὅτι πλέον ἐγὼ ἡ τλήμων τοῖς ὀδυρμοῖς τοῦ Ἀδὰμ τήκω τὴν ψυχήν· τῆς τρυφῆς γὰρ οὗτος μνησκόμενος ἐμοὶ ἐπανίσταται κραυγάζων ὡς· Εἴθε μὴ τῆς πλευρᾶς μου ἐβλάστησας· καλὸν ἦν μή σε λαβεῖν εἰς βοήθειάν μου· οὐκ ἔπιπτον γὰρ νυνὶ εἰς τοῦτον τὸν βυθόν. [para]Καὶ λοιπὸν μὴ φέρουσα τοὺς ἐλεγμοὺς μηδὲ τὸν ὀνειδισμόν, κατακάμπτω τὸν αὐχένα ἕως οὗ ἀνορθώσῃς με, ἡ κεχαριτωμένη.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 10 Οἱ ὀφθαλμοὶ δὲ Μαρίας τὴν Εὔαν θεωρήσαντες καὶ τὸν Ἀδὰμ κατιδόντες δακρύειν κατηπείγοντο· [para]ὅμως στέγει καὶ σπουδάζει νικᾶν τὴν φύσιν ἡ παρὰ φύσιν τὸν Χριστὸν σχοῦσα υἱόν· ἀλλὰ τὰ σπλάγχνα ἐταράττετο γονεῦσι συμπάσχουσα· τῷ γὰρ ἐλεήμονι μήτηρ ἔπρεπεν εὔσπλαγχνος. Διὸ πρὸς αὐτούς· «Παύσασθε τῶν θρήνων ὑμῶν, καὶ πρέσβις ὑμῖν γίνομαι πρὸς τὸν ἐξ ἐμοῦ· [para]ὑμεῖς δὲ ἀπώσασθε τὴν συμφοράν, τεκούσης μου τὴν χαράν· διὰ τοῦτο τὰ τῆς λύπης ἐκπορθήσουσα ἥκω νῦν ἡ κεχαριτωμένη.

book 11 Υἱὸν οἰκτίρμονα ἔχω καὶ λίαν ἐλεήμονα, ἐξ ὧν τῇ πείρᾳ ἐπέγνων· προσέχω ὅπως φείδεται· πῦρ ὑπάρχων, ᾤκησέ με [para]τὴν ἀκανθώδη καὶ οὐ κατέφλεξεν ἐμὲ τὴν ταπεινήν· ὡς πατὴρ οἰκτείρει υἱοὺς αὐτοῦ, οἰκτείρει ὁ γόνος μου τοὺς φοβουμένους αὐτόν, ὡς Δαυὶδ προεφήτευσε. Τὰ δάκρυα οὖν στείλαντες, ἐκδέξασθέ με μεσῖτιν ὑμῶν γενέσθαι πρὸς τὸν ἐξ ἐμοῦ· [para]χαρᾶς γὰρ παραίτιος ὁ γεννηθεὶς ὁ πρὸ αἰώνων Θεός· ἡσυχάσατε ἀλύπως, πρὸς αὐτὸν γὰρ εἰσέρχομαι ἡ κεχαριτωμένη.»

book 12 Ῥήμασι τούτοις Μαρία καὶ ἄλλοις δὲ τοῖς πλείοσι παρακαλέσασα Εὔαν καὶ ταύτης τὸν ὁμόζυγα, [para]εἰσελθοῦσα πρὸς τὴν φάτνην, αὐχένα κάμπτει καὶ δυσωποῦσα τὸν υἱὸν οὕτω φησί· «Ἐπειδή με, ὦ τέκνον, ὕψωσας τῇ συγκαταβάσει σου, τὸ πενιχρὸν γένος μου δι' ἐμοῦ νῦν σοῦ δέεται. Ἀδὰμ γὰρ πρός με ἤλυθε στενάζων πικρῶς· Εὕα δὲ αὐτῷ ὀδυνωμένη συνθρηνεῖ· [para]ὁ δὲ τούτων αἴτιος ὄφις ἐστὶν τιμῆς γυμνώσας αὐτούς· διὰ τοῦτο σκεπασθῆναι ἐξαιτοῦσι βοῶντές μοι· Ἡ κεχαριτωμένη.»

book 13 Ὡς δὲ τοιαύτας δεήσεις προσήγαγεν ἡ ἄμωμος Θεῷ κειμένῳ ἐν φάτνῃ, λαβὼν εὐθὺς ὑπέγραφεν· [para]ἑρμηνεύων τὰ ἐσχάτως, φησίν· «Ὦ μῆτερ, καὶ διὰ σὲ καὶ διὰ σοῦ σῴζω αὐτούς. Εἰ μὴ σῶσαι τούτους ἠθέλησα, οὐκ ἂν ἐν σοὶ ᾤκησα, οὐκ ἂν ἐκ σοῦ ἔλαμψα, οὐκ ἂν μήτηρ μου ἤκουσας· τὴν φάτνην ἐγὼ διὰ τὸ γένος σου οἰκῶ, μαζῶν δὲ τῶν σῶν βουλόμενος νῦν γαλουχῶ, [para]ἐν ἀγκάλαις φέρεις με χάριν αὐτῶν·

book 13 ὃν οὐχ ὁρᾷ Χερουβὶμ ἰδοὺ βλέπεις καὶ βαστάζεις καὶ ὡς υἱὸν κολακεύεις με, ἡ κεχαριτωμένη.

book 14 Μητέρα σε ἐκτησάμην ὁ πλαστουργὸς τῆς κτίσεως καὶ ὥσπερ βρέφος αὐξάνω ὁ ἐκ τελείου τέλειος· [para]τοῖς σπαργάνοις ἐνειλοῦμαι διὰ τοὺς πάλαι χιτῶνας δερματίνους φορέσαντας, καὶ τὸ σπήλαιόν μοι ἐράσμιον διὰ τοὺς μισήσαντας τρυφὴν καὶ παράδεισον καὶ φθορὰν ἀγαπήσαντας· παρέβησάν μου τὴν ζωηφόρον ἐντολήν· κατέβην εἰς γῆν ἵνα ἔχουσι τὴν ζωήν. [para]Ἂν δὲ καὶ τὸ ἕτερον μάθῃς, σεμνή, ὃ μέλλω δρᾶν δι' αὐτούς, μετὰ πάντων τῶν στοιχείων σὲ δονεῖ τὸ γενόμενον, ἡ κεχαριτωμένη.»

book 15 Ἀλλὰ τοιαῦτα εἰπόντος τοῦ πᾶσαν γλῶσσαν πλάσαντος καὶ τῆς μητρὸς τῇ δεήσει ταχέως ὑπογράψαντος, [para]ἔτι εἶπεν ἡ Μαρία· «Ἐὰν λαλήσω, μὴ ὀργισθῇς μοι τῇ πηλῷ, ὦ πλαστουργέ· ὡς πρὸς τέκνον παρρησιάσομαι· θαρρῶ ὡς σὲ γεννήσασα· σύ μοι γὰρ τῷ τόκῳ σου πᾶσαν καύχησιν δέδωκας. Ὃ μέλλεις τελεῖν τί ἐστι θέλω νῦν μαθεῖν· μὴ κρύψῃς ἐμοὶ τὴν ἀπ' αἰῶνός σου βουλήν· [para]ὅλον σε ἐγέννησα· φράσον τὸν νοῦν ὃν ἔχεις περὶ ἡμᾶς, ἵνα μάθω καὶ ἐκ τούτου ὅσης ἔτυχον χάριτος ἡ κεχαριτωμένη.

book 16 —Νικῶμαι διὰ τὸν πόθον ὃν ἔχω πρὸς τὸν ἄνθρωπον», ὁ ποιητὴς ἀπεκρίθη. «Ἐγώ, δούλη καὶ μῆτερ μου, [para]οὐ λυπῶ σε· γνωριῶ σοι ἃ θέλω πράττειν καὶ θεραπεύσω σου ψυχήν, ὦ Μαριάμ. Τὸν ἐν ταῖς χερσί σου φερόμενον τὰς χεῖρας ἡλούμενον μετὰ μικρὸν ὄψει με, ὅτι στέργω τὸ γένος σου· ὃν σὺ γαλουχεῖς ἄλλοι ποτίσουσι χολήν· ὃν καταφιλεῖς μέλλει πληροῦσθαι ἐμπτυσμῶν· [para]ὃν ζωὴν ἐκάλεσας, ἔχεις ἰδεῖν κρεμάμενον ἐν σταυρῷ καὶ δακρύσεις ὡς θανόντα, ἀλλ' ἀσπάσει με ἀναστάντα, ἡ κεχαριτωμένη.

book 17 Ὅλων δὲ τούτων ἐν πείρᾳ βουλήσει μου γενήσομαι, καὶ πάντων τούτων αἰτία διάθεσις γενήσεται [para]ἣν ἐκ πάλαι ἕως ἄρτι πρὸς τοὺς ἀνθρώπους ἐπεδειξάμην ὡς Θεός, σῶσαι

ζητῶν.» Μαριὰμ δὲ τούτων ὡς ἤκουσεν ἐκ βάθους ἐστέναξε βοῶσα· «Ὦ βότρυς μου, μὴ ἐκθλίψωσί ςε ἄνομοι· βλαστήσαντός σου μὴ ὄψωμαι τέκνου σφαγήν.» Ὁ δὲ πρὸς αὐτὴν ἔφησεν οὕτως εἰπών· [para]«Παῦσαι, μῆτερ, κλαίουσα ὃ ἀγνοεῖς·

book 17 ἐὰν γὰρ μὴ τελεσθῇ, ἀπολοῦνται οὗτοι πάντες ὑπὲρ ὧν ἱκετεύεις με, ἡ κεχαριτωμένη.

book 18 Ὕπνον δὲ νόμισον εἶναι τὸν θάνατόν μου, μῆτερ μου· τρεῖς γὰρ ἡμέρας τελέσας ἐν μνήματι θελήματι, [para]μετὰ ταῦτα σοὶ ὁρῶμαι ἀναβιώσας καὶ ἀνακαινίσας τὴν γῆν καὶ τοὺς ἐκ γῆς. Ταῦτα, μῆτερ, πᾶσιν ἀνάγγειλον, ἐν τούτοις πλουτίσθητι, ἐκ τούτων βασίλευσον, διὰ τούτων εὐφράνθητι.» Ἐξῆλθεν εὐθὺς ἡ Μαριὰμ πρὸς τὸν Ἀδάμ, εὐαγγελισμὸν φέρουσα τῇ Εὔᾳ φησί· [para]«Τέως ἡσυχάσατε ὅσον μικρόν·

book 18 ἠκούσατε γὰρ αὐτοῦ ἅπερ εἶπεν ὑπομεῖναι δι᾽ ὑμᾶς τοὺς βοῶντάς μοι· Ἡ κεχαριτωμένη.»

book pro Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ φύσιν θεωρῶν, [para]καὶ ἐλάμβανεν εἰς νοῦν τὸν ἐπὶ πόκον ὑετὸν ἐν τῇ ἀσπόρῳ κυήσει σου, Θεοτόκε, [para]βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ τοῖς ἱερεῦσιν ἐκραύγαζεν· Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένει παρθένος.

book 1 Ὅπερ ὁρῶ νοῆσαι οὐ χωρῶ· ὑπὲρ νοῦν γὰρ ὑπάρχει ἀνθρώπινον πῶς πῦρ φέρων ὁ χόρτος οὐ φλέγεται, [para]ἀμνὰς βαστάζει λέοντα, ἀετὸν δὲ χελιδών, καὶ δεσπότην ἡ δούλη· γαστρὶ θνητῇ Θεὸν ἀπεριγράπτως Μαρία ἐμὸν σωτῆρα ἑκόντα φέρει, ὅθεν χαιρῶν βοῶ· Παρθένος τίκτει καὶ μετὰ τόκον 〈πάλιν μένει παρθένος.〉

book 2 Ὕβριν οὐδεὶς ἡγεῖται βασιλεύς, ὅταν τὸν ἐχθρὸν θέλῃ χειρώσασθαι, κἂν σχῆμα στρατιώτου ἐνδύσηται· [para]διὸ Θεὸς τὸν τρώσαντα τὸν Ἀδὰμ τρῶσαι ζητῶν ἐκ παρθένου σαρκοῦται, καὶ γίνεται παγὶς τῷ 〈παμ〉 πανούργῳ μορφὴν ἡμετέραν λαβὼν ὁ πρὸ αἰώνων, ὅνπερ δίχα σπορᾶς παρθένος τίκτει 〈καὶ μετὰ τόκον πάλιν μένει παρθένος.〉

book 3 Μάννα ποτὲ καὶ στάμνον τὴν χρυσῆν κιβωτὸν Μωσῆς γράφει βαστάζουσαν· τί βούλεται δὲ ταῦτα ζητήσωμεν· [para]οὐδὲν γὰρ ἀργὸν ἔγκειται τῇ γραφῇ οὐδ᾽ ἀσαφές, ἀλλὰ πάντα εὐθέα. Ἡ στάμνος ἡ χρυσῆ Χριστοῦ τὸ σῶμα, τὸ μάννα θεῖος λόγος ᾧπερ ἡνώθη· τίς δὲ ἡ κιβωτός; Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένει 〈παρθένος.〉

book 4 Νῦν θεωρῶ τὴν ῥάβδον Ἀαρὼν τὴν ἀνθήσασαν δίχα ἀρδεύοντος, ἣν Ἀμὼς Ἠσαΐας μοι ἔγραψεν. [para]«Ἰδού, φησιν, ἐλεύσεται ῥάβδος ἐκ τοῦ Ἰεσσαὶ καὶ ἐκ ῥίζης τὸ ἄνθος.» Ἡ ῥάβδος Ἀαρὼν καὶ Ἰεσσαὶ τίς; Μαρία ἡ ἀνθοῦσα ἀγεωργήτως 〈τὸν καρπὸν ὃν ἐμοὶ παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει παρθένος.〉

book 5 Οὕτω ποτὲ καὶ πῦρ ἐν βάτῳ ἦν φωταυγοῦν καὶ μὴ καῖον τὴν ἄκανθα, ὡς νῦν ἐν τῇ παρθένῳ ὁ Κύριος· οὐ γὰρ φαντάσαι ἤθελε τὸν Μωσέα ὁ Θεὸς [para]οὐδὲ καταπτοῆσαι· γνωρίζων δὲ αὐτῷ τὰ μετὰ ταῦτα, ἐδείκνυε πυρφόρον τὴν βάτον, ὅπως μάθῃ ὅτι Χριστὸν παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν 〈μένει παρθένος.〉

book 6 Σέ, Ἰησοῦ, δηλοῦσιν αἱ γραφαί, ἡ μὲν μάννα καὶ στάμνον σημαίνουσα, ἡ δὲ ἐκ ῥίζης ἄνθος γνωρίζουσα· [para]καὶ σὴν μητέρα λέγουσιν ἄνθος, ῥάβδον, κιβωτόν, τὴν σὲ φέρουσαν κόλποις, τὴν διὰ πνεύματος ἀνεωχθεῖσαν καὶ μετὰ τοῦτο μείνασαν κεκλεισμένην, ἵνα πᾶς τις ἐρεῖ· Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν 〈μένει παρθένος.〉

book 7 Ῥῆμα χαρᾶς εἰπὼν ὁ Γαβριὴλ τῇ παρθένῳ τὸν λόγον ἐνέσπειρε, τὴν ἄγαμον λοχὸν δείξας πνεύματι· [para]«Ἰδοὺ μετὰ σοῦ Κύριος, καὶ ἐκ σοῦ ὁ καὶ πρὸ σοῦ, ὁ πατήρ σου υἱός σου, ὁ πέμψας με πρὸς σὲ καὶ προλαβών με, ὁ καὶ μετὰ τὸν τόκον ἁγνὴν τηρῶν σε, ἵνα πᾶς τις ἐρεῖ· Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένει παρθένος.

book 8

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὤσθη Ἀδάμ, διὸ Θεὸς Ἀδὰμ τῷ Ἀδὰμ μηχανώμενος ἔγερσιν τῆς σῆς κοιλίας τοῦτον ἀνέλαβε· [para]γυνὴ τὸ πρὶν κατέβαλε καὶ γυνὴ νῦν ἀνιστᾷ ἐκ παρθένου παρθένος· τὴν Εὔαν ὁ Ἀδὰμ οὐκ ἔγνω τότε, οὐδὲ τὴν Θεοτόκον ὁ Ἰωσὴφ νῦν, ἀλλὰ δίχα σπορᾶς παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν 〈μένει παρθένος.〉 »

book 9 Μόνον δὲ τῶν ῥημάτων ἤκουσε τοῦ ἀγγέλου, ἡ κόρη ἐβόησε· «Πῶς ἔσται, ὅτι πέλω ἀπείρανδρος; [para]ὁ νῦν θαλάμοις ἔχων με ὡς μνηστήρ, οὐκ ὡς ἀνήρ, ἑαυτῷ με φυλάττει· εἰ δὲ γενήσεται ὅπερ σὺ λέγεις, σωματικοῦ μοι γάμου τὸ πρᾶγμα κρεῖττον, ὅπως πᾶς τις ἐρεῖ· Παρθένος τίκτει καὶ μετὰ τόκον 〈πάλιν μένει παρθένος.〉

book 10 —Ἄκουσόν μου, φησίν, ὦ Μαριάμ· πρὸς γὰρ σὲ ἀπεστάλην ὁ ἄσαρκος ὡς ἄλλον πόλον μέλλουσαν γίνεσθαι. [para]Μὴ θῇς ἐν τῇ καρδίᾳ σου ὅτι μέλλει Ἰωσὴφ 〈σὲ〉 γυναῖκα λαμβάνειν· προώρισέ σε γὰρ ὁ πλαστουργός σου βαστᾶσαι τοῦτον ὥσπερ ὁ θρόνος ἄνω, ἵνα πᾶς τις ἐρεῖ· Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένει 〈παρθένος.〉

book 11 —Νὺξ ἀμειδὴς ἡ φύσις ἡ ἐμή· καὶ πῶς ἐξ αὐτῆς λάμψει ὁ ἥλιος; Ὢ ἄπιστον ὃ λέγεις μοι, ἄνθρωπε· [para]γυνὴ ἡ πρὶν τὸν θάνατον προξενήσασα βροτοῖς, πῶς ζωὴν νῦν βλαστήσει; Πηλὸν ὁ πλαστουργὸς πῶς μοι οἰκήσει; Τὴν ἀκανθώδη φύσιν τὸ πῦρ οὐ φλέγει; Ὄντως πᾶς τις ἐρεῖ· Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν 〈μένει παρθένος.〉

book 12 —Ὅλον Θεὸς βεβούλευται ἐκ σοῦ καινουργῆσαι φθαρέντα τὸν ἄνθρωπον. Μὴ λέγε· Πῶς οἰκεῖ καὶ οὐ φλέγει με; [para]Τὸ πῦρ ὅπερ σὺ δέδοικας ἔσται ὄμβρος ἐπὶ σέ, ὡς Δαυὶδ προανεφώνει· Ὡς ὑετός—φησίν— ὁ ἐπὶ τὸν πόκον, οὕτως οἰκεῖ τὴν κόρην Θεὸς ἡσύχως, ἵνα πᾶς τις ἐρεῖ· Παρθένος 〈τίκτει καὶ μετὰ τόκον πάλιν μένει παρθένος.〉 »

book 13 Ὕμνησον οὖν Χριστόν, ὦ Μαριάμ, τὸν καὶ κάτω σοι κόλποις φερόμενον καὶ ἄνω 〈τῷ〉 πατρὶ συγκαθήμενον, [para]μαστὸν τὸν σὸν μὲν ἕλκοντα, χορηγοῦντα δὲ θνητοῖς βρῶσιν θείαν ὑψόθεν, τὸν ἄνω, ὡς σκηνήν, οἰκοῦντα πόλον, καὶ κάτω ἐν σπηλαίῳ ἀνακλιθέντα διὰ πόθον βροτῶν· Παρθένος τίκτει καὶ μετὰ τόκον 〈πάλιν μένει παρθένος.〉

book 1 Αἱ ἀγγελικαὶ προπορεύεσθε δυνάμεις· [para]οἱ ἐν Βηθλεέμ, ἑτοιμάσατε τὴν φάτνην· ὁ Λόγος γὰρ γεννᾶται, ἡ σοφία προέρχεται. Δέχου ἀσπασμόν, ἡ ἐκκλησία, εἰς τὴν χαρὰν τῆς Θεοτόκου· λαοὶ εἴπωμεν· «Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.»

book 2 Ἰδὼν Ἰωσὴφ τὰς οὐρανίους δυνάμεις [para]εἰς προσκύνησιν τοῦ σαρκωθέντος προσδραμούσας, ἠπόρει τὸ μυστήριον τοῦ τεχθέντος βασιλέως, μάγους μετὰ δώρων προσκυνοῦντας τὸν ἐκ τῆς Παρθένου προελθόντα· διὸ ἔλεγεν· «Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.»

book 3 Νίκην κατ' ἐχθρῶν κεκτημένοι τὸν τεχθέντα, [para]καταβάλλομεν τὴν δυναστείαν τοῦ Βελίαρ. Χριστοῦ γὰρ γεννηθέντος, ἐδεσμεύθη ὁ τύραννος· ὅθεν προσκυνοῦμέν σου τὸν τόκον τῆς εὐλογημένης Θεοτόκου, πιστῶς κράζοντες· «Εὐλογημένος ὁ τεχθεὶς ἐκ κόρης θεόπαιδος.»

book 4 Ὄρος νοητὸν ἀνεδείχθης, ὦ παρθένε· [para]ἐτμήθη γὰρ ἐκ σοῦ ὁ ἀκρογωνιαῖος λίθος, ὃν εἶδεν ὁ προφήτης τὴν εἰκόνα ὀλέσαντα· οὗτος γὰρ συνέτριψε τὸ κράτος τοῦ δεινοῦ φθορέως τῶν ἀνθρώπων· διὸ κράξωμεν· «Εὐλογημένος 〈ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι〉 .»

book 5 Σάλπιγγος φωνὴν ἀναλάβετε, ποιμένες· [para]λόγους μαγικοὺς ἀπορρίψατε, οἱ μάγοι· ὁ Λόγος γὰρ γεννᾶται, ὁ Θεὸς ἐμφανίζεται. Δεῦτε, θυγατέρες βασιλέων, εἰς τὴν χαρὰν τῆς Θεοτόκου· λαοί, εἴπωμεν· Εὐλογημένος 〈ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι〉 .

book 6 Τέτοκε χαρὰν ἡ ἀπείρανδρος παρθένος· [para]πέπαυται λοιπὸν τοῦ προπάτορος ἡ λύπη· ὁ ἄκτιστος γεννᾶται, ὁ ἀχώρητος χωρεῖται· σήμερον ἡ χάρις ἐπεφάνη, σήμερον ἡ πλάνη κατεπόθη· λαοί, εἴπωμεν· Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.

book 7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αὐλὸν ποιμενικὸν ἀποβάλλεσθε, ποιμένες· [para]τὸν ἐν Βηθλεὲμ ἀνυμνήσατε δεσπότην· ἐκ κόρης γὰρ προῆλθεν ὁ λυτρούμενος τὸν κόσμον, λέλυται τῆς Εὔας ἡ κατάρα διὰ τοῦ τεχθέντος ἐκ Παρθένου· λαοί, εἴπωμεν· Εὐλογημένος ὁ καρπός, ἁγνή, τῆς κοιλίας σου.

book 8 Ποῖος νοῦς βροτῶν ἑρμηνεύσει σου τὸν τόκον; [para]Τί καλέσωμέν σε, ὑπερένδοξε Μαρία; Ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ τὴν κτίσιν πλαστουργήσας. «Χαῖρέ σοι», βοήσω τῇ ἀμνάδι· «Χαῖρέ σοι», προσείπω τῇ παρθένῳ· λαοί, εἴπωμεν· Εὐλογημένος ⟨ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι⟩ .

book 9 Ἐν ἀλαλαγμῷ νῦν κροτήσωμεν τὰς χεῖρας, [para]τὴν ἀγγελικὴν συστησώμεθα χορείαν· ἐτέχθη γὰρ ὁ Κύριος ἐκ Μαρίας τῆς παρθένου ἵνα τοὺς πεσόντας ἀναστήσῃ καὶ κατερραγμένους ἀνορθώσῃ πιστῶς κράζοντας· Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, ⟨δόξα σοι⟩ .

book 10 Ἰδοὺ τέτοκεν Ἐμμανουὴλ ἡ παρθένος, [para]καὶ πεπλήρωνται τῶν θεοφόρων προφητεῖαι· ἐβλάστησεν ἡ ῥάβδος, καθὼς εἶπεν Ἠσαΐας. Ἐγνώσθης ἐν μέσῳ δύο ζῴων, ἦλθες εἰς σωτηρίαν λαοῦ σου· διὸ κράζωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 11 Νόμου ποιητὴς ὑπὸ νόμου ἐσαρκώθη· [para]ἄχρονος Υἱὸς ἐκ παρθένου ἐγεννήθη· ὁ πλάστης τῶν ἁπάντων ἐν τῇ φάτνῃ ἀνεκλίθη· ἐκ Πατρὸς ἀμήτωρ γὰρ ὑπάρχων, γέγονεν ἀπάτωρ ἐκ παρθένου· λαοὶ εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 12 Ὄντως ἡ χαρὰ ἐν σπηλαίῳ νῦν ἐτέχθη· σήμερον χοροὶ ἀγάλλονται ἀσωμάτων· αἰνοῦσιν ἔθνη πάντα τὴν ἀμόλυντον παρθένον· σήμερον γὰρ τίκτει τὸν σωτῆρα, σήμερον χορεύει ὁ προπάτωρ· λαοὶ εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 13 Ὕμνον ὁ χορὸς τῶν ἀγγέλων ἀναμέλπει [para]σοὶ τῇ φωτεινῇ καὶ ἀπειράνδρῳ Μαρίᾳ, γηθόμενος χορεύει ἐν τῷ τόκῳ σου ἀξίως. Χαῖρε, ἡ ἐλπὶς τῶν οἰκετῶν σου· χαῖρε, προστασία ὀρθοδόξων· λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 14 Ῥάμνος θεϊκὸς ἀνακέκλιται ἐν φάτνῃ, [para]ἄνω σὺν Πατρὶ δοξαζόμενος ἐν θρόνῳ· ἑκὼν γὰρ ἐσαρκώθη, μὴ κενώσας οὐράνια· δέει καὶ χαρᾷ δορυφορεῖται γόνασι μητρὸς καὶ ταῖς ἀγκάλαις· λαοί, εἴπωμεν· Εὐλογημένος ὁ τεχθεὶς ⟨Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 15 Ὥσπερ ἐκ Πατρὸς ἀνεβλάστησας ἀμήτωρ, [para]οὕτως ἐκ μητρὸς ἐνηνθρώπησας ἀπάτωρ, τὸ μὲν ἀσώματος γάρ, τὸ δὲ πάλιν ἐν σώματι· ὅθεν Χερουβὶμ δοξολογοῦσιν· Δόξα σοι Θεῷ τῷ ἐν ὑψίστοις. Λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 16 Μέγα τοῦ Πατρὸς πεφανέρωται ἐκ κόρης, [para]θεῖον, εὐσεβὲς καὶ μυστήριον τῷ κόσμῳ· παιδίον γὰρ ἐτέχθη ὁ κατέχων τὰ σύμπαντα, μόρφωσιν ἑκὼν τοῦ πρωτοπλάστου εἴληφε σαρκὸς ἐξ ἀπειράνδρου. Λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 17 Ἄνθος Ἰεσσαὶ ἐξελεύσεται ἐκ ῥάβδου, [para]ὑπὸ τοῦ φαιδροῦ προηγόρευται προφήτου· ὁρῶμεν γὰρ παρθένον ὑπὲρ φύσιν κυήσασαν ῥάμνον ποθεινὸν ἐξ οὐρανόθεν, σύνθρονον Πατρὸς ἐν τοῖς ὑψίστοις. Λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 18 Νέεσθε λοιπόν, οἱ φυλάσσοντες ποιμένες· [para]ἴδετε Θεὸν νηπιάσαντα ἀτρέπτως, καὶ παύσασθε αὐλοῦντες, καὶ σκιρτῶντες θαυμάσατε ὅτι ἐν χερσὶν ἡ Θεοτόκος φέρει ὑϊὸν πρὸ ἑωσφόρου. Λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 19 Ὄρος τοῦ Θεοῦ προετύπωσέν σε πάλαι, [para]ἄνανδρε, σεμνή, ὑπερένδοξε, προφήτης· ὁ λίθος γὰρ ἐτμήθη ἐκ γαστρός σου, σωτὴρ ἡμῶν. Νέμεται Ἀδὰμ ἐλευθερίαν, λύεται δεσμὰ τῆς ἁμαρτίας· λαοί, εἴπωμεν· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 20 Ὕμνον αἰνετὸν ἀνυμνήσατε ἀπαύστως [para]τῷ ἐν Βηθλεὲμ ἀνατείλαντι δεσπότῃ· ἀσπόρως γὰρ σαρκοῦται, ἀληθείᾳ γεγέννηται. Μέλψωμεν, λαοί, σὺν τοῖς ἀγγέλοις· «Δόξα τῷ Θεῷ ἐν τοῖς ὑψίστοις», πιστῶς κράζοντες· ⟨Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.⟩

book 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔδειξεν ἡμῖν συναγάλλεσθαι, Παρθένε, [para]τόκος μυστικὸς σπαργανούμενος ἐν φάτνῃ· οἰκήσας γὰρ ἐν μήτρᾳ παρθενίαν οὐκ ἔλυσεν· φαίνεται ἑκὼν ἀνανθρωπήσας ὁ Λόγος σαρκωθεὶς ἀνερμηνεύτως. Λαοί, εἴπωμεν· 〈Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.〉

book 22 Ἴδοσαν λαοὶ τὸ σωτήριον τῆς δόξης [para]ἐκ παρθενικῆς ἀνατείλαντα νηδύος. Ποιμένες μὲν θαυμάζουν, οἱ δὲ μάγοι προσάγουσιν λίβανον, χρυσὸν καὶ εἶδος σμύρνης, τύπωμα πιστῶν τὸ τῆς Τριάδος· λαοί, εἴπωμεν· 〈Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.〉

book 23 Σήμερον Ἀδὰμ ἀνακέκληται ἐκ πλάνης [para]καὶ τῆς ζοφερᾶς τοῦ ἀλάστορος ἀπάτης· Χριστὸς γὰρ ἐκ Παρθένου σωματοῦται ὡς ἄνθρωπος, [para]ὃς καὶ τὸν Ἀδὰμ ἀνακαλέσας εἶλε τὴν ἀρὰν ἐκ τῆς παρθένου· λαοί, εἴπωμεν· 〈Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.〉

book 24 Τύπος κιβωτοῦ προτετύπωται Παρθένος [para]τέξασα Θεός, ἱλαστήριον τοῦ κόσμου, ἐν ᾗ ἦν γὰρ καὶ στάμνος ἡ τὸ μάννα κατέχουσα, δι’ ἧς Ἰσραὴλ ἐπωδηγεῖτο· διὸ καὶ ἡμεῖς τῇ Θεοτόκῳ ὕμνον εἴπωμεν· Εὐλογημένη ἡ Θεὸν ἀφράστως κυήσασα.

book 25 Ἄφραστον, φρικτὸν τὸ μυστή[ριον τοῦ Λόγου] [para]πᾶσι, γηγενεῖς, καὶ στρατεύμασι πυρίνοις· λαθὼν γὰρ ἀσωμάτων τὰς δυνάμεις σεσάρκωται, φαίνεται Θεὸς ἐνανθρωπήσας· πῶς δὲ προῆλθεν, λανθάνει πάντας· διὸ εἴπωμεν· 〈Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.〉

book 26 Γῆ καὶ οὐρανός, συναγάλλεσθε, ὁρῶντες [para]τὸν Ἐμμανουὴλ ὃν ἐκήρυξαν προφῆται ὡς ἄνθρωπον ὀφθέντα καὶ ἐν φάτνῃ καθεύδοντα, ὅνπερ οἱ χοροὶ τῶν ἀσωμάτων τρέμουσιν ἀεὶ ἀτενίζειν· αὐτῷ εἴπωμεν· Εὐλογημένος ὁ τεχθεὶς 〈Θεὸς ἡμῶν, δόξα σοι.〉

book 27 Ἔγνωσαν σαφῶς ὅτι σήμερον ἐτέχθη [para][ὁ σὺν τῷ Πατρὶ] συστησάμενος τὰ πάντα [αἱ τάξεις τῶν ἀγγέλων, καὶ οἱ] μάγοι ἐκ[ραύγαζον· «Σήμερον Χριστὸς ἐκ τῆς Παρθ]ένου τίκτεται ἡμῖν εἰς [σωτηρίαν· διὸ κράξατε·] Εὐλογημένος ὁ τεχθεὶς Θεὸς 〈ἡμῶν, δόξα σοι〉».

book 28 «Νῦν τὴν Βηθλεὲμ καταλάβωμεν σπουδαίως [para]καὶ τὴν τῆς φωνῆς ἀκριβήσωμεν ἐλπίδα», ποιμένες ἀγραυλοῦντες πρὸς ἀλλήλους ἀπέφηναν. «Ζένα γάρ εἰσι τὰ λαληθέντα, μᾶλλον δὲ φρικτὰ τὰ ἀκουσθέντα· διὸ εἴπωμεν· 〈Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.〉»

book 29 Ἐν τῇ πενιχρᾷ θεασάμενος ὡς βρέφος [para]ἄγραυλος χο[ρὸς ἀν]ακείμενον ἐν φάτνῃ τὸν μόνον εὐεργέτην τῶν ἁπάντων καὶ Κύριον, ἔκραζον φαιδρῶς σὺν τοῖς ἀγγέλοις· «Δόξα τῷ Θεῷ [ἐν τοῖς] ὑψίστοις· διὸ εἴπωμεν· Εὐλογημένος ὁ τεχθεὶς 〈Θεὸς ἡμῶν, δόξα σοι.〉»

book 30 Θεόθεν σαφῶς παιδευόμενοι, οἱ [μάγοι [para]ἀπ’ ἀνα]τολῶν παρεγένοντο σπουδαίως, ζητοῦντες τὸν τεχθέντα βασιλέα τῆς κτίσεως· ἴδον γὰρ αὐτοῦ τὸν ἑωσφόρον λάμποντα φαιδρῶς, καὶ σοφισθέντες λαμπρῶς ἔλεγον· Εὐλογημένος ὁ τεχθεὶς 〈Θεὸς ἡμῶν, δόξα σοι.〉

book 31 Λίβανον, χρυσὸν κομισάμενοι καὶ σμύρναν, καὶ τῇ φαεινῇ τοῦ ἐκλάμποντος ἀστέρος [para]οἱ μάγοι ἐκθραυσθέντες τῷ τεχθέντι προσέφερον, ὅθεν καὶ Θεὸν προσωμολόγουν τὸν ἐκ τῆς ἁγνῆς ἐμφανισθέντα· διὸ ἔκραζον· «Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.»

book 32 Ἰδοὺ ἡ ἁγνὴ ἀνεβόησεν Παρθένος· [para]«Τίκτω νῦν υἱὸν ὑπὲρ ἔννοιαν καὶ λόγον, Θεὸν ὃν Ἠσαΐας ...» καταυγάζων τὰ σύμπαντα, ἄφθορον αὐτὴν διαφυλάττων, λύσας τοῦ Ἀδὰμ τὴν ἁμαρτίαν· διὸ εἴπωμεν· «Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.»

book 33 Ἄνω στρατιαὶ καὶ οὐράνιοι δυνάμεις [para]ὕμνον ἐκτενῆ καὶ ἀσίγητον βοῶσιν· βροτοὶ δὲ ἐν σπηλαίῳ προσκυνοῦντες κραυγάζουσιν· «Δόξα σοι, Χριστέ, τῷ κατελθόντι σῶσαι χοϊκοὺς ἐκ τῆς κατάρας. Διὸ ψάλλωμεν· Εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν, δόξα σοι.»

book pro 1 Χορὸς ἀγγελικὸς ἐκπληττέσθω τὸ θαῦμα, [para]βροτοὶ δὲ ταῖς φωναῖς ἀνακράξωμεν ὕμνον, [para]ὁρῶντες τὴν ἄφατον τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι τῶν οὐρανῶν αἱ δυνάμεις, νῦν γηράλαιαι ἐναγκαλίζονται χεῖρες [para]τὸν μόνον φιλάνθρωπον.

book pro 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ σάρκα δι’ ἡμᾶς ἐκ παρθένου φορέσας [para]καὶ βρέφος βασταχθεὶς ἐν ἀγκάλαις πρεσβύτου, [para]τὸ κέρας ἀνύψωσον τῶν πιστῶν βασιλέων ἡμῶν· τούτους κράτυνον ἐν τῇ δυνάμει σου, Λόγε, τούτων εὔφρανον τὴν εὐσεβῆ βασιλείαν, [para]ὁ μόνος φιλάνθρωπος.

book pro 3 Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου [para]καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας, ὡς ἔπρεπε, [para]προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός· ἀλλ’ εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα καὶ κραταίωσον βασιλέας οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

book 1 Τῇ Θεοτόκῳ προσδράμωμεν οἱ βουλόμενοι κατιδεῖν τὸν υἱὸν αὐτῆς πρὸς Συμεὼν ἀπαγόμενον· ὅνπερ οὐρανόθεν οἱ ἀσώματοι βλέποντες ἐξεπλήττοντο λέγοντες· «Θαυμαστὰ θεωροῦμεν νυνὶ καὶ παράδοξα, ἀκατάληπτα, ἄφραστα· [para]ὁ τὸν Ἀδὰμ γὰρ δημιουργήσας βαστάζεται ὡς βρέφος· [para]ὁ ἀχώρητος χωρεῖται ἐν ἀγκάλαις τοῦ πρεσβύτου· ὁ ἐπὶ τῶν κόλπων τῶν ἀπεριγράπτων ὑπάρχων τοῦ πατρὸς αὐτοῦ [para]ἑκὼν περιγράφεται σαρκί, οὐ θεότητι, ὁ μόνος φιλάνθρωπος.»

book 2 Ὅτε δὲ ταῦτα ἐφθέγξαντο, ἀοράτως μὲν προσεκύνουν τὸν Κύριον, ἀνθρώπους δὲ ἐμακάριζον ὅτι ὁ ἐπ’ ὤμων Χερουβὶμ ἐποχούμενος σὺν αὐτοῖς πολιτεύεται· ὅτι τοῖς γηγενέσιν ἐφάνη εὐπρόσιτος ὁ ἀγγέλοις ἀπρόσιτος· [para]ὅτι ὁ φέρων καὶ περιέπων τὰ σύμπαντα ὡς κτίστης, [para]ὁ τὰ βρέφη διαπλάττων ἐν κοιλίαις τῶν μητέρων γέγονεν ἀτρέπτως βρέφος ἐκ παρθένου, καὶ ἔμεινεν ἀχώριστος [para]πατρὸς καὶ τοῦ πνεύματος ὁ τούτων συνάναρχος, ὁ μόνος φιλάνθρωπος.

book 3 Ὕμνουν ἐν τούτοις οἱ ἄγγελοι τὸν φιλάνθρωπον, Μαριὰμ δὲ ἐβάδιζεν ἀγκάλαις τοῦτον βαστάζουσα, καὶ διενοεῖτο πῶς καὶ μήτηρ ἐγένετο καὶ παρθένος διέμεινεν. Ὑπὲρ φύσιν γινώσκουσα εἶναι τὴν γέννησιν, ἐφοβεῖτο καὶ ἔφριττε· [para]καθ’ ἑαυτὴν δὲ λογιζομένη, ἐφθέγγετο τοιαῦτα· [para]«Ποίαν εὕρω, υἱέ μου, ἐπὶ σοὶ προσηγορίαν; Ἐὰν γάρ, ὡς βλέπω, ἄνθρωπόν σε εἴπω, ὑπάρχεις ὑπὲρ ἄνθρωπον, [para]ὁ τὴν παρθενίαν μου φυλάξας ἀκήρατον, ὁ μόνος φιλάνθρωπος.

book 4 Τέλειον ἄνθρωπον εἴπω σε; Ἀλλ’ ἐπίσταμαι θεϊκήν σου τὴν σύλληψιν· οὐδεὶς ἀνθρώπων γὰρ πώποτε δίχα συνουσίας καὶ σπορᾶς συλλαμβάνεται ὥσπερ σύ, ἀναμάρτητε· κἂν Θεόν σε καλέσω, θαυμάζω ὁρῶσά σε κατὰ πάντα μοι ὅμοιον, [para]οὐδὲ γὰρ ἔχεις παρηλλαγμένον οὐδὲν τῶν ἐν ἀνθρώποις, [para]εἰ καὶ δίχα ἁμαρτίας συνελήφθης καὶ ἐτέχθης. Γαλακτοτροφήσω ἢ δοξολογήσω; Θεὸν γάρ σε τὰ πράγματα [para]κηρύττουσιν ἄχρονον, κἂν γέγονας ἄνθρωπος, ὁ μόνος φιλάνθρωπος.»

book 5 Οὕτως εἰσήχθη ὁ Κύριος βασταζόμενος σὺν τοῖς ὁλοκαυτώμασιν ἐν τῷ ναῷ, καθὼς γέγραπται, ὅνπερ ἐξ ἀγκάλων τῆς μητρὸς ὑπεδέξατο Συμεὼν ὁ μακάριος· ἡ χαρὰ καὶ ὁ φόβος συνεῖχε τὸν δίκαιον· τῆς ψυχῆς γὰρ τοῖς ὄμμασι [para]τῶν ἀρχαγγέλων καὶ τῶν ἀγγέλων τὰ τάγματα ἑώρα [para]μετὰ φόβου παρεστῶτα καὶ Χριστὸν δοξολογοῦντα. Καὶ καθικετεύων ἐν τῇ διανοίᾳ ἐβόα· «Σύ με φύλαξον, [para]καὶ μὴ καταφλέξῃ με τὸ πῦρ τῆς θεότητος, ὁ μόνος φιλάνθρωπος.

book 6 Ῥώννυμαι νῦν ὁ ταλαίπωρος, ὅτι εἶδόν σου τὸ σωτήριον, Κύριε. Σὺ χαρακτὴρ ὁ παντέλειος τῆς ἀκαταλήπτου πατρικῆς ὑποστάσεως, ὁ φωστὴρ ὁ ἀπρόσιτος, ἡ σφραγὶς τῆς θεότητος ἡ ἀπαράλλακτος, τὸ τῆς δόξης ἀπαύγασμα [para]τὸ καταλάμπον τὰς τῶν ἀνθρώπων ψυχὰς ἐν ἀληθείᾳ, [para]ὁ ὑπάρχων πρὸ αἰώνων καὶ τὰ σύμπαντα ποιήσας· φῶς γὰρ τηλαυγὲς εἶ, φῶς τὸ τοῦ πατρός σου, ἀσύγχυτον, ἀορίστον [para]καὶ ἀπερινόητον, κἂν γέγονας ἄνθρωπος, ὁ μόνος φιλάνθρωπος.

book 7 Ὦ ἀγαθὲ καὶ φιλάνθρωπε, τὰς τοῦ Ἄβελ σὺ προσφορὰς προσεδέξω πρὶν καὶ τὰς τῶν ἄλλων δικαίων σου· τίνι τὴν θυσίαν καὶ τὰ ὁλοκαυτώματα προσκομίζεις, πανάγιε; Ὅτι μείζονα ἄλλον οὐκ ἔχεις ἐπίσταμαι, ἀσυλλόγιστε Κύριε· [para]ὁ γὰρ πατήρ σου τὸ κατ’ οὐσίαν οὐδέν σου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπερέχει· [para]ὁμοούσιος γὰρ τούτου καὶ συνάναρχος ὑπάρχεις· ἀλλὰ ἵνα δείξῃς ὡς ἐν ἀληθείᾳ ὑπάρχεις ὅπερ γέγονας, [para]ὡς φύλαξ τοῦ νόμου σου θυσίαν προσήνεγκας, ὁ μόνος φιλάνθρωπος.

book 8 Μέγας ὑπάρχεις καὶ ἔνδοξος, ὃν ἐγέννησεν ἀπορρήτως ὁ ὕψιστος, υἱὲ Μαρίας πανάγιε. Ἕνα γάρ σε λέγω ὁρατὸν καὶ ἀόρατον, χωρητὸν καὶ ἀχώρητον· κατὰ φύσιν Θεοῦ ὑϊὸν προαιώνιον καὶ νοῶ καὶ πιστεύω σε· ὁμολογῶ δὲ καὶ ὑπὲρ φύσιν υἱόν σε τῆς παρθένου. [para]Διὰ τοῦτο καὶ τολμήσας ὥσπερ λύχνον σε κατέχω· πᾶς γὰρ ὁ βαστάζων λύχνον ἐν ἀνθρώποις φωτίζεται, οὐ φλέγεται· [para]διό με καταύγασον, ὁ λύχνος ὁ ἄσβεστος, ὁ μόνος φιλάνθρωπος.»

book 9 Ἀκούουσα ταῦτα παρίστατο καὶ ἐξίστατο ἡ παρθένος ἡ ἄσπιλος, πρὸς ἣν ὁ γέρων ἐφθέγξατο· «Πάντες οἱ προφῆται τὸν υἱόν σου ἐκήρυξαν ὃν ἀσπόρως ἐγέννησας· περὶ σοῦ δὲ προφήτης πρὸς τούτοις ἐκέκραγε καὶ τὸ θαῦμα κατήγγειλεν [para]ὅτι ἡ πύλη ἡ κεκλεισμένη ὑπάρχεις, Θεοτόκε· [para]διὰ σοῦ γὰρ καὶ εἰσῆλθε καὶ ἐξῆλθεν ὁ δεσπότης, καὶ οὐκ ἠνεῴχθη οὐδὲ ἐκινήθη ἡ πύλη τῆς ἁγνείας σου [para]ἣν μόνος διώδευσε καὶ σώαν ἐφύλαξεν ὁ μόνος φιλάνθρωπος.

book 10 Νῦν γνωριῶ σοι καὶ ἅπαντα προφητεύσω σοι, παναγία, ἀμώμητε· εἰς πτῶσιν γὰρ καὶ ἀνάστασιν κεῖται ὁ υἱός σου, ἡ ζωὴ καὶ ἡ λύτρωσις καὶ ἡ πάντων ἀνάστασις· οὐχ ἵν’ ἄλλοι μὲν πίπτουσιν, ἄλλοι δ’ ἀνίστανται ἐπεφάνη ὁ Κύριος· [para]οὐδὲ γὰρ χαίρει ὁ πανοικτίρμων τῇ πτώσει τῶν ἀνθρώπων, [para]οὐ προφάσει τε ἐπέστη τοῦ πεσεῖν τοὺς ἱσταμένους, ἀλλὰ τοὺς πεσόντας μᾶλλον ἀναστῆσαι σπουδάζων παρεγένετο, [para]θανάτου λυτρούμενος τὸ πλάσμα τὸ ἴδιον ὁ μόνος φιλάνθρωπος.

book 11 Οὗτος ὁ τρόπος τῆς πτώσεως καὶ ἐγέρσεως τοῖς δικαίοις καθέστηκεν ἐν ἐπιλάμψει τῆς χάριτος· τῇ μὲν ἁμαρτίᾳ οἱ ἱστάμενοι πίπτουσι καὶ νεκροὶ ἀποδείκνυνται· τῇ δὲ δικαιοσύνῃ καὶ πίστει ἀνίστανται καὶ συζῶσι τῇ χάριτι· [para]καὶ καθαιρεῖται καὶ καταπίπτει τοῦ σώματος τὰ πάθη· [para]ἡ ψυχὴ δὲ διαλάμπει ἀρεταῖς ταῖς πρὸς τὸ θεῖον. Ὅταν γὰρ τελείως πέσῃ ἡ πορνεία, ἡ σωφροσύνη ἵσταται· [para]τὸ χεῖρον οὖν ἔσβεσε, τὸ κρεῖττον δ’ ἀνέστησεν ὁ μόνος φιλάνθρωπος.

book 12 Ὑπὸ Χριστοῦ ἐνεργούμενος, προμηνύω σοι ὡς ἐντεῦθεν γενήσεται σημεῖον ἀντιλεγόμενον· ἔσται δὲ σημεῖον ὁ σταυρὸς ὅνπερ στήσουσι τῷ Χριστῷ οἱ παράνομοι· τὸν σταυρούμενον ἄλλοι Θεὸν μὲν κηρύξουσιν, ἄλλοι δὲ πάλιν ἄνθρωπον, [para]καὶ ἀσεβείας καὶ εὐσεβείας τὰ δόγματα κινοῦνται· [para]καὶ οὐράνιόν τινες μὲν ὑποπτεύσουσι τὸ σῶμα, ἄλλοι φαντασίαν· ἕτεροι δὲ πάλιν ἐκ σοῦ τὴν σάρκα ἄψυχον [para]καὶ ἕτεροι ἔμψυχον φασὶν ὡς ἀνέλαβεν ὁ μόνος φιλάνθρωπος.

book 13 Τοσοῦτον δὲ τὸ μυστήριον ἀντιλέγεται ὅτι ἐν διανοίᾳ σου γενήσεται ἀμφισβήτησις. Καὶ γὰρ ὅταν ἴδῃς τῷ σταυρῷ προσηλούμενον τὸν υἱόν σου, ἀμώμητε, μεμνημένη τῶν λόγων ὧν εἶπεν ὁ ἄγγελος καὶ τῆς θείας συλλήψεως [para]καὶ τῶν θαυμάτων τῶν ἀπορρήτων, ἀμφιβαλεῖς εὐθέως· [para]ὡς ῥομφαία δέ σοι ἔσται ἡ διάκρισις τοῦ πάθους· ἀλλὰ μετὰ ταῦτα ἴασιν ταχεῖαν ἐκπέμψει τῇ καρδίᾳ σου [para]καὶ τοῖς μαθηταῖς αὐτοῦ εἰρήνην ἀήττητον ὁ μόνος φιλάνθρωπος.»

book 14 Ὅτε δὲ ταῦτα ἐφθέγξατο πρὸς τὴν ἄμεμπτον, ὁ πρεσβύτης ὁ δίκαιος πρὸς τὸ παιδίον ἐβόησε· «Νῦν με ἀπολύεις ἐν εἰρήνῃ τὸν δοῦλόν σου, ὅτι εἶδόν σε, Κύριε· πρὸς ζωήν με ἀπόλυσον τὴν ἀτελεύτητον, ἡ ζωὴ ἡ ἀνείκαστος, [para]ἐπειδὴ τοῦτό μοι ἐπηγγείλω πρὶν ἔλθῃς ἐν τῷ κόσμῳ· [para]τοῦ οὖν λόγου σου τὸν ὅρον διατήρησόν μοι, Λόγε· πρὸς τὸν Ἀβραάμ με καὶ τοὺς πατριάρχας ἀπόστειλον, πανάγιε, [para]καὶ τῶν ἐπικήρων με ταχέως ἀπόλυσον, ὁ μόνος φιλάνθρωπος.

book 15

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔστι γάρ, ἔστι πολύστονα καὶ ἐπίμοχθα τὰ παρόντα ὡς πρόσκαιρα καὶ τέλος πάντως δεχόμενα· ὅθεν διὰ τοῦτο τοὺς δικαίους σου ἅπαντας τῶν ἐντεῦθεν μετέστησας· τὸν Ἐνὼχ καὶ Ἠλίαν θανάτου μὴ γεύσασθαι προμηθούμενος, Κύριε, ἐκ τῶν ἐνταῦθα μετατεθῆναι εὐδόκησας ἀρρήτως, [para]ἵνα ὦσιν ἐν χωρίοις φωτεινοῖς καὶ ἀστενάκτοις. Νῦν οὖν τῶν προσκαίρων χώρισόν με, κτίστα, καὶ τὴν ψυχήν μου πρόσδεξαι, [para]καὶ συγκαταρίθμησον κἀμὲ τοῖς ἁγίοις σου, ὁ μόνος φιλάνθρωπος.

book 16 Πάντων ζωὴ καὶ ἀνάστασις παραγέγονας διὰ σὴν ἀγαθότητα· τῆς οὖν ζωῆς με ἀπόλυσον ταύτης, ὁ Θεός μου, τῇ ζωῇ δὲ παράπεμψον τῇ ἀφθάρτῳ ὡς ἄφθαρτος· αἰσθητῷ μὲν θανάτῳ παράδος τὸ σῶμά μου ὥσπερ πάντων τῶν φίλων σου, [para]τὴν νοητὴν δὲ καὶ αἰωνίαν ζωήν μοι δός, οἰκτίρμων· [para]ὡς ἐν σώματί σε εἶδον καὶ βαστάσαι ἠξιώθην, ἴδω σου τὴν δόξαν τὴν σὺν τῷ πατρί σου καὶ τῷ ἁγίῳ πνεύματι· [para]κἀκεῖ γὰρ μεμένηκας καὶ ὧδε ἐλήλυθας, ὁ μόνος φιλάνθρωπος.»

book 17 Ὁ βασιλεὺς τῶν δυνάμεων προσεδέξατο τοῦ δικαίου τὴν δέησιν καὶ ἀοράτως ἐφθέγξατο· «Νῦν σε ἀπολύω τῶν προσκαίρων, ὦ φίλε μου, πρὸς χωρία αἰώνια· τῷ Μωσῇ καὶ τοῖς ἄλλοις προφήταις ἐκπέμπω σε· τούτοις πᾶσιν ἐξάγγειλον [para]ὅτι ὃν εἶπον ἐν προφητείαις, ἰδοὺ παρεγενόμην [para]καὶ ἐτέχθην ἐκ παρθένου, ὡς προήγγειλαν ἐκεῖνοι· ὤφθην τοῖς ἐν κόσμῳ καὶ συνανεστράφην ἀνθρώποις, ὡς ἐκήρυξαν· [para]ταχέως δὲ φθάνω σε λυτρούμενος ἅπαντας, ὁ μόνος φιλάνθρωπος.»

book 18 Σὲ δυσωποῦμεν, πανάγιε, ἀνεξίκακε, ἡ ζωὴ καὶ ἀνάκλησις, πηγὴ ἡ τῆς ἀγαθότητος, βλέψον οὐρανόθεν καὶ ἐπίσκεψαι ἅπαντας τοὺς ἀεὶ πεποιθότας σοι· ἐξ ὀργῆς καὶ ἀνάγκης καὶ θλίψεως λύτρωσαι τὴν ζωὴν ἡμῶν, Κύριε, [para]καὶ ἐν τῇ πίστει τῆς ἀληθείας ὁδήγησον τοὺς πάντας [para]ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ παρθένου. Σῶσόν 〈σου〉 τὸν κόσμον, σῶσόν σου τὴν ποίμνην, καὶ πάντας περιποίησαι, [para]ὁ δι᾽ ἡμᾶς ἄνθρωπος ἀτρέπτως γενόμενος, ὁ μόνος φιλάνθρωπος.

book pro Ἐν τῇ Βηθλεὲμ τεχθέντος τοῦ βασιλέως, [para]μάγοι ἐκ Περσῶν σὺν δώροις ἐπιδημοῦσι [para]δι᾽ ἀστέρος ἐξ ὕψους ὁδηγούμενοι· ἀλλ᾽ Ἡρώδης ταράσσεται καὶ θερίζει τὰ νήπια ὥσπερ σῖτον, ὀδυρόμενος ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 1 Τῶν ἄνω καὶ τῶν κάτω εὐφραινομένων, τί ἐστιν ἐν Ῥαμᾷ, ὅτι ἠκούσθη θρῆνος ἐκεῖ ἄμετρος; Ἰακὼβ ἐπαγάλλεται καὶ Ῥαχὴλ τί ὀδύρεται; [para]Ἰωσὴφ ἀνεγνωρίσθη, καὶ Ῥαχὴλ τί στενάζει; Βενιαμὶν ὑψώθη, τί κλαίει Ῥαχήλ; Δεῦτε οὖν ἴδωμεν τὸν ὀδυρμὸν καὶ τὸ πένθος· οὐ γὰρ τὰ πρῶτα θρηνεῖ παιδία, οὐ τὰ πραθέντα καὶ εὑρεθέντα [para]ἀλλ᾽ ἅπερ νῦν κατέσφαξεν Ἡρώδης ὁ ὠμότατος· τὸν χρόνον γὰρ ἠκρίβωσεν ἀστέρος τοῦ ἐκλάμψαντος, καὶ πέμψας εἰς Βηθλεὲμ ἀτεκνοῖ τὴν Ῥαχὴλ διὰ τὸ βρέφος Μαριάμ· [para]ἀλλ᾽ ἐκείνη ἐν χαρᾷ εὗρε πάλιν αὐτά, ὁ Ἡρώδης δὲ θρηνεῖ [para]ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 2 Ὁ φόβος ὃν ἀεὶ ἐπευλαβεῖτο νῦν ἐπῆλθεν αὐτῷ μὴ βουλομένῳ, καὶ ἅπερ οὐκ ἤλπιζε μελετήσας ἐξέμαθε τὸν προφήτην τὸν λέγοντα· [para]φησὶ γὰρ Ἠσαΐας· «Παιδίον ἐγεννήθη ἡμῖν, καὶ οὕτως υἱὸς ἐδόθη ἡμῖν· πάντων πατήρ ἐστι καὶ τῶν αἰώνων δεσπότης· ἐπὶ τῶν ὤμων τὴν ἀρχὴν ἔχει, τὸ ὄνομα δὲ αὐτοῦ καλεῖται μεγάλης βουλῆς ἄγγελος.» Θεὸς ἰσχυρὸς πέφυκεν ἐν θρόνῳ καὶ ἐν φάτνῃ τε καὶ πανταχοῦ ἀχώρητος.

book 2 Καλῶς οὖν δέδοικεν αὐτὸν ὁ Ἡρώδης φοβηθείς, καὶ ἠκρίβωσεν μαθεῖν [para]ποῦ ἐτέχθη ὁ φανεὶς βασιλεὺς τοῦ παντός, καὶ ἔμαθεν ἀψευδῶς [para]ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 3 Ὑπνώσας ἐν εἰρήνῃ ἄφνω ἠγέρθη, καὶ ἦν τεταραγμένος ὑπὸ δειλίας· φόβῳ γὰρ συνείχετο ὁ Ἡρώδης, καὶ ἔτρεμεν τοῦ τεχθέντος τὸ ὄνομα. [para]Μαθὼν γὰρ ἐκ τῶν μάγων τὴν δύναμιν τοῦ βρέφους, τῷ γέλωτι συμμείξας πένθος ἐκβοᾷ· «Ὢ τῶν ἀδοκήτων κακῶν, ὅτι βρέφος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτοοῦμαι. Ὢ τῶν ἀθλίων λογισμῶν, ὅτι παιδίον τρέμω ὅπερ οὐκ εἶδον. Πόντου καὶ γῆς ἐδέσποσα, καὶ νήπιον ταράττει με· τί οὖν τελέσω σήμερον; τί πράξω εἰς τὴν αὔριον;

book 3 Ἐξαίφνης πᾶσαν τὴν γῆν κατεφώτισεν ἀστήρ, καὶ ἐκήρυξεν αὐτὸν [para]βασιλέα ἰσχυρὸν καθαιροῦντα τὴν ἐμὴν βασιλείαν, καὶ θρηνῶ [para]ὅτι τὸ κράτος μου καθ〈αιρεῖται ταχύ.»〉

book 4 Τούτους τοὺς λόγους ἀπορῶν ἀπεφθέγγετο, καὶ κινῶν τοὺς λογισμοὺς ἐνεθυμεῖτο πῶς καθαιρεθήσεται διὰ τάχους τὸ νήπιον ὅπερ μάγοι ἐκήρυξαν· καὶ τὸν στρατὸν καλέσας, παρέχει παρρησίαν βοήσας πᾶσιν οὕτως τραχείᾳ φωνῇ· «Πορεύεσθε ταχὺ ἐπὶ τὰς πόλεις καὶ χώρας καθωπλισμένοι, γεγαυρωμένοι καὶ ἀσπλαγχνίαν ἐνδεδυμένοι, καὶ πάντα ἀποκτείνατε τῆς Βηθλεὲμ τὰ ἔκγονα· οὐκ ἔχει οὖν δυσκολίαν, οὐ δειλίαν ὁ πόλεμος·

book 4 πρὸς βρέφη πέμπω ὑμᾶς διετῆ καὶ τρυφερά· ὁ κωλύων οὐδεὶς [para]πρόσταγμα βασιλικόν· πάντες τρέμουσι λαοὶ καὶ οὐ λέγουσί ποτε [para]ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.»

book 5 Ἀκούσας ὁ στρατὸς τὰ εἰρημένα, ἀπεκρίθη παρευθὺς πρὸς τὸν Ἡρώδην· «Ταῦτα ἃ προσέταξας ἐκτελέσαι δεδοίκαμεν, μήπως γέλως γενώμεθα. [para]Ποῖος γὰρ τῶν ἀφρόνων ἀνθρώπων οὐ γελάσει ὅτι κατὰ νηπίων στρατευόμεθα; Εἰ Βηθλεέμ ἐστι 〈γῆ〉 τοῦ τεχθέντος παιδίου, κέλευσον ἡμᾶς, καὶ ὅλην τάχος διερευνῶμεν, βάρεις καὶ οἴκους. Οὐδείς σοι λέγει, δέσποτα· Μὴ φρόντιζε τοῦ πράγματος· οὐδείς σοι καταμέμφεται· ἐρευνῶν ἅπερ ἔμαθες, κατάδραμε, κατάδραμε τὸν ἐλθόντα ἐπὶ γῆς ἀπὸ τοῦ οὐρανοῦ. [para]Ἔθος ἦν τῇ Βηθλεὲμ προφέρειν βασιλεῖς· μὴ οὖν προσκρούσης αὐτῇ ὅτι τὸ κράτος σου καθαιρεῖται ταχύ.

book 6 Πρὸ χρόνου τὸν Δαυὶδ ἄνακτα μέγαν ἤνεγκεν ἡ Βηθλεέμ, ὃν γεννηθέντα φόβῳ ἐδειλίασε Γολιὰθ ὁ ἀλλόφυλος, ὡς ἡμεῖς τὸν τεχθέντα νῦν. [para]Εἰ οὖν δοκεῖ σοι, ἄναξ, ἐρευνηθήτω πᾶσα ἡ Βηθλεὲμ καὶ τόποι ὁρίων αὐτῆς, ὅτι ἐν τοῖς 〈ἐκεῖ〉 φονευομένοις νηπίοις τὸ γεννηθέντα εὕρωμεν βρέφος καὶ ἀνέλωμεν αὐτὸ σὺν τούτοις. Ὁ τόκος ἐδηλώθη σοι καὶ ὁ τόπος ἐγνώσθη σοι· οἱ μάγοι σε ἐχλεύασαν καὶ προφῆται ἐπτόησαν.

book 6 Νεῦσον οὖν τοῖς σοῖς παισὶ καὶ τὸν θέλοντα τὴν σὴν βασιλείαν ἀφελεῖν, [para]ἀφελώμεθα αὐτοῦ τὴν ζωὴν ἀπὸ γῆς, καὶ μὴ ἔσῃ δειλιῶν [para]ὅτι τὸ κράτος σου καθαιρεῖται ταχύ.»

book 7 Εὐθὺς ἐνωτισθεὶς τὰ εἰρημένα παρὰ τῶν στρατιωτῶν, ὁ παιδοκτόνος 〈ὥσπερ〉 πῦρ ἐγένετο καὶ βολίδας ἐξέπεμπεν τῆς ὀργῆς τὰ ὁρμήματα, [para]οὐ φλέγων ἐν ἀκάνθαις, ἀλλὰ φονεύων βρέφη καὶ καταμολύνων αἵμασι τὴν γῆν· ἐσείσθη γὰρ τὸν νοῦν καὶ ἐσκοτίσθη τὰς φρένας, οὐκ ἀπὸ μέθης, ἀλλ᾽ ἀπὸ φθόνου· βότρυς πικρίας αὐτὸς ὑπάρχων, τοὺς νέους κλάδους ἔτεμεν ὑπὲρ ἑνὸς ὁ ἄδικος, καὶ τούτους μὲν ἀπέκοψεν, ἐκεῖνον δὲ οὐκ ἔφθασεν·

book 7 καὶ διὰ τοῦτο θυμοῦ ἐνεπλήσθη χαλεποῦ, ὅτι ἤκουσεν φωνῆς [para]καθαιρούσης τὴν αὐτοῦ βασιλείαν ἀψευδῶς, καὶ διέμενε θρηνῶν ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 8 Ἰχνεύσας ἡ ἀλώπηξ τὸν μέγαν σκύμνον, διεγείρει κατ᾽ αὐτοῦ τοὺς κακοὺς κύνας ἔσωθεν καὶ ἔξωθεν Βηθλεὲμ περιτρέχοντας καὶ ζητοῦντας τὸ θήραμα· [para]τοὺς ἄρνας δὲ σπαράττει, οὐχὶ δὲ τὸν λέοντα· τῷ βλέμματι γὰρ τούτου οὐκ ἀντοφθαλμεῖ. Τὸν ἀετὸν γῦπες ἐπὶ τὰ ὄρη ἐζήτουν· ἦν δὲ ἐκεῖνος ἐν ἀποκρύφῳ, σκέπων καὶ θάλπων ταῖς αὐτοῦ πτέρυξι τὴν νοσσιὰν ἣν ἔκτισε χειρὶ ἰδίᾳ πρότερον, κἂν ἄρτι τοῦτον τέτοκε παρθένος, μήτηρ ἄνανδρος·

book 8 αὐτὸς γὰρ ταύτης πατὴρ καὶ τοῦ κόσμου ποιητὴς καὶ εἰρήνης φυτουργός· κἂν Ἡρώδης πολεμῇ κοπιῶν ἀνωφελῶς, θρηνήσει δὲ ἀψευδῶς ὅτι τὸ κράτος αὐ〈τοῦ καθαιρεῖται ταχύ.〉

book 9 Νεφέλης φωτεινῆς ἐφαπλουμένης κατὰ τῆς Ἰουδαίας καὶ σκιαζούσης, γνόφον σκοτεινότατον ὁ Ἡρώδης εἰσήνεγκε καὶ ἐσκότισεν ἅπαντας· [para]τὴν ἱλαρὰν γὰρ φύσιν τῶν παίδων καὶ γελῶσαν δεικνύει παραχρῆμα κλαίουσαν πικρῶς, τὴν πρὸ μικροῦ 〈ἔτι〉 εὐφραινομένην τῷ

τόκῳ τῆς παναχράντου ἁγνῆς Μαρίας, καὶ ἄρτι μᾶλλον ὀδυρομένην. Ὡς ἄνθος γὰρ αὐθήμερον ἐπὶ τὴν γῆν κατέπιπτεν, καὶ πᾶς ὁρῶν ὠδύρετο καὶ τῇ Ῥαχὴλ ἐμήνυεν·

book 9 «Δεῦρο κλαῦσον, Ῥαχήλ, καὶ συνθρήνησον ἡμῖν· μέλος ὀδυνηρὸν [para]ἀντὶ ᾄσματος τερπνοῦ, ἀντὶ ὕμνου γλυκεροῦ προσκομίσωμεν κλαυθμόν, [para] ὅτι τὸ κράτ〈ος αὐτοῦ καθαιρεῖται ταχύ.〉»

book 10 Ὁ ἦχος τῶν θρηνούντων τοὺς νέους παῖδας ὡς βροντὴ ἐπὶ γῆς κτύπον ἐποίει· βουνοὶ γὰρ καὶ φάραγγες καὶ κοιλάδες τῶν ὀρῶν ἀντηχοῦντες ὠλόλυζον· [para]τὴν οἰμωγὴν ἐκείνην ὥσπερ ἀφομοιοῦντες, συνέπασχον ἀλλήλοις συγκοπτόμενοι. Ἦν δὲ ἰδεῖν τότε πλήρης αἱμάτων τὴν γαῖαν, τὴν ἔρημόν τε καὶ ἀοικήτους, ὅτι καὶ μέχρι τούτων ἐκτείνει τὸν θυμὸν ὁ παράνομος καὶ ὄντως ὑπερήφανος· τὰς μητέρας γὰρ ἤλαυνεν, καὶ φθάνων ταύτας ἥρπαζεν ἐκ τῶν ἰδίων ἀγκαλῶν ὡς στρουθία νεοσσοὺς μέλος ᾄδοντα γλυκύ, [para]καὶ κατέσφαζεν αὐτά, μὴ νοῶν ὁ δυσμενὴς ὅτι καὶ ταῦτα ποιῶν [para]τὸ κράτος αὐτοῦ καταλυθήσεται ταχύ.

book 11 Ὑπήντων ταῖς μητράσι γυμνῷ τῷ ξίφει βασταζούσαις τὰ βρέφη οἱ στρατιῶται· φόβῳ δὲ πτοούμεναι, ἃ ἐβάσταζον ἔρριπτον ἅπερ πόθῳ ἐθήλαζον· [para]δειλὸν γὰρ φύσει ἐστὶν τὸ γένος τῶν θηλείων, εἰ καὶ προπετὲς πέλει καὶ θρασύτατον. Ὅθεν αἱ μὲν αὐτῶν τοὺς φονευτὰς ἐλιπάρουν καὶ τοὺς αὐχένας αὐτοῖς παρεῖχον, προτελευτῆσαι ἐπιθυμοῦσαι τῶν τέκνων ἤπερ ὄψεσθαι αὐτὰ κατασφαζόμενα· καὶ μάρτυς τούτου ἄξιος ἥτις μήτηρ ἐγένετο·

book 11 ὅθεν ἐβόων πικρῶς· «Ἀποκτείνετε αὐτά, ἀλλ’ ὁ κόλπος Ἀβραὰμ [para]ὑποδέξεται αὐτὰ ὡς τὸν Ἄβελ τὸν πιστόν· ὁ Ἡρώδης δὲ θρηνεῖ [para]ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖ〈ται ταχύ.〉»

book 12 Ῥαινόντων τῶν ἀνόμων ἀθῷον αἷμα τῶν ἀκάκων νηπίων, ἔδει μνησθῆναι Ἄβελ τοῦ προσάξαντος τὴν θυσίαν τῷ Θεῷ καθαρὰν καὶ ἀμόλυντον, [para]καὶ παραμυθηθῆναι· κἀκεῖνος γὰρ ἐκτάνθη. Καὶ πάλιν Ζαχαρίαν ἐχρῆν κατιδεῖν, ὡς τῷ Θεῷ ἐκεῖ κατηγορίαν προσάξει κατὰ τῶν τοῦτον ἀποκτεινάντων· ἀεὶ γάρ εἰσιν οἱ Ἰουδαῖοι καὶ οἱ τούτων ἀνάσσοντες ὑβρισταὶ καὶ παράνομοι, φονευταὶ καὶ ἀσυνετοὶ καὶ νόμον παραβαίνοντες·

book 12 τὸν Μωϋσῆν ἠθέτησαν, Ἠσαΐαν δὲ αὐτοὶ μέσον ἔπρισάν ποτε· [para]καὶ τὰ βρέφη τῆς Ῥαχὴλ κατασφάττουσι νῦν· διὰ τοῦτο καὶ θρηνοῦν [para]〈ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.〉

book 13 Ὢ κακία, ὢ μανία τοῦ βασιλέως. Ὢ ἀνοίκτιστος τρόπος, ὅτι νηπίοις πόλεμον ἐξήγειρε, καὶ τὸ γένος τὸ ἴδιον οὐδὲ ὅλως ᾠκτείρησε. [para]Τῶν τέκνων τῶν ἰδίων οὐχ ὑπεμνήσθη τότε, οὐδ’ ὅτι μία φύσις τοῖς πᾶσίν ἐστιν· οὐκ ᾤκτειρεν γονεῖς, ἀλλ’ ὀργισθεὶς ἐμεθύσθη καὶ ἑαυτόν τε πρῶτον ἠγνόει, καὶ τότε πάντας τοὺς ὁμοφύλους, ἐπιδραμὼν τοῖς ἅπασιν ὥσπερ θηρίον ἄγριον, ὅταν φεύγῃ τοὺς βάλλοντας παγίδας καὶ διώκοντας.

book 13 Πατέρες ἔκλαιον υἱοὺς καὶ μητέρες σὺν αὐτοῖς, καὶ οὐδὲν τὸν ἀναιδῆ [para]ἔμελε περὶ αὐτῶν, ἀλλ’ ἢ μόνον αὐτὸς τοῦτο ἐφρόντιζε θρηνῶν [para]ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖ〈ται ταχύ.〉

book 14 Μαχαίραις ἀνηλεῶς ἀπεκτάνθησαν, ὡς ἐν σχήματι φόνου, ἄμεμπτα βρέφη. Τὰ μὲν ἐκεντήθησαν ἀπρεπῶς καὶ ἀπέψυξαν, τὰ δὲ διεμερίσθησαν· [para]ἄλλα κάρας ἐτμήθη, τοὺς μασθοὺς τῶν μητέρων καθέλκοντα καὶ γάλα ποτιζόμενα, ὡς ἐκ τούτου λοιπὸν ἐν τοῖς μασθοῖς κρεμασθῆναι τὰ τῶν νηπίων σεπτὰ κρανία, καὶ τὰς θηλὰς δὲ κατασχεθῆναι ἔνδον αὐτῶν τοῦ στόματος τοῖς ὀδοῦσι τοῖς τρυφεροῖς. Διπλαῖ τότε γέγοναν ὀδύναι καὶ ἀφόρητοι ταῖς θηλαζούσαις γυναιξὶ διασπωμέναις φυσικῶς ὑπὸ παίδων διετῶν, [para]στερουμέναις δὲ αὐτῶν, ὡς φησὶν ὁ βασιλεύς· διὰ τοῦτο καὶ θρηνεῖ ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 15 Ἄωρον βότρυν ἐζήτει, δι’ ὃν ἐποίει οὐκ εὐκαίρως τρυγητὸν ὁ Ἡρώδης· χειμὼν γὰρ καθέστηκεν ὅτε τὸν ἀγεώργητον βότρυν Μαρία τέτοκεν, [para]καὶ σταφυλὴν οὐχ εὗρε, τοὺς ὄμφακας τρυγᾷ δέ. Ὁ γὰρ καρπὸς τῆς μόνης παρθένου ἁγνῆς μετὰ τῆς ἀμπέλου μέλλει εἰς Αἴγυπτον φεύγειν καὶ φυτευθῆναι καὶ καρπὸν δοῦναι· φεύγει δὲ χώραν τῶν Ἰουδαίων χερσεύουσαν καὶ ἄμεστον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈παντὸσ〉 καλοῦ ὑπάρχουσαν· τὸν Νεῖλον δὲ κατέλαβε τὸν καρποδότην πέλοντα, οὐχ ὡς Μωσῆς ἐν ποταμῷ καὶ τῷ ἕλει προσριφεὶς καὶ ἐν θίβει φυλαχθείς, [para]μᾶλλον δὲ ῥίψας ἐκεῖ ἅπαν εἴδωλον αὐτῶν, ὧν Ἡρώδης φίλος ὢν [para]τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.

book 16 Νημάτων καὶ δικτύων τότε πλακέντων τῷ νεβρῷ τῆς παρθένου καὶ θεοτόκου, ἡ παγὶς συντέτριπτο καὶ ὁ νεβρὸς ἐρρύετο κατασχίζων τὰ δίκτυα· [para]σὺν τῇ μητρὶ δὲ φεύγει ὡς ἄμωμον δορκάδιν εἰς Αἴγυπτον, ὡς ἔφη Μιχαίας ποτέ. Ὁ πανταχοῦ παρὼν καὶ κρατῶν πάντων, ποῦ φεύγεις; Ποῦ δὲ ὑπάγεις; Πρὸς τίνα πάλιν τὴν κατοικίαν τὴν σὴν ποιήσεις; Ποῖος οἶκος χωρήσει σε; Ποῖος δὲ τόπος φέρει σε; Οὐκ ἔστι κτίσις πώποτε ἀφανὴς τῷ σῷ βλέμματι, ἀλλὰ τὰ πάντα σοι γυμνά, ὅτι πάντων ποιητὴς σὺ ὑπάρχεις, Χριστέ· [para]τί οὖν φεύγεις, ἀγαθέ; Ὁ Ἡρώδης διὰ σὲ ἐποδύρεται θρηνῶν ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται 〈ταχύ.〉

book 17 Ὁ φεύγων φεύγει πάντως ἵνα λανθάνῃ εἰς τὸ μὴ γνωρισθῆναι τοῖς ἐκζητοῦσι· ἀλλ’ ὁ μόνος εὔσπλαγχνος, Ἰησοῦς ὁ σωτὴρ ἡμῶν, τῷ μὲν σχήματι ἔφυγε, [para]τοῖς ἔργοις δὲ τοῖς πᾶσι γνώριμος ἀνεδείχθη. Ἡνίκα γὰρ εἰσῆλθεν εἰς τὴν Αἴγυπτον, ἐσείσθησαν εὐθὺς τὰ χειροποίητα 〈πάντα〉 · ὁ ἐμβαλὼν γὰρ Ἡρώδῃ τρόμον καὶ τοῖς εἰδώλοις σεισμὸν εἰσάγει. Κόλποις μητρὸς ἐκρύπτετο καὶ ὡς Θεὸς εἰργάζετο· εἰς Αἴγυπτον ἐβάδιζε καὶ διηκόνει ἄγγελος ἐξ ὕψους τῇ φυγῇ αὐτοῦ· ἀπηλαύνετο ἑκὼν ὥσπερ βρέφος πενιχρόν, καὶ ὡς πλούσιος παντὶ ἐκηρύττετο, διὸ καὶ ὁ Ἡρώδης θρηνεῖ 〈ὅτι τὸ κράτος αὐτοῦ καθαιρεῖται ταχύ.〉

book 18 Ὑμεῖς οὖν, ἀδελφοί, δότε συγγνώμην τῇ ἐμῇ ῥαθυμίᾳ, καὶ ἀναστάντες δεῦτε προσκυνήσωμεν τῷ ἐλθόντι καὶ σώσαντι γένος ἅπαν ἀνθρώπινον, [para]βοῶντες μετὰ πόνου καρδίας τῷ δεσπότῃ ἐκ τοῦ ἀνθρωποκτόνου ῥυσθῆναι ἡμᾶς καὶ τῶν ἁμαρτιῶν ἀπαλλαγῆναι συντόμως καὶ μετανοίας εὑρεῖν τὴν τρίβον, ἐγώ τε πρῶτον ὁ λέγων ταῦτα· πολλὰ γὰρ ἐπλημμέλησα ἐν γνώσει καὶ ἀγνοίᾳ μου, καὶ τὸν Θεὸν παρώξυνα τοῖς ἀκαθάρτοις ἔργοις μου·

book 18 καὶ διὰ τοῦτο δυσωπῶ ὅπως στῆτε σὺν ἐμοί, καὶ βοήσωμεν θερμῶς· [para]«Ταῖς πρεσβείαις, ὁ Θεὸς, τῆς ἀχράντου σου μητρός, καὶ τῶν ἁγίων βρεφῶν, μή με χωρίσῃς τῆς βασιλείας σου, Χριστέ.»

book pro 1 Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, [para]καὶ τὸ φῶς σου, Κύριε, ἐσημειώθη ἐφ’ ἡμᾶς ἐν ἐπιγνώσει ὑμνοῦντάς σε· [para]«Ἦλθες, ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον.»

book pro 2 Ἐν τοῖς ῥείθροις βλέψας σε τοῦ Ἰορδάνου [para]βαπτισθῆναι θέλοντα, ὁ μέγας πρόδρομος, Χριστέ, ἐν εὐφροσύνῃ ἐκραύγαζεν· [para]«Ἦλθες, ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.»

book 1 Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν, τῇ τοῦ Ζαβουλὼν χώρᾳ καὶ τοῦ Νεφθαλεὶμ γαίᾳ, ὡς εἶπεν ὁ προφήτης, φῶς μέγα ἔλαμψε Χριστός· [para]τοῖς ἐν σκότει οὖσιν φαεινὴ ὤφθη αὐγὴ ἐκ Βηθλεὲμ ἀστράπτουσα, μᾶλλον δὲ ἐκ Μαρίας ὁ Κύριος πάσῃ τῇ οἰκουμένῃ ἀνατέλλει τὰς ἀκτῖνας, ὁ ἥλιος τῆς δικαιοσύνης. Διὸ οἱ ἐξ Ἀδὰμ γυμνοί, δεῦτε πάντες, ὑποδύωμεν αὐτὸν ἵνα θαλφθῶμεν· [para]σκέπη γὰρ γυμνοῖς καὶ αἴγλη ἐσκοτισμένοις ἦλθες, ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

book 2 Οὐχ ὑπερεῖδεν ὁ Θεὸς τὸν δόλῳ συληθέντα ἐντὸς τοῦ παραδείσου καὶ ἀπολελωκότα τὴν θεοΰφαντον στολήν· [para]ἦλθεν γὰρ πρὸς τοῦτον ἱερᾷ πάλιν φωνῇ καλῶν τὸν παρακούσαντα· «Ποῦ εἶ, Ἀδάμ; Ἀπάρτι μὴ κρύπτου με· θέλω θεωρεῖν σε, κἂν γυμνὸς εἶ, κἂν πτωχὸς εἶ· μὴ αἰσχυνθῇς, σοὶ γὰρ ὡμοιώθην· αὐτὸς ἐπιθυμῶν θεὸς οὐκ ἐγένου, ἀλλ’ ἐγὼ νῦν βουληθεὶς σὰρξ ἐγενόμην. [para]Ἔγγισόν μοι οὖν καὶ γνώρισον, ἵνα λέξῃς·

book 2 Ἦλθες, ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

book 3 Ὑπὸ τῶν σπλάγχνων τῶν ἐμῶν ἐκάμφθην, ὡς οἰκτίρμων, καὶ ἦλθον πρὸς τὸ πλάσμα προτείνων τὰς παλάμας ἵνα περιπτύξωμαί σε. [para]Μὴ οὖν αἰδεσθῇς με· διὰ σὲ γὰρ τὸν γυμνὸν γυμνοῦμαι καὶ βαπτίζομαι· ἤδη μοι Ἰορδάνης ἀνοίγεται, καὶ ὁ Ἰωάννης εὐτρεπίζει τὰς ὁδούς

μου ἐν ὕδασι καὶ ἐν διανοίαις.» Τοιαῦτα ὁ σωτὴρ οὐ λόγοις, ἀλλ’ ἔργοις πρὸς τὸν ἄνθρωπον εἰπὼν ἦλθεν, ὡς εἶπεν, [para]τῷ μὲν ποταμῷ τῷ βήματι προσεγγίζων, τῷ δὲ προδρόμῳ τὸ φῶς τὸ ἀπρόσιτον.

book 4 Τὸν ἐν ἐρήμῳ ποταμὸν καὶ δρόσον ἐν καμίνῳ καὶ ὄμβρον ἐν παρθένῳ ἰδὼν ὁ Ἰωάννης, ἐν Ἰορδάνῃ τὸν Χριστόν, [para]φόβῳ ἐταράχθη, ὡς ὁ γεννήτωρ αὐτοῦ τὸν Γαβριὴλ ἐτρόμαξεν· μείζω δὲ ἦν τὰ τότε τῶν πάντοτε· τότε γὰρ πρὸς δοῦλον ὁ δεσπότης τῶν ἀγγέλων ἐλήλυθε, θέλων βαπτισθῆναι· διὸ ὁ βαπτιστής, γνωρίσας τὸν πλάστην καὶ μετρήσας ἑαυτόν, ἔφησε φρίττων· [para]«Στεῖλον, λυτρωτά, ἀρκέσθητι μέχρι τούτου·

book 4 οἶδά σε τίς εἶ, τὸ φῶς τὸ ἀπρόσιτον.

book 5 Ἃ ἐπιτάσσεις μοι, σωτήρ, ἐὰν ἐπιτελέσω, τὸ κέρας μου ὑψώσω· ἀλλ’ ὅμως οὐχ ἁρπάσω τὰ ὑπὲρ τὴν δύναμίν μου. [para]Οἶδα τίς ὑπάρχεις καὶ ὃ ἦς οὐκ ἀγνοῶ· ἐκ μήτρας γὰρ γινώσκω σε· πῶς σε νῦν ἀγνοήσω φαινόμενον, ὅνπερ κεκρυμμένον κεκρυμμένος θεωρήσας ἐσκίρτησα ἐν ἀγαλλιάσει; Ἐπίσχες οὖν, σωτήρ, καὶ μή με βαρύνῃς· ἱκανὸν ὅτι ἰδεῖν σε ἠξιώθην· [para]ἔχει μοι καλῶς ἂν εἴπῃς με πρόδρομόν σου·

book 5 σὺ γὰρ ὑπάρχεις τὸ φῶς τὸ ἀπρόσιτον.

book 6 Παραχωρῆσαί σοι ζητῶ τὴν τοῦ βαπτιστοῦ τάξιν· αὐτὴ γάρ σοι καὶ πρέπει· ἐγὼ γὰρ χρείαν ἔχω τοῦ βαπτισθῆναι ὑπὸ σοῦ· [para]σὺ δὲ ἔρχῃ πρός με καὶ προλαμβάνων αἰτεῖς ἃ βούλομαι αἰτῆσαί σε. Τί ζητεῖς παρ’ ἀνθρώπου, φιλάνθρωπε; Τί τὴν κεφαλήν σου ὑποκλίνεις τῇ χειρί μου; Οὐκ ἔχει γὰρ ἔθος πῦρ κατέχειν, οὐκ οἶδεν ἡ πτωχὴ πλουσίῳ δανείζειν, ἰσχυρῷ ἡ ἀσθενὴς οὐκ ἀντερίζειν· [para]τοῖς ἁμαρτωλοῖς ὡς χρῄζουσι χρησιμεύει·

book 6 σὺ γὰρ ὑπάρχεις τὸ φῶς τὸ ἀπρόσιτον.

book 7 Ἐπέστης ῥείθροις διὰ τί; Τί θέλων ἀποπλῦναι, ἢ ποίας ἀνομίας ὁ δίχα ἁμαρτίας καὶ συλληφθεὶς καὶ γεννηθείς; [para]Σὺ μὲν ἔρχῃ πρός με· οὐρανὸς δὲ καὶ ἡ γῆ τηρεῖ εἰ προπετεύομαι· λέγεις μοι· Βάπτισόν με, ἀλλ’ ἄνωθεν ἄγγελοι σκοποῦσιν ἵνα τότε λέξωσί μοι· Γνῶθι σαυτόν· μέχρι ποῦ παρέρχῃ; Ὡς εἶπεν οὖν Μωσῆς, προχείρισαι ἄλλον εἰς αὐτὸ τοῦτο, σωτήρ, ὃ ἀπαιτεῖς με· [para]μεῖζόν μού ἐστιν καὶ δέδοικα· δέομαί σου, πῶς γὰρ βαπτίσω τὸ φῶς τὸ ἀπρόσιτον;»

book 8 Ἰδὼν ὁ πάντα προορῶν τὸν φόβον τοῦ προδρόμου, πρὸς τοῦτον ἀπεκρίθη· «Καλῶς, ὦ Ἰωάννη, καλῶς εὐλαβήθης ἐμέ· [para]ὅμως ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν πληρῶσαι ἃ προώρισα· ἄφες ἄρτι καὶ τέως ἀπόσεισαι ταύτην τὴν δειλίαν· λειτουργίαν χρεωστεῖς μοι καὶ δεῖ σε νῦν ταύτην ἐκπληρῶσαι. Ἐγὼ τὸν Γαβριὴλ ἀπέστειλα τότε, καὶ ὑπούργησε καλῶς τῇ σῇ γεννήσει· [para]πέμψον οὖν καὶ σὺ ὡς ἄγγελον τὴν παλάμην, ἵνα βαπτίσῃς τὸ φῶς τὸ ἀπρόσιτον.

book 9 Νῦν ἐπτοήθης, βαπτιστά, καὶ ἔφριξας τὸ δρᾶμα ὡς μέγα, καὶ γὰρ μέγα· μειζότερον δὲ τούτου κατεῖδεν ἡ σὴ συγγενίς· [para]βλέψον πρὸς Μαρίαν καὶ ἐνθυμήθητι πῶς ἐκείνη με ἐβάστασεν· πάντως ἐρεῖς μοι· Τότε ἠθέλησας. Οὕτως καὶ νῦν θέλω· μὴ διστάσῃς, βάπτισόν με, τὴν δεξιὰν μόνον δάνεισόν μοι· τὸ πνεῦμά σου οἰκῶ καὶ ὅλον σε ἔχω· τὴν παλάμην οὖν τὴν σὴν πῶς οὐ κιχρᾷς μοι; [para]Ἔνδον σού εἰμι καὶ ἔξωθεν· τί με φεύγεις;

book 9 Στῆθι καὶ κράτει τὸ φῶς τὸ ἀπρόσιτον.

book 10 Οὐκ ἀπαιτῶ σε, βαπτιστά, τοὺς ὅρους ὑπερβῆναι· οὐ λέγω σοι· Εἰπέ μοι ἃ λέγεις τοῖς ἀνόμοις καὶ παραινεῖς ἁμαρτωλοῖς. [para]Μόνον βάπτισόν με σιωπῶν καὶ προσδοκῶν τὰ ἀπὸ τοῦ βαπτίσματος· Ἕξεις γὰρ διὰ τοῦτο ἀξίωμα ὅπερ οὐχ ὑπῆρξεν τοῖς ἀγγέλοις· καὶ γὰρ πάντων τῶν προφητῶν μείζω σε ποιήσω. Ἐκείνων μὲν σαφῶς οὐδείς με κατεῖδεν, ἀλλ’ ἐν τύποις καὶ σκιαῖς καὶ ἐνυπνίοις· [para]νῦν δὲ ἐπὶ σοῦ ἱστάμενον κατὰ γνώμην βλέπεις, κατέχεις τὸ φῶς τὸ ἀπρόσιτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 11 Ὑπέρθου τοῦτο ὃ λαλεῖς καὶ δρᾶσον ὃ ἀκούεις· μηδέν μοι μαρτυρήσῃς· ἐμοὶ γὰρ ἀεὶ μάρτυς ἐν οὐρανῷ ἐστι πιστός· [para]σοῦ τὴν μαρτυρίαν ὁ ἑστὼς οὗτος λαὸς εἰκὸς οὐ παραδέχεται. Ἄφες οὖν οὐρανόθεν διδάσκωνται τίς εἰμι καὶ τίνος γόνος πέλω, τί δὲ μέλλω χαρίζεσθαι τοῖς ἀγαπητοῖς μου· ἀνοίγω οὐρανούς, κατάγω τὸ πνεῦμα· χορηγῶ τοῦτο αὐτοῖς εἰς ἀρραβῶνα. [para]Δεῦρο οὖν λοιπόν, προσέγγισον, ἵνα μάθῃς πόθεν ἀστράπτει τὸ φῶς τὸ ἀπρόσιτον.»

book 12 Ῥητῶν ἀρρήτων καὶ φρικτῶν ἀκούσας ὁ ἐκ στείρας, φησὶ τῷ ἐκ παρθένου· «Ἐὰν ἔτι λαλήσω, μὴ ὀργισθῇς μοι, λυτρωτά· ἤδη γὰρ ἀνάγκη παρασκευάζει ἐμὲ πολὺ παρρησιάζεσθαι. Τί οὖν, σωτήρ, ἵν’ οὗτοι σὲ μάθωσιν, κίνδυνον ἐπάξω τῇ χειρί μου τῇ ἀθλίᾳ, εἰς κλίβανον ταύτην ἐπιρρίπτων; Καὶ τότε μὲν Ὀζᾶν ἐξέτεινε χεῖραν ἐπισχεῖν τὴν κιβωτὸν καὶ διεκόπη· [para]νῦν δὲ κεφαλὴν κρατοῦντα τὴν τοῦ Θεοῦ μου πῶς με οὐ φλέξει τὸ φῶς τὸ ἀπρόσιτον;

book 13 Ὦ βαπτιστὰ καὶ ἐριστά, μὴ εἰς ἀντιλογίαν, ἀλλὰ πρὸς λειτουργίαν συντόμως εὐτρεπίζου· ἰδοὺ γὰρ ὄψει ἃ τελῶ· ὧδε ζωγραφῶ σοι τὴν τερπνὴν καὶ φαεινὴν μορφὴν τῆς ἐκκλησίας μου, νέμων τῇ δεξιᾷ σου τὴν δύναμιν ἥνπερ μετὰ ταῦτα χορηγήσω ταῖς παλάμαις τῶν μαθητῶν καὶ τῶν ἱερέων. Δεικνύω σοι σαφῶς τὸ ἅγιον πνεῦμα, καὶ φωνὴν τὴν τοῦ πατρὸς ἀκουτιῶ σοι γνήσιον υἱὸν δηλοῦσάν με καὶ βοῶσαν·

book 13 Οὗτος ὑπάρχει τὸ φῶς τὸ ἀπρόσιτον.»

book 14 Μετὰ δὲ ταῦτα τὰ φρικτά, ὁ γόνος Ζαχαρίου ἐβόησε τῷ πλάστῃ· «Ἐγὼ οὐκ ἀντερίζω, ἀλλ’ ὃ κελεύεις μοι τελῶ.» [para]Ταῦτα λέξας τότε, τῷ σωτῆρι προσελθὼν δουλοπρεπῶς ἠτένιζεν, βλέπων εὐλαβῶς μέλη γυμνούμενα τοῦ ἐντελλομένου ταῖς νεφέλαις περιβάλλειν τὸν οὐρανὸν δίκην ἱματίου, καὶ πάλιν θεωρῶν ἐν μέσῳ τῶν ῥείθρων τὸν ἐν μέσῳ τῶν τριῶν παίδων φανέντα, [para]δρόσον ἐν πυρὶ καὶ πῦρ ἐν τῷ Ἰορδάνῃ λάμπον, πηγάζον, τὸ φῶς τὸ ἀπρόσιτον.

book 15 Ἀλλὰ τὰ θαύματα ὁρῶν, ὁ γόνος Ζαχαρίου ἐν τάξει ἱερέως παρίσταται τοῖς ῥείθροις καὶ τὸν Χριστὸν χειροθετεῖ, [para]κράζων τοῖς ὁρῶσι· «Τὴν ἑκούσιον βροχὴν ἐν Ἰορδάνῃ βλέπετε, τῆς τρυφῆς τὸν χειμάρρουν, ὡς γέγραπται, ἐν ταῖς διεξόδοις τῶν ὑδάτων θεωρεῖτε, ἐν ποταμῷ θάλασσαν μεγάλην. Μηδεὶς οὖν τολμηρὸν νομίσῃ με εἶναι· οὐ τελῶ ὡς προπετής, ἀλλ’ ὡς οἰκέτης· [para]Κύριός ἐστιν καὶ εἶπέ μοι· Τοῦτο δρᾶσον, ὅθεν βαπτίζω τὸ φῶς τὸ ἀπρόσιτον.

book 16 Νωθρόν με ὄντα ὡς βροτὸν αὐτὸς ὡς Θεὸς πάντων ἐνεύρωσε βοήσας· Ἐπίθες μοι τὴν χεῖραν, κἀγὼ ἐνισχύσω αὐτήν. [para]Πῶς γὰρ ἠδυνάμην, εἰ μὴ ἦν τοῦτο αὐτὸ ὃ εἶπεν καὶ ἐγένετο, πῶς εὐτόνουν βαπτίσαι τὴν ἄβυσσον, πήλινος ὑπάρχων, εἰ μὴ πρῶτον ἐδεξάμην καὶ ἔλαβον δύναμιν ἐξ ὕψους; Αἰσθάνομαι γὰρ νῦν, αὐτοῦ μοι παρόντος, ὅτι οὗ ἤμην τὸ πρὶν πλέον ὑπάρχω, [para]ἄλλο τι εἰμί, ἠλλοίωμαι, ἐδοξάσθην βλέπων, κατέχων τὸ φῶς τὸ ἀπρόσιτον.

book 17 Οὐκέτι λέγω ὡς τὸ πρίν· Οὐ λύω τὸν ἱμάντα τῶν σῶν ὑποδημάτων. Ἰδοὺ γὰρ ἐκ βημάτων ἐπὶ τὴν κάραν προχωρῶ· [para]γῆν πατῶ οὐκέτι, ἀλλ’ αὐτὸν τὸν οὐρανόν· ἃ γὰρ τελῶ οὐράνια· μᾶλλον δὲ καὶ τὰ ἄνω παρέδραμον· ταῦτα γὰρ βαστάζει, ἀλλ’ οὐ βλέπει ὃν βαστάζει· ἐγὼ δὲ νῦν βλέπω καὶ βαστάζω. Εὐφραίνου, οὐρανέ, καὶ γῆ, ἐπαγάλλου· ἁγιάσθητε, πηγαὶ αἱ τῶν ὑδάτων· [para]πάντα γὰρ φανεὶς ἐπλήρωσεν εὐλογίας, πάντας φωτίζει τὸ φῶς τὸ ἀπρόσιτον.»

book 18 Ὑπερεπῆρεν οὖν τὸν νοῦν τῇ θείᾳ διατάξει ὁ γόνος Ζαχαρίου, καὶ τείνας τὴν παλάμην ἐπιτιθεῖ τῷ βασιλεῖ, [para]λούει τοῦτον ῥείθροις καὶ λοιπὸν ἄγει εἰς γῆν τὸν γῆς καὶ πόλου κύριον, ὅντινα οὐρανόθεν ὑπέδειξεν φθόγγῳ, ὡς δακτύλῳ, ὁ βοήσας· «Οὗτός ἐστιν ὁ υἱὸς ὁ ἀγαπητός μου.» Αὐτῷ οὖν τῷ πατρὶ καὶ τῷ βαπτισθέντι υἱῷ καὶ τῷ αὐτοῦ πνεύματι κράζω· [para]«Θραῦσον, λυτρωτά, τοὺς θλίβοντας τὴν ψυχήν μου, παῦσον τοὺς πόνους, τὸ φῶς τὸ ἀπρόσιτον.»

book pro Τὴν σωματικήν σου παρουσίαν δεδοικώς, ὁ Ἰορδάνης φόβῳ ὑπεστρέφετο· [para]τὴν προφητικὴν δὲ λειτουργίαν ἐκπληρῶν, ὁ Ἰωάννης τρόμῳ ὑπεστέλλετο· τῶν ἀγγέλων αἱ τάξεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξεπλήττοντο, [para]ὁρῶσαί σε ἐν ῥείθροις βαπτιζόμενον· [para]καὶ πάντες οἱ ἐν σκότει κατηυγάζοντο [para]ὑμνοῦντές σε τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 1 Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδὲμ ἐφάνη ἥλιος ἐκ Βηθλεέμ, καὶ ἤνοιξεν αὐτοῦ τὰς κόρας ἀποπλύνας αὐτὰς Ἰορδάνου τοῖς ὕδασιν· τῷ μεμελανωμένῳ καὶ συνεσκοτισμένῳ φῶς ἀνέτειλεν ἄσβεστον· οὐκέτι αὐτῷ νύξ, ἀλλὰ πάντα ἡμέρα· τὸ πρὸς πρωῒ πρωῒ δι' αὐτὸν ἐγεννήθη· [para]δειλινὸν γὰρ ἐκρύβη, ὡς γέγραπται· εὗρεν αὐγὴν φωτίζουσαν αὐτὸν ὁ πρὸς ἑσπέραν πεσών, [para]ἀπηλλάγη τοῦ γνόφου καὶ προέκοπτε πρὸς ὄρθρον τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 2 Ὅτε ἑκὼν ἐπηρώθη Ἀδὰμ καρποῦ γευσάμενος τυφλοποιοῦ, εὐθέως ἄκων ἐγυμνώθη· [para]ὡς τυφλὸν γὰρ εὑρὼν ὁ πηρώσας ἀπέδυσεν· ἦν οὖν γυμνὸς καὶ πῆρος, καὶ ψηλαφῶν ἐζήτει [para]κατασχεῖν τὸν ἐκδύσαντα· ἐκεῖνος δὲ αὐτὸν θεωρῶν ἐπεγέλα [para]πῶς ἔτεινε παντὶ τὰς παλάμας, καὶ ᾔτει [para]τὸν χιτῶνα κἂν μετὰ τὴν γύμνωσιν. Ὅθεν ἰδὼν ὁ φύσει συμπαθής, ἦλθε πρὸς τοῦτον βοῶν· [para]«Γυμνωθέντα καὶ πῆρον δέχομαί σε· δεῦρο πρός με τὸν φανέντα καὶ φωτίσαντα πάντα.»

book 3 Ὕμνησον, ὕμνησον τοῦτον, Ἀδάμ, προσκύνησον τὸν ἐλθόντα πρὸς σέ· ἐφάνη γάρ σοι, ὡς ἐχώρεις [para]θεωρῆσαι αὐτόν, ψηλαφῆσαι καὶ δέξασθαι. Οὗτος ὃν ἐφοβήθης, ὅτε ἐξηπατήθης, [para]διὰ σὲ ὡμοιώθη σοι· κατέβη ἐπὶ γῆς ἵνα λάβῃ σε ἄνω, [para]ἐγένετο θνητὸς ἵνα σὺ Θεὸς γένῃ [para]καὶ ἐνδύσῃ τὴν πρώτην εὐπρέπειαν· θέλων ἀνοῖξαι πάλιν τὴν Ἐδέμ, ᾤκησε τὴν Ναζαρέτ· [para]διὰ ταῦτα οὖν ᾆσον, ἄνθρωπε, καὶ ψάλλων τέρπε τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 4 Τῷ Ἀβραὰμ ὅτε ὤφθη Θεὸς πρὸς τῇ δρυῒ καθημένῳ Μαμβρῇ, ὡς ἄγγελος ἐθεωρήθη, [para]μὴ γνωρίσας αὐτὸν ὅπερ ἦν, οὐ γὰρ ἔφερεν· νῦν δὲ ἡμῖν, οὐχ οὕτως, ἀλλὰ αὐτοπροσώπως· [para]ὁ γὰρ Λόγος σὰρξ γέγονεν. Τὸ αἴνιγμα ἐκεῖ, τὸ σαφὲς δὲ ἐνταῦθα· [para]πατράσιν αἱ σκιαί, πατριάρχαις εἰκόνες, [para]τοῖς δὲ τέκνοις αὐτὴ ἡ ἀλήθεια. Ὤφθη Θεός ποτε τῷ Ἀβραάμ, ἀλλ' οὐ μὴν εἶδε Θεόν. [para]ἀλλ' ἡμεῖς θεωροῦμεν ὅτι θέλει, καὶ κρατοῦμεν τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 5 Ἄνω τῆς κλίμακος εἶδεν Θεόν, ἀλλ' ὄναρ ἔβλεπεν ὁ Ἰακώβ· ἐπάλαισεν αὐτῷ τὴν νύκτα [para]οὐχὶ φύσις Θεοῦ, ἀλλ' ἀνθρώπου ὁμοίωμα· νῦν δὲ οὐχ ὁμοιώσεις, ἀλλ' ἀληθιναὶ πράξεις [para]πρὸς τὸ γένος συνέστησαν τὸ ὅραμα τὸ πρίν, καὶ ὁ τότε παλαίσας [para]ἐνώπιον ἐλθὼν ἐνωπίως ἐφάνη [para]γρηγοροῦντι τῷ κόσμῳ καὶ νήφοντι, οὐ φαντασία, οὐδ' ἐνύπνιον· οὐ γάρ ἐσμεν τῆς νυκτός· [para]ἐν ἡμέρᾳ ὁρῶμεν Λόγον σεσωματωμένον, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 6 Πάνυ θαρρῶν ἀγαπᾶσθαι Μωσῆς ἐζήτει τὸν ἀγαπῶντα ἰδεῖν καὶ ἔλεγε μεθ' ἱκεσίας· «Εἰ ἠγάπησάς με, σεαυτόν μοι ἐμφάνισον.» Ὅμως οὐκ ἠξιώθη ὄψεως, ἀλλὰ νώτου, καὶ αὐτὸ οὐκ εἰς τέλειον· ὀπὴ γὰρ ἦν μικρὰ δι' ἧς εἶδεν ἃ εἶδεν· πῶς δὲ ἔστιν ἰδεῖν δι' ὀπῆς τὸν ὁρῶντα, εἰ μὴ μέρος ὧν θέλει θεάσασθαι; Δόξα σοι, ὅτι ὅλον σεαυτὸν ἔδειξας πᾶσιν ἡμῖν, οὐκ ἐκ μέρους, ἀλλὰ σῶον θεωροῦμέν σε τὸν πλάστην τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 7 Ἔφησεν ὅτι κατεῖδεν Θεὸν ὁ τοῦ Ἀμὼς Ἠσαΐας ποτὲ ἐν ὕψει θρόνου ἐπηρμένον [para]καὶ τῆς δόξης αὐτοῦ πεπλησμένον τὸ οἴκημα· εἶδεν ἐν κατανύξει πνεύματος, ὡς προφήτης, [para]οὐκ ἐν ὄμμασι σώματος· ἡμεῖς δὲ σαρκικοῖς ὀφθαλμοῖς θεωροῦμεν Κύριον σαβαὼθ καὶ τῶν ἐξαπτερύγων [para]ὑμνῳδίαν αὐτῷ ἀναπέμπομεν· «Ἅγιος, ἅγιος ὁ σαρκωθείς, ἅγιός ἐστι Θεός· [para]ἁγιάζωμεν τρίτον ἕνα ἅγιον ἁγίων, τὸν φανέντα καὶ φωτίσαντα πάντα.»

book 8 Ἴσχυσαν ὄμματα τῶν γηγενῶν οὐράνιον θεωρῆσαι μορφήν· κατεῖδον βλέφαρα πηλίνων [para]τοῦ ἀΰλου φωτὸς τὴν ἀκτῖνα τὴν ἄσκιον, ἥντινα οἱ προφῆται καὶ βασιλεῖς οὐκ εἶδον,

[para]ἀλλ’ ἰδεῖν ἐπεθύμησαν. Τῶν ἐπιθυμιῶν ἀνὴρ ἐπωνομάσθη [para]ὁ μέγας Δανιήλ, ἐπειδὴ ἐπεθύμει [para]ἀτενίσαι εἰς ὃν ἀτενίζομεν. Ἐπιποθήσας ἐπεπόθησε τοῦτο τὸ κρῖμα Δαυίδ, [para]καὶ ὃ ἦν κεκρυμμένον νῦν ἔστι κατανοῆσαι, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 9 Νέος ἐφάνη ἡμῖν οὐρανὸς ἐφ’ ὃν ἐπέβη ὁ πάντων Θεός· τὸ σῶμα γὰρ τοῦ ἀσωμάτου [para]οὐρανὸν οὐρανοῦ ὁ προφήτης ἐκάλεσεν. Εἴτε γὰρ ἐγεννήθη, εἴτε ἐσπαργανώθη, οὐρανός ἐστιν ἄμωμος· ἐστὶ μὲν οὐρανός, οὐκ οὐράνιον σῶμα· [para]ἐκ γὰρ τῆς Μαριὰμ τῆς παρθένου ἐτέχθη [para]καὶ ἡνώθη Θεῷ, ὡς οὐκ οἴδαμεν· οὐ φανταζόμεθα γάρ, ὡς πολλοὶ λέγοντες· «Εἴδομεν Θεόν.» [para]Ὁ δοκῶν γὰρ εἰδέναι οὔπω ἔγνω ὡς ὀφείλει τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 10 Ὄφελον ἔγνωμεν τὰ καθ’ ἡμᾶς· οὐδὲν ἡμῖν καὶ τοῖς ὑπὲρ ἡμᾶς· ἐγγὺς ἡμῶν ἐστι τὸ ῥῆμα· [para]τί ζητοῦμεν μακρὰν ἀπελθεῖν, ἵνα μάθωμεν; Ἔχομεν ἐν τῇ πίστει πᾶν ὃ ἐπιζητοῦμεν· [para]ποῦ μετεωριζόμεθα; Εὐθεῖα ἡ ὁδός· μήτις ἡμᾶς πλανήσῃ, [para]ὑπέδειξεν ἡμῖν ἡ Μαρία τὴν τρίβον· [para]ὑϊὸν γὰρ ἐκάλει τὸν Κύριον, υἱὸν αὐτῆς καὶ ὄντως ἐξ αὐτῆς, ὡς ἐδιδάχθημεν νῦν, [para]σαρκωθέντα ἐκ ταύτης καὶ ἐκ Πνεύματος ἁγίου, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 11 Ὕψωσον κέρας ἡμῶν, Ἰησοῦ· κρατοῦμεν γὰρ ἀκεραίως τὰ σά, κηρύττοντες ἐν παρρησίᾳ· [para]«Μεθ’ ἡμῶν ὁ Θεός· γνῶτε, ἔθνη, καὶ σύνετε ὅπερ καὶ ὁ προφήτης ἔφησε· Ὄψονταί σε [para]λαοί, καὶ ὠδινήσουσιν.» Ἰδοὺ ὠδίναμεν καὶ ἐτέκομεν πνεῦμα [para]τῆς σωτηρίας σου ὃ ἐποίησας πᾶσιν· [para]ἐπὶ γῆς γὰρ λαλοῦμεν οὐράνια· εἶδέ σε πᾶσα σάρξ, καὶ ὡς τὸ πρὶν πάλιν ἀνέθαλε νῦν· [para]ἐφαιδρύνθη ἡ κτίσις κατιδοῦσά σε τὸν κτίστην, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 12 Ῥήγνυται νῦν ὁ πενθήρης χιτών· ἐλάβομεν τὴν στολὴν τὴν λευκὴν ἣν ὕφανεν ἡμῖν τὸ πνεῦμα [para]ἀπὸ πόκων ἁγνῶν τοῦ ἀμνοῦ καὶ Θεοῦ ἡμῶν. Ἤρθη ἡ ἁμαρτία, δέδοται ἀφθαρσία, [para]ἐμφανὴς ἡ ἀνάκλησις· ὁ πρόδρομος αὐτὴν ἐνεφάνισε λέγων· [para]«Ἴδε νῦν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ λαμβάνων [para]τὰ τοῦ κόσμου παντὸς ἁμαρτήματα.» Ἔδειξε πᾶσι χάρτην δωρεᾶς τοῖς χρεωστοῦσι πολλά· [para]ὁ ἐκ μήτρας σκιρτήσας νῦν κηρύξας ἐφανέρου τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 13 Ὢ τοῦ κηρύγματος τοῦ βαπτιστοῦ καὶ τοῦ αἰνίγματος τοῦ ἐν αὐτῷ· ἀμνὸν γὰρ λέγει τὸν ποιμένα [para]καὶ ἀμνὸν οὐχ ἁπλῶς, ἀλλὰ λύοντα πταίσματα· ἔδειξε τοῖς ἀνόμοις ὅτι ἀργὸς ὁ τράγος [para]ὃν εἰς ἔρημον ἔπεμπον. «Ἰδού, φησίν, ἀμνός, νῦν οὐ χρεία τοῦ τράγου· [para]ἐπίθετε αὐτῷ τὰς παλάμας οἱ πάντες, [para]ἁμαρτίας ὑμῶν ἀναγγέλλοντες· ἦλθε γὰρ ἆραι σὺν ταῖς τοῦ λαοῦ καὶ τὰς τοῦ κόσμου παντός· [para]οὐρανόθεν τὸ δῶρον ὁ πατὴρ ἔπεμψε πᾶσιν τὸν φανέντα καὶ φωτίσαντα πάντα.»

book 14 Μέγα μυστήριον χριστιανοῖς· οὐδὲν ἀμάρτυρόν ἐστιν ἐν σοί· ἐκ πάντων ἔχεις βεβαιώσεις· [para]ἀπὸ πάσης γραφῆς θεοπνεύστου συνίστασαι· πάντες σοι μαρτυροῦσι, νόμος καὶ οἱ προφῆται, [para]οἱ πατέρες δὲ μάλιστα ἑκάστης γενεᾶς· σὺ τὸ ἅλας εὑρέθης, [para]ἀρτύων τοῖς πιστοῖς ἀδιάφθορον βρῶμα, [para]οὗ φαγόντες οὐ μὴ ἀποθάνωμεν· ἤρτυσας ἔδεσμα τῷ Ἰσαὰκ ὥσπερ ἐφίλει φαγεῖν, [para]καὶ εὐλόγει τὸ τέκνον ἐντυπῶν ταῖς εὐλογίαις τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 15 Ἄρωμεν ἅπαντες τοὺς ὀφθαλμοὺς πρὸς Κύριον τὸν ἐν τοῖς οὐρανοῖς, βοῶντες ὡς Ἰερεμίας· [para]«Ὁ ὀφθεὶς ἐπὶ γῆς, οὗτός ἐστιν Θεὸς ἡμῶν, ὅστις καὶ τοῖς ἀνθρώποις θέλων συνανεστράφη», [para]καὶ τροπὴν οὐχ ὑπέμεινεν ὁ δείξας ἑαυτὸν ἐν μορφαῖς τοῖς προφήταις, [para]ὃν Ἰεζεκιὴλ ἐπὶ πύρινον ἅρμα [para]ὥσπερ εἶδος ἀνδρὸς ἐθεάσατο, καὶ Δανιὴλ ἀνθρώπου ὑϊὸν καὶ παλαιὸν ἡμερῶν, [para]τὸν ἀρχαῖον καὶ νέον ἕνα Κύριον κηρύττων τὸν φανέντα καὶ φωτίσαντα πάντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 16 Νύκτα ἠφάνισε τὴν ἀμειδῆ καὶ ἔδειξε μεσημβρίαν τὸ πᾶν· κατηύγασε τὴν οἰκουμένην [para]τὸ ἀνέσπερον φῶς, Ἰησοῦς ὁ σωτὴρ ἡμῶν· χώρα Ζαβουλωνία ἐστὶν ἐν εὐθηνίᾳ [para]καὶ μιμεῖται παράδεισον· ποτίζει γὰρ αὐτὴν τῆς τρυφῆς ὁ χειμάρρους [para]καὶ βρύει ἐν αὐτῇ τὸ ἀείζωον νᾶμα [para]ὃ οἱ πρῶτοι οὐχ εὗρον ὀρύξαντες φρέαρ τοῦ ὅρκου, φρέαρ τῆς Συχέμ, ἀλλ' οὐ πηγὴν τῆς ζωῆς· [para]ἐν δὲ τῇ Γαλιλαίᾳ φλέβαν ζῶσαν θεωροῦμεν, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 17 Ὄψομαι οὖν σε κἀγώ, Ἰησοῦ, φωτίζοντα τὴν διάνοιάν μου καὶ λέγοντα τοῖς λογισμοῖς μου· [para]«Οἱ διψῶντες ἀεί, δεῦτε πρός με καὶ πίετε.» Ἄρδευσον τὴν καρδίαν τὴν τεταπεινωμένην, [para]ἣν ὁ πλάνος συνέτριψεν· κατέτηξεν αὐτὴν ἐν λιμῷ καὶ ἐν δίψῃ, λιμῷ οὐ βρώματος οὐδὲ δίψῃ πομάτων, [para]ἀλλ' ἀκοῦσαι τῶν λόγων τοῦ πνεύματος· οὐ γὰρ εὑρίσκει τὸν διδάσκοντα οὔτε μανθάνοντα νῦν· [para]ὅθεν στένει σιγῶσα, δικαστήν σε προσδοκῶσα τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book 18 Ὕμνησα τὴν ἐπιφάνειάν σου· σημεῖον ποίησόν μοι ἐμφανές, καθάρισόν με τῶν κρυφίων· [para]τὰ γὰρ ἄδηλά μου διαφθείρει με τραύματα· πέμψον ἀθεωρήτως τῇ ἀφανεῖ πληγῇ μου [para]τὴν ἀόρατον ἔμπλαστρον. Προσπίπτω σοι, σωτήρ, καθάπερ ἡ αἱμόρρους, [para]ἁπτόμενος κἀγὼ τοῦ κρασπέδου καὶ λέγων· [para]«Ἐὰν μόνον κρατήσω, σωθήσομαι.» Μὴ ματαιώσῃς οὖν τὴν πίστιν μου, ὁ τῶν ψυχῶν ἰατρός· [para]ἐκκαλύπτω τὸ ἄλγος, εὕρω σε εἰς σωτηρίαν τὸν φανέντα καὶ φωτίσαντα πάντα.

book pro Ὁ τὸ ὕδωρ εἰς οἶνον ὡς δυνατὸς μεταποιήσας, [para]τὴν ἐξ ἁμαρτημάτων συνέχουσάν με θλῖψιν [para]εἰς χαρὰν μεταποίησον διὰ τῆς Θεοτόκου, Χριστὲ ὁ Θεός, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 1 Τὴν παρθενίαν τιμήσας Θεὸς γαστέραν ᾤκησε παρθενικήν· τεχθεὶς δὲ ἐξ αὐτῆς ἀσπόρως, [para]τῆς ἁγνείας αὐτῆς τὰς σφραγῖδας οὐκ ἔλυσεν· οὗτος τὴν ἐκκλησίαν ἄμωμον καὶ παρθένον [para]ἑαυτῷ ἐμνηστεύσατο. Ἡ μήτηρ οὖν Χριστοῦ καὶ παρθένος καὶ νύμφη, [para]παρθένος καὶ αὐτός· ἡ παστὰς δὲ ἁγία, [para]οὐρανὸν γὰρ νυμφῶνα εἰργάσατο. Κἂν οὖν ἐτέχθη ἐκ παρθενικῆς καὶ παναγίας γαστρός, [para]οὐ βδελύττεται ὅμως τὰς τῶν γάμων συζυγίας ὁ τὰ πάντα 〈ἐν σοφίᾳ ποιήσας.〉

book 2 Ὅθεν ὁ ἄμοιρος γάμου θνητοῦ, ὁ μόνος ἅγιος καὶ φοβερὸς θαλάμῳ γαμικῷ ἐπέστη, [para]ὡς ὁ θεῖος ἡμᾶς Ἰωάννης [ἐδίδα]ξεν ὅτι ὁ ἀνυμφεύτους διαδραμὼν ὠδῖνας [para][ἐν τοῖ]ς γάμοις ἐλήλυθεν, ὁ ἐπὶ Χερουβὶμ ἐποχούμενος [ὤμοι]ς, [para]ἐν κόλποις τοῦ Πατρὸς ἀχώριστος ὑπάρχων, [para]ἐν στι[βάδι] φθαρτῇ ἀνεκλίνετο· συνεστιάθη τοῖς ἁμαρτωλοῖς [ὁ ἁ]μαρτίαν μὴ γνούς, [para]ἵνα δείξῃ τὸν γάμον τίμιον τῇ παρουσίᾳ ὁ τὰ πάντα 〈ἐν σοφίᾳ ποιήσας.〉

book 3 [Ἔν]θεν εἰκότως λαβὼν ἀφορμὰς ὁ μέγας ἔγραψε Παῦ[λο]ς βοῶν ὡς τίμιός ἐστιν ὁ γάμος [para]καὶ τοῦ γάμου ἡ κοίτη ὑπάρχει ἀμίαντος· καὶ γὰρ διὰ τοῦ γάμου λάμπουσιν αἱ παρθένοι· διὰ γάμου γὰρ τίκτονται. Ἡ Θεοτόκος γὰρ καὶ ἁγία παρθένος [para]καὶ ἔμεινεν ἁγνὴ μετὰ τόκον παρθένος, [para]ἀλλὰ γάμος αὐτὴν ἀπεκύησεν, ὡς καὶ τὸ πλῆθος τῶν διὰ Χριστὸν παρθενευσάντων ἀεὶ [para]διὰ γάμου ἐτέχθη, ὃν ἡγίασεν ἐκ μήτρας ὁ τὰ πάντα 〈ἐν σοφίᾳ ποιήσας.〉

book 4 Πρόκειται νῦν καὶ τὸ θαῦμα εἰπεῖν ὃ πρῶτον ἔπραξεν ἐν τῇ Κανᾷ ὁ πρώην Αἰγυπτίοις δείξας [para]καὶ Ἑβραίοις αὐτοῖς τῶν θαυμάτων τὴν δύναμιν. Τότε μὲν γὰρ εἰς αἷμα ἡ τῶν ὑδάτων φύσις [para]θαυμαστῶς μετεβάλλετο· δεκάπληγον ὀργὴν Αἰγυπτίοις ἐπῆξε, [para]τὴν θάλασσαν βατὴν τοῖς Ἑβραίοις παρέσχεν, [para]ἣν ὡς χέρσον σπουδαίως διώδευσαν· ἐν τῇ ἀνύδρῳ ὕδωρ χορηγεῖ ἀπὸ τῆς πέτρας αὐτοῖς· [para]ἐν τοῖς γάμοις δὲ ἄρτι φύσιν πάλιν μεταβάλλει ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 5 Ὅτε τοῖς γάμοις παρῆν ὁ Χριστὸς καὶ εὐωχεῖτο ἀνθρώπων πληθύς, ἐπέλειψεν αὐτοῖς ὁ οἶνος, [para]καὶ εἰς λύπην αὐτοῖς ἡ χαρὰ μετεβάλετο· ἤχθετο ὁ νυμφίος, καὶ οἱ οἰνοχοοῦντες [para]ἐψιθύριζον ἄπαυστα, καὶ μία ἦν αὐτοῖς τραγῳδία πενίας, [para]καὶ θόρυβος παρῆν οὐ μικρὸς τῷ θαλάμῳ· [para]ὃν καὶ γνοῦσα Μαρία ἡ πάναγνος ἦλθεν εὐθὺς καὶ λέγει τῷ υἱῷ· «Οἶνον οὐκ ἔχουσιν· [para]ἀλλὰ δέομαι, τέκνον, δεῖξον ὅτι πάντα δύνῃ, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.»

book 6 Σὲ δυσωποῦμεν, παρθένε σεμνή, ἐκ ποίων ἔγνως θαυμάτων αὐτοῦ ὡς δύναται ὁ ὑϊός σου [para]σταφυλὴν μὴ τρυγήσας τὸν οἶνον χαρίζεσθαι, οὔπω θαυματουργήσας πρώην, ὡς Ἰωάννης [para]ὁ θεσπέσιος ἔγραψεν; Ἐκδίδαξον ἡμᾶς πῶς μὴ θεασαμένη, [para]πῶς θαύματος αὐτοῦ μὴ λαβοῦσα τὴν πεῖραν, [para][προ]σκαλεῖσαι αὐτὸν πρὸς τὰ θαύματα· οὐ γὰρ ἁπ[λῆ ἡ αἴ]τησις νυνί ἐστιν ἐν τούτῳ ἡμῖν, [para]ὅτι πῶς τῷ υἱῷ σου· «Δ[ὸς] αὐτοῖς, ἐβόας, οἶνον, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.»

book 7 Ῥήματα μάθωμεν ἃ πρὸς ἡμᾶς ἡ μήτηρ λέγει τοῦ πάν[των] Θεοῦ· «Ἀκούσατε, φησίν, ὦ φίλοι, [para]συνετίσθητε πάντες καὶ γ[νῶ]τε μυστήρια. Εἶδον τὸν ὑϊόν μου ἤδη θαυματουργοῦντα [para][καὶ] πρὸ τούτου τοῦ θαύματος· οὐδέπω ἦν αὐτοῦ μαθητὴς Ἰωάννης· [para]οὐδέπω γὰρ οὐκ ἦν τῷ Χριστῷ μαθητεύσας, [para]ὅτ[ε] ταῦτα ἐποίει τὰ θαύματα· πρώτην αὐτοῦ θαυμάτω[ν ἀ]παρχὴν ταύτην τεθέαται [para]ἐν Κανᾷ γεναμένην, ὥσπ[ερ] οἶδεν ὁ υἱός μου, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 8 Ὥστε ἐπείπερ ἐκεῖνα οὐδεὶς ἀνθρώπων ἔχει εἰς πίστιν σαφῶς ταῖς βίβλοις μὴ ἐγγεγραμμένα [para]αἷς αὐτοῦ οἱ αὐτόπται τῆς χάριτος ἔγραψαν, ταῦτα μὲν παραλείψω· ἅψομαι δὲ μειζόνων [para]ὧνπερ ἔχω τὴν εἴδησιν. Ἐπίσταμαι ἐγὼ ὅτι ἄνδρα οὐκ ἔγνων, [para]καὶ ἔτεκον υἱὸν ὑπὲρ φύσιν καὶ λόγον, [para]καὶ ὡς ἤμ[ην] παρθένος μεμένηκα· τούτου τοῦ τόκου μεῖζον οὖν ζητεῖς θαῦμα, ὦ ἄνθρωπε; [para]Γαβριὴλ μοι ἐπέστη λέγων πῶς γεννᾶται οὗ[τος] ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 9 Μετὰ τὴν σύλληψιν εἶδον ἐγὼ τὴν Ἐλισάβετ καλοῦσαν ἐμὲ μητέρα 〈τοῦ〉 Θεοῦ πρὸ τόκου· [para]Συμεὼν δὲ ἐμὲ μετὰ τόκον ἀνύμνησεν, Ἄννα με ἀνευφήμει· μάγοι δὲ ἐκ Περσίδος [para]πρὸς τὴν φάτνην ἐξέδραμον, οὐράνιος ἀστὴρ προμηνύων τὸν τόκον· [para]ἐκήρυττον χαρὰν μετ’ ἀγγέλων ποιμένες, [para]καὶ ἡ κτίσις σὺν τούτοις ἠγάλλετο· τί τῶν θαυμάτων τούτων ἐκζητεῖν μεῖζον δυνήσομαι, [para]καὶ ἐντεῦθεν πιστεύω ὅτι ἐστὶν ὁ υἱός μου 〈ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας;»〉

book 10 Ἀλλ’ ὁ Χριστὸς τὴν μητέρα ἰδὼν «Παράσχου, λέγουσαν, χάριν ἐμοί», καὶ εἶπεν πρὸς αὐτὴν εὐθέως· [para]«Τί ἐμοὶ καὶ σοί, γύναι; Οὐχ ἥκει ἡ ὥρα μου.» Τοῦτον τινὲς τὸν λόγον πρόφασιν ἀσεβείας [para]ἑαυτοῖς κατεσκεύασαν, οἱ λέγοντες Χριστὸν ὑποκεῖσθαι ἀνάγκαις, [para]οἱ φάσκοντες αὐτὸν καὶ ταῖς ὥραις δουλεύειν, [para]οὐ νοοῦντες τοῦ λόγου τὴν ἔννοιαν· ἀλλ’ ἐνεφράγη στόμα ἀσεβῶν τῶν μελετώντων κακά, [para]ἐπειδὴ παραχρῆμα καὶ τὸ θαῦμα διεξῆλθεν ὁ τὰ πάντα 〈ἐν σοφίᾳ ποιήσας.〉

book 11 »[Νῦν] ἀποκρίθητι, τέκνον», φησὶν ἡ πάναγνος μήτηρ τοῦ Ἰησοῦ· «ὁ [μέτ]ροις χαλινῶν τὰς ὥρας, [para]πῶς τὰς ὥρας ἐκδέχει, [υἱ]έ μου καὶ Κύριε; Πῶς δὲ καιρὸν προσμένεις, σὺ ὁ νομοθετήσας [para][τοῖ]ς καιροῖς διαστήματα, ὁ κτίστης ὁρατῶν ὁμοῦ καὶ ἀοράτων, [para]ἡμέρᾳ καὶ νυκτὶ ὁ ἀλύτους βραβεύσας [para]ὡς δυνάστης τροπάς, ὡς ἠθέλησας; Κύκλοις εὐτάκτοις τοὺς ἐνιαυτοὺς σὺ περιέγραψας· πῶς καιρὸν ἀναμένεις πρὸς τὸ θαῦμα 〈ὃ〉 αἰτῶ σε, 〈ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας;〉

book 12 —Οἶδα πρὶν μάθῃς, παρθένε σεμνή, ὡς οἶνος ἔλειψε τούτοις νυνί,», ὁ ἄφραστος καὶ ἐλεήμων [para]τῇ πανσέμνῳ μητρὶ παρευθὺς ἀπεκρίνατο. «Οἶδά σου τῆς καρδίας πάσας τὰς ἐνθυμήσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]ἃς ἐν τούτῳ ἐκίνησας· καὶ γὰρ ἐν ἑαυτῇ ἐλογίσω τοιαῦτα· [para]ἡ χρεία νῦν καλεῖ τὸν υἱόν μου πρὸς θαῦμα, [para]καὶ προφάσει ὡρῶν ἀναβάλλεται. Μήτηρ ἁγνή, τὸν τῆς ἀναβολῆς νῦν ἐκδιδάχθη[τι] νοῦν· [para]ὅταν τοῦτον γὰρ μάθῃς, δώσω σοι τὴν χάριν πάντως, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 13 Ὕψωσόν σου πρὸς τοὺς λόγους τὸν νοῦν καὶ γνῶθι, ἄφθορε, ἅπερ ἐρῶ· ἡνίκα γὰρ ἐκ τῶν μὴ ὄντων [para]οὐρανόν τε καὶ γῆν καὶ τὰ πάντα παρήγαγον, ὅλα τὰ παραχθέντα τότε διακοσμῆσαι [para]παραχρῆμα ἐξίσχυον· ἀλλ' εὔτακτόν τινα συνεισήγαγον τάξιν· [para]συνέστη γὰρ ἐν ἓξ τὰ κτισθέντα ἡμέραις, [para]οὐκ ἐπείπερ οὐ δυνατὸς πέφυκα, ἀλλ' ἵν' ἀγγέλων βλέπων ὁ χορὸς ἃ κατὰ μέρος ποιῶ [para]ἐκθειάζεται ᾄδων, ὑμνῶν· Δόξα σοι, δυνάστα, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 14 Ταῦτα σαφῶς ἐνωτίζου, σεμνή, ὡς ἠδυνάμην ἑτέρᾳ ὁδῷ λυτρώσασθαι τοὺς πεπτωκότας [para]καὶ μὴ δούλου, πτωχοῦ τὴν μορφὴν καταδέξασθαι· ὅμως δὲ ἠνεσχόμην πρῶτον μὲν συλληφθῆναι [para]καὶ τεχθῆναι ὡς ἄνθρωπος καὶ γάλακτος λαβεῖν ἐκ μαζῶν σου, παρθένε, [para]καὶ πάντα δ' ἐν ἐμοὶ κατὰ τάξιν προέβη· [para]παρ' ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄτακτον. Οὕτως καὶ νῦν τὸ θαῦμα βούλομαι τάξει εὐτάκτῳ ποιεῖν, [para]ὃ ἐυδ[όκησα] πράττειν πρὸς ἀνθρώπων σωτηρίαν, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 15 Ἅπαντα σύνες ἃ λέγω, σεμνή· νυνὶ γὰρ ἤθελον πρ[ῶτον] ἐγὼ κηρῦξαι τοῖς Ἰσραηλίταις [para]καὶ διδάξαι αὐτοὺς τὴν [ἐλ]πίδα τῆς πίστεως, ἵνα πρὸ τῶν θαυμάτων οὗτοι ἐκ[διδα]χθῶσιν [para]ὅτι τίς με ἀπέστειλε, καὶ γνῶσιν ἀσφαλῶς τοῦ [πατρός] μου τὴν δόξαν [para]καὶ τούτου τὴν βουλήν, ὅτι βούλεται πάν[τως] [para]σὺν αὐτῷ με ἐκ πάντων δοξάζεσθαι· ἃ ὁ γεννήσας γ[ὰρ] ἐμὲ ποιεῖ, ταῦτα ποιῶ καὶ ἐγώ, [para]ὁμοούσιος τούτου καὶ τοῦ πνεύματος ὑπάρχων, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 16 Πάντα γὰρ ταῦτα̲ ει̲ ἔγνωσαν αὐτοὶ ἡνίκα θαύματα εἶδ[ον] φρικτά, ἐγίνωσκον ὅτι ὑπάρχω [para]πρὸ αἰώνων Θεός, κἂν γεγένημαι ἄνθρωπος· νῦν δὲ παρὰ τὴν τάξιν, πρὸ τῆς διδασκαλίας, [para]ἐπεζήτησας θαύματα, καὶ διὰ τοῦτό σοι μικρὸν ἀν[ε]βαλλόμην, [para]καὶ τοῦ θαυματουργεῖν ἐπεζήτουν τὴν ὥραν [para]διὰ ταύτην καὶ μόνην τὴν πρόφασιν· ἀλλ' ὅτι χρὴ τιμᾶ[σθαι] τοὺς γονεῖς παρὰ τῶν τέκνων αὐτῶν, [para]θεραπεύσω σε, μῆτερ· δύναμαι γὰρ πάντα πράττειν, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book 17 Εἰπὲ οὖν τάχος τοῖς ἐν τῇ οἰκίᾳ ἵν' ὑπουργήσωσι τοῖς παρ' [ἐ]μοῦ, καὶ ἔσονται μετὰ ταῦτα [para]ἑαυτοῖς καὶ τοῖς ἄλλοις τοῦ θαύματος μάρτυρες· Πέτρον γὰρ ὑπουργῆσαι, ἀλλ' οὐδὲ Ἰωάννην, [para]οὐκ Ἀνδρέαν νῦν βούλομαι, οὐκ ἄλλον οὐδένα τῶν ἐμῶν ἀποστόλων, [para]ἵνα μὴ γεννηθῇ δι' αὐτῶν τοῖς ἀνθρώποις [para]ὑποψία ἐντεῦθεν φαυλότητος, ἀλλὰ αὐτοὺς νῦν θέλω ὑπουργεῖν τοὺς ὑπηρέτας ἐμοί, [para]ἵν' αὐτοὶ μαρτυροῦσιν ὅτι πάντα ἐξισχύω, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.»

book 18 Ἴξασα τούτοις ἡ μήτηρ Χριστοῦ τοῖς ὑπηρέταις τοῦ γάμου εὐθὺς ἐφθέγξατο σὺν προθυμίᾳ· «Ἅπερ λέγει ὑμῖν ὁ υἱός μου ποιήσατε.» Τότε δὲ ἓξ ὑδρίαι, ὡς ἡ γραφὴ διδάσκει, ἐν τῷ οἴκῳ ἀπέκειντο· τοῖς ὑπηρέταις οὖν ὁ Χριστὸς ἐπιτάττει, «Γεμίσατε, λέγων, τὰς ὑδρίας ὕδατος.» [para]Καὶ εὐθέως τὸ ἔργον ἐγένετο· [τὰς γὰρ ὑ]δρίας ὕδατος ψυχροῦ πάσας ἐπλήρωσαν, καὶ εἱ[στήκεσαν] γνῶναι τί βουλεύεται πρὸς τοῦτο ὁ τὰ πάντα ἐν 〈σοφίᾳ ποιήσας.〉

book 19 [Νῦν] ὑδρίας ἐπαινέσω ἐγὼ πῶς ἀπεδείχθησαν οἴνου [μεσταί], πῶς ἀθρόον ἡ τῶν ὑδάτων [para]μεταχώνευσις οὕτως [αἰφνί]διον γέγονε. Τότε γὰρ ὁ δεσπότης εἶπεν τοῖς ὑπηρέταις [para][φανερ]ῶς, καθὼς γέγραπται· «Ἀντλήσατε ὑμεῖς μὴ τρυγή[σαντ]ες οἶνον· [para]ποτίσατε λοιπὸν τοὺς ἀνακεκλιμένους, [para][τὰς ἀ]βρόχους φιάλας ἀρδεύσατε· ἀπολαυέτω πᾶσα ἡ [πλη]θὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ νυμφίος αὐτός· [para]παραδόξως γὰρ πᾶσιν ἔ[δωκα] τὴν εὐφροσύνην, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.»

book 20 [Ὅτε τὸ] ὕδωρ εἰς οἶνον Χριστὸς σαφῶς μετέβαλεν ὡς δυνατός, [κατευφρ]άνθη ἅπαν τὸ πλῆθος, [para]θαυμασίαν τὴν γεῦσιν αὐτοῦ ἡγησάμενοι· ἄρτι δὲ ἐν τῷ δείπνῳ τῷ ἐν τῇ ἐκκλησίᾳ [para]ἀ[νακλί]νομεν ἅπαντες· εἰς αἷμα γὰρ Χριστοῦ μεταβάλλεται οἶνος, [para][καὶ π]ίνομεν αὐτὸν εὐφροσύνῃ ἁγίᾳ [para]τὸν νυμφίον τὸν μέ[γαν δο]ξάζοντες· ὁ γὰρ νυμφίος ὁ ἀληθινὸς ὁ ἐκ Μαρίας [ἐστίν], [para]ὁ προάναρχος Λόγος ὁ λαβὼν μορφὴν τοῦ δούλου, ὁ τὰ πάντα 〈ἐν σοφίᾳ ποιήσας.〉

book 21 [Ὕψι]στε ἅγιε, πάντων σωτήρ, τὸν οἶνον φύλαξον τὸν ἐν ἡμῖν [ἀν]όθευτον, ὡς παντεπόπτης· [para]κακοδόξους δὲ πάντας [ἐντ]εῦθεν ἀπέλασον, οἵτινες ὡς πανοῦργοι μίσγουσί σου [τὸν] οἶνον [para]τὸν πανάγιον ὕδατι· τὸ δόγμα γὰρ τὸ σὸν ἀεὶ ἐξυ[δαρ]οῦντες, [para]κατάκριτοί εἰσι τῷ πυρὶ τῆς γεέννης· [para]ἀλλὰ [ῥῦσ]αι ἡμᾶς, ἀναμάρτητε, τοῦ ὀδυρμοῦ τῆς κρίσεως τῆς [σῆς], ὡς ἐλεήμων Θεός, [para]ταῖς εὐχαῖς τῆς ἁγίας Θεοτόκου καὶ παρθένου, ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας.

book pro Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν ὁ Κύριος, ἡ Σαμαρεῖτις ἠρώτα τὸν εὔ[σπ]λαγχνον· [para]«Παράσχου μοι τὸ ὕδωρ τῆς πίστεως, καὶ λήψομαι τῆς κολυμβήθρας τὰ νάματα, ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.»

book 1 [Τὸ] τάλαντον τὸ δοθέν σοι, ψυχή μου, μὴ ἀποκρύψῃς, ἵνα μὴ τῆς ῥαθυμίας ὑπενέγκῃς τὴν αἰσχύνην, ἐν ἡμέρᾳ 〈ἐν〉 ᾗ κρί[νει] ὁ Θεὸς τὴν οἰκουμένην. Ἐρχόμενος γὰρ τότε, τὸ χρῆμα παραχρῆμα ἀπαιτήσει σε· οὐχ ὅσον ἐκομίσω, ἀλλ’ ὅσον ἐ[πο]ρίσω ψηφίσας μεθοδεύσει σε· σὺν τόκῳ γὰρ τὸ δάνειον παρ’ ἑκάστου λαμβάνει· ψυχή μου, μὴ ἀμέλει, ψυχή μου, ἐμπορεύου, ψυχή μου, δὸς καὶ λάβε, [para]ἵν’ ὅταν ἔλθῃ ὁ βασιλεύς σου, [ἀν]τὶ τῆς πραγματείας σοι παράσχῃ ἀγαλλίασιν καὶ ἀπολύ[τρωσιν.]

book 2 [Οὐκ] ἦς ἀξία τοῦ ἔχειν, καὶ ἔχεις ἅπερ κατέχεις· σοὶ τὴν χάριν [ἄλλ]ου δόντος μὴ οὖν ὄκνει τοῖς αἰτοῦσιν 〈μεταδοῦναι,〉 ὡς μετέδωκέ ποτε ἡ Σαμαρεῖτις. Ἀντλήσασα γὰρ μόνη παρέσχε καὶ ἑτέ[ροις] οὗπερ ἔλαβεν· οὐδεὶς αὐτὴν ᾐτεῖτο, καὶ πᾶσιν ἐδωρεῖτο ἀφθόνως τοῦ χαρίσματος· διψᾷ καὶ δαψιλεύεται, μὴ πιοῦσα ποτίζει· ἀγμὴν μὴ γευσαμένη, ἀλλ’ ὡς μεμεθυσμένη τοῖς ὁμοφύλοις κράζει· [para]«Δεῦτε, ὁρᾶτε νᾶμα ὃ εὗρον·

book 2 μὴ οὗτος 〈ἄρα〉 πέλει ὁ παρέχων ἀγαλλίασιν καὶ ἀπολύτρωσιν;»

book 3 Ὑδάτων οὖν ἀθανάτων ὧν ἡ πιστὴ Σαμαρεῖτις γέγονε μὲν ὡς εὑροῦσα ἡμεῖς ἄρτι πιόντες 〈οἱ διψῶντες,〉 ἐρευνήσωμεν καλῶς ὅλας τὰς φλέβας· μικρὸν δὲ καὶ τὰς λέξεις τὰς τοῦ εὐαγγελίου ἀναλάβωμεν, Χριστὸν σοφῶς ὁρῶντες τὸ ὕδωρ ὅπερ πάλαι ἡ Σαμαρεῖτις ἔπιεν, καὶ πῶς αὕτη ἐξ ὕδατος ὕδωρ ἄλλο παρέσχε, καὶ τίνος χάριν τότε διψῶντα οὐ ποτίζει, καὶ τί ἦν τὸ κωλῦον. [para]Πάντα γὰρ ταῦτα τὸ μεγαλεῖον, ἡ βίβλος, περιέχει καὶ παρέχει ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.

book 4 Τί οὖν διδάσκει ἡ βίβλος; Χριστός, φησίν, ὁ πηγάζων [para]π[ηγ]ὴν ζωῆς τοῖς ἀνθρώποις, ἀπὸ τῆς ὁδοιπορίας κοπ[ιάσας] ἐπεκάθητο πηγῇ τῆς Σαμαρείας, καὶ καύσωνος ἦν ὥρα· ὡς ἕκτη γὰρ ὑπῆρχε, καθὼς γέγραπται, μεσ[ού]σης τῆς ἡμέρας, Μεσσίας ὅτε ἦλθε τοὺς ἐν νυκτὶ κατ[αυ]γᾶσαι· πηγὴ πηγὴν κατέλαβεν, ἀποπλύνων, οὐ πίν[ων·] κρουνὸς ἀθανασίας τῷ ῥείθρῳ τῆς ἀθλίας ὡς ἐνδ[εὴς] ἐπέστη· κάμνει βαδίζων ὁ ἐν θαλάσσῃ πεζεύσας ἀκ[αμά]τως, ὁ παρέχων ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.

book 5 Ἀλλ’ ὅτε ἦν ὁ οἰκτίρμων ἐπὶ τὸ φρέαρ, ὡς εἶπον, τότε γύνη Σαμαρεῖτις ἐπὶ ὤμων τὴν ὑδρίαν ἦρε καὶ ἦλθεν ἐξελθοῦσα τὴν Συχάρ, πόλιν ἰδίαν. Καὶ τίς οὐ μακαρίζει τὴν ἔξοδον ἐκείνης καὶ τὴν εἴσοδον; Ἐξῆλθε γὰρ ἐν ῥύπῳ, εἰσῆλθε δὲ [ἐν] τύπῳ τῆς ἐκκλησίας ἄμωμος· ἐξῆλθε καὶ ἐξήντλησε τὴν ζωὴν ὥσπερ σπόγγος· ἐξῆλθεν ὑδροφόρος, εἰσῆλθε θεοφόρος· καὶ τίς οὐ

μακαρίζει [para]τοῦτο τὸ θῆλυ, μᾶλλον δὲ σέβει τὴν ἐξ ἐθνῶν, τὸν τύπον, τὴν λαβοῦσαν ἀγαλλίασιν καὶ ἀπολύτρωσιν;

book 6 Προσῆλθεν οὖν ἡ ὁσία καὶ ἤντλησεν ἐν σοφίᾳ· τὸν γὰρ δεσπότην ἰδοῦσα κεκμηκότα καὶ διψῶντα καὶ βοῶντα· «Γύναι, δός μοι πιεῖν», οὐκ ἐτραχύνθη, ἀλλ’ εἶπεν εἰλημμένως· «Καὶ πῶς σύ, Ἰουδαῖος ὤν, ᾐτήσω με;» Ὑπέμνησε τὸ δόγμα, μετέπειτα τὸ πόμα φρονίμως ἐπηγγείλατο. Οὐκ εἶπε γάρ· «Οὐ δίδωμι ἀλλοφύλῳ σοι πίνειν», ἀλλ’ εἶπεν· «Πῶς ᾐτήσω;» ὡς ποτὲ τῷ ἀγγέλῳ ἡ Θεοτόκος ἔφη·

book 6 «Πῶς ἔσται τοῦτο; Πῶς ὁ ἀμήτωρ μητέρα με λαμβάνει ὁ παρέχων ἀγαλλίασιν καὶ ἀπολύτρωσιν;»

book 7 Ἰδού μοι δύο εἰκόνων ζωγράφος ἡ Σαμαρεῖτις ἐκ τῆς Συχὰρ ἀνεφάνη· ἐκκλησίας, Σαμαρείας. Διὰ τοῦτο μὴ παρέλθωμεν αὐτήν· ἔχει γὰρ τέρψιν. Λεγέτω οὖν τὸ θῆλυ καὶ πάλιν πρὸς τὸν πλάστην· «Πῶς ᾐτήσω με; Ἐάν σοι δώσω πίνῃς, πιὼν δὲ μεταβαίνῃς τὸν Ἰουδαϊκὸν θεσμόν, καὶ λήψομαι ἐξ ὕδατος σὲ ὁμόφρονα ἄνδρα.» Ὅτι καλοί οἱ λόγοι τῆς Σαμαρ[είτιδος]· ὑποσκιογραφοῦσιν [para]ἐπὶ τὸ φρέαρ τὴν κολυμ[βήθραν] ἐξ ἧς λαμβάνει δούλην ὁ παρέχων ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.

book 8 »[Νῦν ἄκου]σόν μου, ὦ γύναι, ὁ Ἰησοῦς ἀνεβόα· εἰ ᾔδεις τὴν δωρεάν [μου] καὶ τίς ἐστιν ὁ εἰπών σοι· Ὕδωρ δός μοι, σὺ ἂν ᾔτησας αὐ[τὸν] νάματα ζῶντα· ὕδωρ γὰρ ζῶν παρέχει.» Πρὸς ταῦτα ἀ[πεκ]ρίθη ἀμφιβάλλουσα· «Οὐκ ἄντλημα βαστάζεις, βαθὺ δὲ καὶ [τὸ φρ]έαρ· καὶ πόθεν σοι τὰ ὕδατα; Μὴ μείζων εἶ ἢ κάλλιον Ἰα[κὼβ] τοῦ γενέτου; Αὐτὸς γὰρ ἡμῖν ταύτην τὴν πηγὴν πρὶν πα[ρέσχε·] καὶ πῶς σὺ λέγεις ἄρτι· [para]Ἔχω σοι δοῦναι νάματα ζῶντα [οὐ] λήγοντα διδοῦντα τῷ αἰτοῦντι ἀγαλλίασιν καὶ ἀπολύτρωσιν;

book 9 —Οὐκ οἶδας, γύναι, ὃ λέγω, οὐκ ἔφθασας ὅπου θέλω· διὸ τὰ [ὦτά] σου κλῖνον καὶ τὰς φρένας ἄνοιξόν μοι, ἵν’ εἰσέλθω καὶ οἰκήσω ἐν αὐταῖς· οὕτω γὰρ θέλω. Τοῦ ὕδατος γὰρ τούτου ὁ [πίνων] καθ’ ἑκάστην πάλιν διψήσεται· τὸ ὕδωρ δὲ ὃ δώσω τοῖς [πίστ]ει φλεγομένοις ἐκ δίψης μὲν ἀνάψυξις· γενήσεται [γ]ὰρ ἔνδοθεν τοῖς πιοῦσι τὸ ῥεῖθρον κρουνὸς ἀθανασίας ἀλλό[μεν]ος καὶ βρύων ζωὴν τὴν αἰωνίαν· [para]τοῦτο γὰρ πρώην ἐν τῇ ἐρήμῳ οἱ ἐξ Ἑβραίων ἦραν, ἀλλ’ οὐχ εὗρον ἀγαλλίασιν καὶ 〈ἀπο〉 λύτρωσιν.»

book 10 [Ὑ]φήφθη τούτοις τοῖς λόγοις ἡ Σαμαρεῖτις πρὸς δίψαν, καὶ μετηλλάγη ἡ τάξις· ἡ ποτίζουσα γὰρ πρώην νῦν ἐδίψα, καὶ ὁ διψήσας ἐξ ἀρχῆς ἄρτι ποτίζει. Προσπίπτει οὖν τὸ θῆλυ· «Τὸ ὕδωρ τοῦτο, φησί, δός μοι, Κύριε, ἵνα μηκέτι τούτῳ τῷ φρέατι προστρέχω ὃ Ἰακὼβ παρέσχε μοι. Ἀργείτω τὰ γηράσαντα καὶ ἀνθείτω τὰ νέα· παρέλθῃ τὰ πρὸς ὥραν· καὶ γὰρ ἦλθεν ἡ ὥρα τοῦ ὕδατος οὗ ἔχεις· [para]τοῦτο βρυέτω καὶ ἀρδευέτω ἐμοὶ καὶ τοῖς ἐν πίστει ἐκζητοῦσιν ἀγαλλίασιν καὶ 〈ἀπο〉 λύτρωσιν.

book 11 —Ῥοὰς ἀχράντων ὑδάτων εἰ θέλεις ἵνα σοι δώσω, πορεύου, φώνει τὸν ἄνδρα. Οὐ μιμοῦμαί σου τὴν γνώμην, οὐκ ἐρῶ σοι· Σαμαρεῖτις εἶ, καὶ πῶς ᾔτησας ὕδωρ; Οὐ θλίβω σου τὴν δίψαν· ἐγὼ γάρ σε πρὸς δίψαν δίψῃ εἵλκυσα, διψῶντα ὑπεκρίθην, καὶ ὡς διψῶν ἐτρώθην ἵνα διψῶσαν δείξω σε. Πορεύθητι οὖν, φώνησον τὸν σὸν ἄνδρα καὶ ἔλθε.» Τὸ γ[ύναιον δὲ] ἔφη· «Οὐκ ἔχω ἄνδρα, οἴμοι.» Καὶ πρὸς αὐτὴν ὁ πλ[άστης·] [para]»[Ὄν]τως οὐκ ἔχεις· πέντε γὰρ ἔσχες, τὸν ἕκτον δὲ οὐκ [ἔχεις ἵνα] λάβῃς ἀγαλλίασιν καὶ 〈ἀπο〉 λύτρωσιν.»

book 12 Ὢ τῶν σοφῶν αἰνιγμάτων, ὢ τῶν σοφῶν χαρακτήρων [δι’ ὧν] τὰ τῆς ἐκκλησίας ἐν τῇ πίστει τῆς ὁσίας ζωγραφεῖτ[αι] ἐκ χρωμάτων ἀληθῶν, ἀπαλαιώτων· ὃν τρόπον γὰρ τὸ [θῆλυ] ἠρνήσατο τὸν ἄνδρα ἡ πολύανδρος, οὕτως 〈ἡ〉 ἐκκλησία [πολ]λοὺς θεοὺς ὡς ἄνδρας ἠρνήσατο καὶ ἔλιπεν, καὶ ἕνα ἐμ[νησ]τεύσατο ἐξ ὑδάτων δεσπότην· ἐκείνη ἄνδρας πέντε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ἕκτον οὐκ ἔσχε, καὶ αὕτη δὲ ⟨τοὺσ⟩ πέντε [para]τῆς ἀσεβείας ἄρτι λιποῦσα τὸν ἕκτον ἐξ ὑδάτων σὲ λαμβάνει, ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.

book 13 Μισήσωμεν τὰ εἴδη ⟨τὰ⟩ τῆς εἰδωλολατρείας· ἡ ἐξ ἐθνῶν νυμφευθεῖσα ὡς πικρὰν ἀποστρέφεται καὶ ἀρνεῖται τὴν ἀμείνην , ὅ ἐστι ῥίζα γλυκεῖα. Ἀλλ’ ἴσως ἐρωτᾷ τις· «Τὰ πέντε εἴδη ταῦτα τί ὑπάρχουσι;» Ἡ τῶν εἰδώλων πλάνη πολυειδὴς μέν ἐστιν, ἔχει δὲ πέντε κεραίας· ἀσέβειαν, ἀσέλγειαν καὶ τὴν ἐπιμιξίαν, πρὸς τούτοις ἀσπλαγχνίαν καὶ τὴν τεκνοφονίαν, ὡς καὶ Δαυὶδ διδάσκει, [para]«ἔθυσαν, λέγων, τοῖς δαιμονίοις υἱοὺς καὶ θυγατέρας, καὶ οὐχ εὗρον ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.»

book 14 Ἀφῆκεν οὖν τὰ τοσαῦτα ἡ ἐξ ἐθνῶν μνηστευθεῖσα, ⟨καὶ⟩ πρὸς τὸ τῆς κολυμβήθρας φρέαρ τρέχει ἐκεῖσε καὶ ἀρνεῖται τὰ ποτέ, ὥσπερ ποτὲ ἡ Σαμαρεῖτις. Οὐκ ἔκρυψε γὰρ αὕτη τὸν πάντα πρὶν γενέσθαι ἐπιστάμενον, ἀλλ’ ἔφησεν· ⟨«Οὐκ ἔχω»·⟩ οὐκ εἶπε γάρ· «Οὐκ ἔσχον», νομίζω, τοῦτο λέγουσα· «Κἂν ἔσχον ἄνδρας πρότερον, ἀλλ’ οὐ θέλω νῦν ἔχειν ⟨τοὺς ἄνδρασ⟩ οὕσπερ εἶχον· σὲ γὰρ ἄρτι κατέχω τὸν σαγηνεύσαντά με, [para]ἐκ τοῦ βορβόρου τῶν πονηρῶν μου πιστῶς ἀντλησαμένη, ἵνα λάβω ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.»

book 15 Νοήσασα ἡ ὁσία τὴν τοῦ σωτῆρος ἀξίαν ἐκ τῶν ἀποκαλυφθέντων, ἐπὶ πλεῖον ἐπεπόθει ἐπιγνῶναι τί ἐστι καὶ τίς ἐστιν ὁ πρὸς τὸ φρέαρ· καὶ τάχα τοῖς τοιούτοις συνείχετο εἰκότως ἐνθυ[μήμασιν]· «Θεὸς ὑπάρχει ἆρα ἢ ἄνθρωπος ὃν βλέπω, οὐράνιος ἢ γή[ϊνος]; [Ἰ]δοὺ γὰρ τὰ ἀμφότερα ἐν ἑνί μοι γνωρίζει, διψῶν [τε] καὶ ποτίζων, μανθάνων καὶ προλέγων, καὶ πάλιν προ[σκαλ]ῶν με [para]τὴν παρὰ νόμον καὶ προσδεικνύς μοι τὰ σφάλματά ⟨μου⟩ πάντα, ἵνα λάβω ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.

book 16 Οὐ[κοῦν] οὐράνιος πέλει καὶ τὸ ἐπίγειον φέρει· εἰ οὖν Θεὸς καὶ βροτὸς [ὤν], ὡς ἄνθρωπός μοι ἐδείχθη, καὶ διψήσας ⟨με⟩ ποτίζει ὡς Θεὸς καὶ προφητ[εύει]. Οὐκ ἦν γὰρ ἐν ἀνθρώπῳ τὸ γνῶναί μου τὸν βίον καὶ ἐνθυμή[σασ]θαι, ἀλλὰ τοῦ ἀοράτου καὶ νῦν θεωρουμένου ἐνδεῖξαι [καὶ] ἐλέγξαι με· αὐτοῦ ἦν καὶ εἰδέναι με καὶ κηρῦξαι ὃ πέλω· [αὐ]τοῦ τὸν νοῦν ἀντλήσω, αὐτοῦ τὴν γνῶσιν πίω, αὐτοῦ τοῖς [λόγο]ις πλύνω [para]πάντα τὸν ῥύπον τῶν ἁμαρτιῶν μου, ἵν’ ἀ[μω]μήτῳ γνώμῃ ἀπολάβω ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.

book 17 [Υἱὲ] βροτοῦ ὡς ὁρῶ σε, υἱὲ Θεοῦ ὡς νοῶ σε, σὺ φώτισόν μου [τὰ]ς φρένας, Κύριε, δίδαξόν με τίς ὑπάρχεις», χρηστῶς πα[ρε]κάλει Χριστὸν ἡ Σαμαρεῖτις. «’Ιδοὺ σαφῶς σε βλέπω πιστῶς [κα]τανοοῦσα, καὶ μὴ κρύψῃς μοι· μὴ ἄρα σὺ ὑπάρχεις Χριστὸς [ὃν] οἱ προφῆται προεῖπον ὅτι ἔρχεται; Ἐὰν σὺ εἶ, ὡς ἔφησαν, [π]αρρησίᾳ εἰπέ μοι· ὁρῶ γὰρ ὅτι ὄντως ἃ ἔπραξα γνωρίζεις, [κα]ὶ ταῦτα τῆς καρδίας [para]κρύφια πάντα, ⟨καὶ⟩ διὰ τοῦτο κα[θι]κετεύω γνώμῃ, ἵνα λάβω ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύτρωσιν.»

book 18 [Ἀλλ’] ὅτε εἶδεν ὁ βλέπων τὰς τῆς σοφῆς διαλέξεις καὶ τὸ πιστὸν [τ]ῆς καρδίας, παρευθὺς ἀπεκρίθη πρὸς τὸ θῆλυ· «Ὃν μὲν λέγεις Μεσσίαν, ὃν οἱ προφῆται νῦν ἔρχεσθαι προεῖπον, ὁρᾷς [μ]ὲν καὶ ἀκούεις τῆς φωνῆς αὐτοῦ. Ἐγώ εἰμι ὃν βλέπεις, ἐγώ εἰμι [ὃν] ἔχεις ἐν μέσῳ τῆς καρδίας σου· ἐγὼ ποθῶν σε ἤλυθα [σὲ ἑ]λκύσαι καὶ σῶσαι· νῦν κήρυξον τοῖς πᾶσι τοῖς θέλουσι σω[θ]ῆναι ἐν τῇ Συχὰρ τῇ πόλει [para]τοὺς συγγενεῖς σου καὶ συμπολίτας, καὶ δεῦτε πάντες ἅμα οἱ διψῶντες ἀγαλλίασιν καὶ ⟨ἀπο⟩ λύ[τρωσιν.]

book 19 [Ἰδοὺ] ἤντλησαι, γύναι, ἐκ λάκκου ταλαιπωρίας· ὁ μηδὲ ἄν[τλ]ημα ἔχων, τὴν καρδίαν σου καθῆρα ἄνευ ῥείθρου, καὶ ἀ[πέπ]λυνα τὸν νοῦν ἄνευ ναμάτων, καὶ ᾤκισά σε θέλων, καὶ ἔδειξα ὃ πέλω καὶ οὐκ ἔπιον.» Καὶ τούτων λεγομέν[ων ὁμοῦ] καὶ τελουμένων, οἱ μαθηταὶ ἐλήλυθαν· οὐκ ἦσαν γ[άρ, ὡς γέ]γραπται, πρὸς τὸ φρέαρ ἐν τούτοις, ἀλλ’ ἦλθον μετ[ὰ ταῦτα] καὶ γνόντες ταῦτα πάντα ἐθαύμασαν βοῶντες· [para]»[Ὢ τῆς] ἀφάτου φιλανθρωπίας·

book 19 γυναίῳ συγκατέβη ὁ παρέχων ⟨ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.⟩ »

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 20 Νευροῦται ἡ Σαμαρεῖτις καὶ τρέχει πρὸς Σαμαρείτας, κατ[αλι]ποῦσα τὴν κάλπιν καὶ λαβοῦσα ἐπὶ ὤμων τῆς καρδίας [τὸν] ἐτάζοντα νεφροὺς καὶ τὰς καρδίας· καὶ φθάσασα τὴν [πό]λιν, ἐσάλπισε τοῖς πᾶσιν οὕτως κράζουσα· «Πρεσ[βῦται] μετὰ παίδων, νεανίσκοι καὶ παρθένοι, ἐπὶ τὸ φρέαρ δρά[μετε·] τὸ ὕδωρ ἐπεπόλευσε καὶ προχεῖται τοῖς πᾶσιν· ἐκεῖ κατεῖδ[ον] ἄνδρα ὃν οὐ χρὴ λέγειν ἄνδρα· θεοῦ γὰρ ἔχει ἔργα, [para]πάν[τα μοι] λέγων καὶ προφητεύων, ὁ πάντας σῶσαι θέλων καὶ παρ[έχων] 〈ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.〉 »

book 21 Οὐδὲν ὅλως οὐκ εἶπον οἱ κήρυκες τοῦ σωτῆρος ὅτι συνόμιλον [εὗ]ρον τῷ γυναίῳ τὸν ἐλθόντα καὶ τεχθέντα ἐκ παρθένο[υ ἐ]πὶ γῆς οἰκονομίᾳ· τροφὰς γὰρ ἀπελθόντες κομίσαι, εὗ[ρον] βρῶσιν ἀγεώργητον, διδοῦντα τοῖς αἰτοῦσι τροφὴν ἀθα[να]σίας· πρὸς οὓς καὶ ἀπεκρίνατο· «Ἐμὸν βρῶμα τὸ θέλημα τοῦ πατρός μου ὑπάρχει· [para]διὸ ἣν ἀγνοεῖτε τροφὴν ἐγὼ ἐσθίω, ἥ[περ] ἐσθιομένη [para]πᾶσι πηγάζει πνοὴν τελείαν καὶ πίστιν ἀν[α]φαίρετον, διδοῦντα ἀγαλλίασιν καὶ ἀπολύτρωσιν.»

book 22 Συνῆλθε τῆς Σαμαρείας τὸ πλῆθος ἐπὶ τὸν πλάστην, κ[ατα]λιπόντα τοὺς οἴκους, καὶ ἐδείχθησαν τῇ πίστει ὥσπερ [οἶ]κοι τοῦ εἰπόντος ἐν γραφαῖς ταῖς θεοπνεύστοις [para]ὡς λ[έγει]· «Ἐνοικήσω καὶ ἐμπεριπατήσω, καθὼς γέγραπται, ἐ[... οἴ]κοις τοιούτοις καταλιποῦσι πάντα, ἀγρούς, γονεῖς καὶ φ[ίλ]τατα, καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ σωτὴρ ἐκ παγίδων· αὐτοὶ δὲ ἔσονταί μοι λαὸς ἡγιασμένος, κατοίκησιν ποιοῦντες τῇ ἀϊδίᾳ καὶ ἀχωρίστῳ Τριάδι τῇ ἀφθόνως πηγαζούσῃ ἀγαλλίασιν 〈καὶ ἀπολύτρωσιν.〉 »

book pro Ὡς τὸν λεπρὸν ἐκάθαρας τῆς νόσου, παντοδύναμε, [para]τὸ ψυχικὸν ἡμῶν ἄλγος θεράπευσον ὡς εὔσπλαγχνος [para]τῇ πρεσβείᾳ τῆς Θεοτόκου, ἰατρὲ τῶν ψυχῶν ἡμῶν, 〈ὁ φιλάνθρωπος,〉 σωτὴρ καὶ μόνε ἀναμάρτητε.

book 1 Τὸν τοῦ γένους Θεὸν καὶ εὐεργέτην καὶ σωτῆρα Χριστὸν [ἀνυμνῶμεν], [para]τὸν τὰς ψυχὰς εὐφραίνοντα τὰς ἡμετέρας, τὴν [ῥίζαν] τῶν ἀγαθῶν, ὅτι ἔστιν εὐφροσύνη καὶ σωτηρία τοῖς ἀν[θρώποις], [para]ὡς ἐλεήμων καὶ οἰκτίρμων καὶ πιστὸς ἰατρός, [ὁ ἀφρά]στῳ σοφίᾳ διέπων τὰ πάντα [para]καὶ βουλήματι θεί[ῳ τῶν] ψυχῶν τὰ πάθη ὡς Θεὸς ἰώμενος, ὁ πάντα περιέπ[ων] ὡς ἀχώριστος μόνος δυνάστης, [para]ὁ ἔχων καὶ παρέχων πᾶσι χαρὰν καὶ δόξαν [para]καὶ ἄφεσιν πταισμάτων ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 2 Ὁ τοῦ χρόνου δεσπότης τε καὶ κτίστης κατὰ χρόνου [κατ]ῆλθεν ἐν κόσμῳ· [para]ὁ ποιητὴς ἐγένετο ἐν τοῖς ἰδίοις [θε]λήσας σῶσαι ἡμᾶς· τὸν Ἀδὰμ ὁ πλαστουργήσας Ἀδ[ὰμ] ἐγένετο ἀρρήτως, [para]καὶ τὸ μυστήριον ὑπάρχει ὑπὲρ λόγον καὶ νοῦν. Καὶ γὰρ σὰρξ ἐγεννήθη ἀτρέπτως ὁ Λόγος [para]καὶ μεμένηκε Λόγος, ὅπερ προϋπῆρχε τοῦ πατρὸς ἀχώρισ[τος], σκηνώσας ἀπορρήτως ἐν ἡμῖν ὁ πατὴρ τῶν αἰώνων· [para][οὐ]δὲ γὰρ ἐπῃσχύνθη οὗτος καταπεσοῦσαν [para]τὴν φύσιν τῶν ἀνθρώπων ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 3 Ὑπὸ πλείστων παθῶν κατεχομένην τὴν ταλαίπωρον φύσιν ἰᾶται, [para]ἣν ἐλεήσας ἔφθασε καὶ ἐπεσκέψατο πάντα ὡς ἀγαθός· τοὺς ἐν θλίψει θεραπεύει, τοὺς ἐν ἀνάγκῃ περισῴζει, [para]τοὺς ἐν ταῖς νόσοις ἰατρεύει ὡς σοφὸς ἰατρός· ἐξ ἀνθρώπων ἐλαύνει τοὺς δαίμονας πάντας· [para]τοὺς τυφλοὺς ἀναβλέπειν, παραλύτους τρέχειν ὡς Θεὸς προσέταττεν· λεπροὺς δὲ καθαρίζει ἐν τῷ θείῳ βουλήματι μόνῳ, [para]ὅτι καὶ ἀοράτων πάντων καὶ ὁρωμένων [para]αὐτὸς ὑπάρχεις κτίστης, ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνε ἀναμάρτητε.

book 4 Τί δὲ λέγει κατίδωμεν σπουδαίως τῷ λεπρῷ ὁ Χριστὸς προσελθόντι, [para]πῶς δὲ τὴν νόσον ἔδειξε τῷ ἰατρῷ τῷ πανσόφῳ ὁ ἀσθενῶν. Τοῦ Ματθαίου γὰρ ἡ βίβλος καὶ ἡ τοῦ Μάρ[κου διη]γεῖται [para]καὶ 〈ἡ〉 Λουκᾶ τῶν θεσπεσίων περὶ τούτου [σαφῶς] ὡς ἐν ὄχλῳ τοσούτῳ καὶ πλήθει ἀπείρῳ [para]συ[μμιγεὶ]ς τῶν ἀνθρώπων πρὸς Χριστὸν δραμόντων οὗτος

παρεγέ[νετο τοῦ] πάθους δὲ τὸ μύσος οὐκ ᾐσχύνετο δεῖξαι τοῖς πᾶ[σι, [para]καὶ] οὕτως ἐπὶ πάντων πίπτει εἰς γῆν κραυγάζων· [para]»[Κἀμὲ] ὡς πάντας σῶσον, ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.»

book 5 [Ἀπὸ] πάντων ἀνθρώπων ἐστὶ τοῦτο μισητὸν καὶ αἰσχρὸν τὸ πά[θο]ς· [para]κρύπτειν οὖν τοῦτο σπεύδουσιν οἱ πειραθέντες τῆς νό[σου] τῆς χαλεπῆς· τῶν παθῶν ἐστι τῶν ἄλλων δυσειδεστέ[ρα] ἐν ἀνθρώποις· [para]ὡς ἐπὶ χόρτου, βοσκομένης τῆς σαρκὸς ὑπ’ αὐτῆς, ἐπιτίθεται αὕτη τοῖς μέλεσι πᾶσιν, ὥσπερ ἐπι[θ]υμοῦσα παραδεῖξαι ὅρον ὀνειδῶν τὸν ἄνθρωπον. Τῆς λώβης [γὰρ] ὑπάρχει συγγενὴς ἡ ἀκάθαρτος νόσος, [para]ἣν τέχνη ἰατρείας ὅλως οὐ θεραπεύει, [para]Χριστὸς δὲ ἐκδιώκει ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 6 [Πο]λεμούμενος οὖν ὑπὸ τῆς νόσου ὁ λεπρὸς δακρυχέων ἐθρήνει· [para]ὥρας ἑκάστης ἔβλεπεν ὅτι προσθήκην λαμβάνει τῶν λυπηρῶν, καί φησι τοιούτους λόγους· «Ἡ σάρξ μου, οἴμοι, ἀνεβάφη [para]δεινῇ βαφῇ παρὰ τὴν φύσιν ἀσθενείᾳ πολλῇ, καὶ ὡς πηλὸς διέρπει τῷ σώματι ὅλῳ· [para]ἡ χρόα μετεβλήθη καὶ ἐγένετό μοι θεωρία ἄσχημος, ὡς μώλωψ ἐκ καυτῆρος, σηπεδὼν χαλεπὴ τοῖς ὁρῶσιν· [para]οὐκ ἔχω οὐδὲ μίαν ὅλως τῆς σωτηρίας [para]ἐλπίδα, εἰ μὴ δώσει ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 7 Ἐν σπουδῇ οὖν, ψυχή μου, νῦν πορεύου πρὸς Χριστὸν τὸν υἱὸν τῆς παρθένου, [para]ἵνα κομίσῃ ἴασιν ἣν παρ’ ἀνθρώπου οὐδ’ ὅλως δύνῃ λαβεῖν· ἐγεννήθη ἐκ κοιλίας μητρὸς τυφλὸς ἐσκοτισμένος, καὶ ὃ ἐστέρησεν ἡ φύσις παρέσχεν ὁ Χριστός· τὸν υἱὸν δὲ τῆς χήρας ἁρπάζει θανάτου, [para]πολυχρόνια μέλη λελυμένα πόνοις παραλύτου ἔσφιγξεν. Οὐδὲν οὖν στασιάζει πρὸς αὐτὸν ὡς Θεῷ τε καὶ κτίστῃ· [para]διόπερ καὶ πιστεύω ὅτι ψιλὸς οὐκ ἔστιν [para]υἱὸς ἀνθρώπου οὗτος ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 8 Ἰατρὸς γὰρ τὴν φύσιν οὐκ ἰσχύει ἐλλιπῶς προσελθοῦσαν πληρῶσαι, [para]ὅπερ Χριστὸς ἐποίησεν ἐπὶ τυφλῷ γεννη[θέντι] ἐκ τῆς γαστρός· καὶ ἐντεῦθέν ἐστι δῆλον ὅτι αὐτό[ς ἐ]στιν ὁ κτίστης [para]τοῦ πρωτοπλάστου, ὁ ποιήσας αὐτὸν [ἀ]πὸ 〈τῆσ〉 γῆς· ἐκ τῆς γῆς γὰρ καὶ ἄρτι ὃν εἶπον προφ[έρει], [para]καὶ τῆς φύσεώς ἐστι πλάστης καὶ δεσπότης καὶ Θ[εὸς ἀΐδι]ος· Ἐμοὶ δὲ παρὰ φύσιν τῆς σαρκὸς στασιάζει ἡ [ῥῶσις], [para]αὐτὸς δὲ ὑπὲρ φύσιν πᾶσαν ἐτέχθη θέλων [para]ἐκ μήτρας τῆς παρθένου ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 9 Νευρωθεῖσα τῇ πίστει ἡ αἱμόρρους ἁψαμένη κρασπέδου ἰάθη· [para]σπεύσω κἀγὼ τὸν ἄχρονον καθικετεῦσαι δεσπότην ὡς ἀγαθόν.» Ὡς ἐφθέγξατο δὲ ταῦτα, μετὰ δε[ή]σεως ἐκτρέχει [para]καὶ εἰς τὴν γῆν τὸ γόνυ κλίνας ἱκετεύ[ει] Χριστόν· διὰ δύο δὲ λόγων τὴν δέησιν γράφει [para]καί φησιν· «Ἐὰν θέλῃς, δύνασαί με πάντως καθαρίσαι, Κύριε. Οὐ πλῆθος γὰρ ῥημάτων, ἀλλὰ πίστιν ζητεῖ ὁ οἰκτίρμων, [para]ὁ πάσης διανοίας γνώστης, ὁ κυβερνήτης [para]καὶ κτίστης τῶν ἀνθρώπων, ὁ φιλάνθρωπος, 〈σωτὴρ καὶ μόνος ἀναμάρτητος.〉

book 10 Ὅταν τις συσχεθεὶς ὑπὸ ἀνάγκης ἀπορεῖ βοηθείας καὶ λόγ[ου] καὶ οὐκ ἰσχύει δέησιν συνθεῖναι ἵνα προσέλθῃ τῷ ἄνακτι, πρὸς σοφοὺς εὐθὺς ἐκτρέχει τοὺς δυναμένους ἐν συντόμῳ τὴν ἱκεσίαν διαθεῖναι οὐκ ἐν λόγοις πολλοῖς· καὶ ὡς πάνσοφοι οὗτοι καὶ ἔμπειροι λόγων, δι’ ὀλίγων ῥημάτων σκοπὸν νοημάτων ἄπειρον συντάττουσι καὶ γράφουσι τοὺς λόγους τοὺς τοιούτους εἰς σύμμετρον χάρτην· ὁ ἄναξ δέ, λαμβάνων ταύτην τὴν ἱκεσίαν, τὸν νοῦν τῶν λόγων οἶδεν ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 11 Ὑπὸ πίστεως νῦν ὁ ἰδιώτης τῷ σοφῷ ἱκεσίαν συντάξω· [para]ἔσπευσα γὰρ καὶ ἔφθασα τὴν πίστιν τὴν παναγίαν καὶ συνετήν· παρεκάλεσα δὲ ταύτην καὶ ὑπηγόρευσε συντόμως [para]ὑπὲρ ἐμοῦ τὴν ἱκεσίαν Ἰησοῦ βασιλεῖ· διὰ δύο ῥημάτων ὡς πάνσοφος ῥήτωρ, [para]τὰ νοήματα ταύτης τῆς δεήσεώς μου ἅπαντα διέγραψεν· ἐν χάρτῃ τῆς ψυχῆς μου γεγραμμέ[νην τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἴ]τησιν ἔχω [para]καὶ ταύτην σοι προσφέρω· σπεύσας [ἐλέησόν] με, [para]ὁ πάντων εὐεργέτης, ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 12 [Ῥυπωθέν]τα ἄρα μὴ οὐ θελήσῃς ὡς ἀνάξιόν με κα[θαρίσαι·] [para]τοῦτο πρὸ πάντων ἔφησα ὅτι «Ἂν θ[έλῃς, ἰσχύ]εις, Κύριέ μου.» Τὴν γὰρ δύναμίν σου ἔγνων, ὅτι οὐδείς [σοι ἀν]τιπράττει, [para]ἀλλὰ φοβοῦμαι μὴ ὑπέρθῃ καθαρίσαι ἐμέ. Μόνον νεῦσον, οἰκτίρμον, καὶ φεύγει ἡ λέπρα· [para]μόνον [βούλη]μα δεῖξον, καὶ τὸ πάθος ὅλον ἐκποδὼν γενήσεται· κἂν [ἄνθρωπ]ος ἐγένου ἐκ παρθένου Μαρίας ἀσπόρως, [para]ἀλλ᾽ ὅμως πρὸ αἰώνων λόγος Θεοῦ ὑπάρχεις, [para]Θεὸς καὶ κτίστης πάντων, ὁ φιλάνθρωπος, 〈σωτὴρ καὶ μόνος ἀναμάρτητος.〉

book 13 [—Ὡς] πιστόν σε τοῦ πάθους ἀπαλλάξω», ὁ Χριστὸς τῷ λεπρῷ ἀπεκρίθη, [para]«ὅτι αὐτὴ ἡ δέησις ἡ παρὰ σοῦ μοι δοθεῖσα ἔτερψέ [με]· τῇ δυνάμει οὖν τῇ ταύτης ἀκολουθήσει καὶ ἡ ψῆφος, [para][ἐπει]δὴ εἶπας· ‘Ἐὰν θέλῃς, δύνῃ, Κύριέ μου.‘ Καὶ δυνάστης ὑπάρχω καὶ βούλομαι σῶσαι· [para]διὰ τοῦτο προστάττω, αὐ[θεν]τῶ καὶ λέγω· ‘Θέλω, καθαρίσθητι‘. καὶ θέλω ὡς οἰκτίρμων [καὶ] προστάττω καθάπερ δυνάστης· [para]ἰσχὺν γὰρ τῇ θελήσει [ἔχω συν]υπουργοῦσαν [para]ὡς ἄναξ τε καὶ κτίστης, ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος 〈ἀναμάρτητοσ〉.»

book 14 [Μ]όνος πέλων οἰκτίρμων, συνεκτείνει τὴν παλάμην καὶ ἅπτε[ται] τούτου, [para]καὶ ὁ λεπρὸς αἰφνίδιον ἀνεκαθάρθη τὸ σῶμα [τὸ] ἑαυτοῦ· τῆς γὰρ λέπρας ἀπηλλάγη καὶ ἐδραπέτευσεν εὐθέως· [para]πρὸς φυσικὸν μετῆλθε κάλλος ἡ χρόα τῆς σαρκός. Ἐθαμβήθησαν πάντες οἱ τότε παρόντες, [para]τοῦ λεπροῦ ἐκβοῶντος· «Σὺ Θεὸς ὑπάρχεις μόνος, παντοδύνα[μο]ς, καὶ ἦλθες ἐν τῷ κόσμῳ τὸν πλανώμενον κόσμον καλέσαι· [para]ἀνθρώπου γὰρ οὐκ ἔστιν ὅλως τὰ ἔργα ταῦτα· [para]Θεὸς οὖν εἶ τῶν ὅλων, ὁ φιλάνθρωπος, 〈σωτὴρ καὶ μόνος ἀναμάρτητοσ〉.»

book 15 [Ἀ]λλ᾽ ὡς ἤκουσε ταῦτα ὁ οἰκτίρμων, τῷ λεπρῷ ἐπὶ πάντων προστάττει· [para]«Ὕπαγε, νόμον πλήρωσον καὶ ἑαυτὸν δεῖξαι σπεῦ[σο]ν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον ὅπερ προσέταξε προσφέρειν [para]Μωσῆς ὁ παῖς μου καθαρθέντας ἐν τῷ ἔθνει λεπρούς. Ἰουδαῖοι ἐχθρόν με τοῦ νόμου καλοῦσι, [para]καὶ πολέμιον εἶναι τοῦ Μωσέως οὗτοι ἄσπονδόν με λέγουσι· γ[ενοῦ μοι τού]των μάρτυς ὅτι πάντα πληρῶ τὰ τοῦ νόμου· [para]μ[ισθὸν τῆ]ς ἰατρείας δός μοι τὴν μαρτυρίαν· [para]εἰμὶ γὰρ φύλαξ ν[όμου] 〈ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητοσ〉.»

book 16 Νεκρωθὲν τῇ κελεύσει τοῦ Κυρίου δραπετεύει τὸ πάθος [τῆς λέ]πρας· [para]ἔφριξε γὰρ τὸ νόσημα αὐτὸν ἰδόντα τὸν κτί[στην] καὶ λυτρωτήν, καὶ οὐ φρίττουσιν οὐδ᾽ οὕτως Ἀρειανοὶ τ[ὴν δε]σποτείαν, [para]τὴν αὐθεντίαν τὴν τοῦ Λόγου τοῦ υἱοῦ τοῦ Θεοῦ, [ὅτι] οὗτος ὑπάρχει ὁ πρὸ τῶν αἰώνων [para]γεννηθεὶς ἀϊδίως ἐ[κ πατρὸς] ἀχρόνου ἄχρονος υἱὸς αὐτοῦ, ὁ μένων εἰς αἰῶνας ὅ[πε]ρ ἦν πρὸ τῶν πάντων αἰώνων· [para]αὐτὸς γὰρ ἐκ παρθένου θέ[λω]ν σαρκὶ ἐτέχθη, [para]μὴ λείψας τὸν πατέρα ὁ φιλάνθρωπος, σωτὴρ καὶ μόνος ἀναμάρτητος.

book 17 Οἱ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ πλάστου ἀγαπῶντες τὸ ἅγιον δόγμα, [para]σέβομεν πάντες πιστεύοντες μοναδικὸν μὲν τὸ θεῖον τὸ ἀληθές, ἐν τρισί γε μὴν προσώποις ὁμοουσίοις, συνανάρχοις, [para]ἵνα ἐκκλίνωμεν τὴν πλάνην τῶν ἀθέων ἀν[δρῶν], τὰς μὲν τρεῖς ὑποστάσεις κατὰ τῶν Ἑβραίων, [para]τὴν δὲ μίαν οὐσίαν, τῆς πολυθεΐας φεύγοντες τὸ νόσημα· μιᾶς [ἐστιν] οὐσίας ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· [para]ἐκ τούτων ἐσαρκώθη θέλων ἐκ τῆς παρθένου [para]ὁ εἷς ὁ τῆς τριάδος, ὁ φιλάνθρωπος, 〈σωτὴρ καὶ μόνος ἀναμάρτητος.〉

book 18 Ὑϊὲ τοῦ Θεοῦ ὁ βασιλεύων πρὸ αἰώνων καὶ εἰς τοὺς αἰῶνας, [para]ὡς τὸν λεπρὸν ἠλέησας, διώξας λόγῳ τὸ πάθος ὡς δ[υ]νατός, καὶ ἡμᾶς τοὺς προσιόντας τῇ ἀγαθότητί σου [σῶ]σον [para]καὶ τὴν συγχώρησιν παράσχου τῶν πταισμάτων ἡμῶν. Σὺ γὰρ δύνασαι μόνος ὡς κτίστης τῶν πάντων [para]ἁμαρτίας ἀφεῖναι· σὲ οὖν δυσωποῦμεν, δὸς ἡμῖν ἀντίληψιν πρεσβείαις τῆς

Θεοτόκου καὶ 〈ἁγίασ〉 παρθένου Μαρίας, [para]δι’ ἧς σοι προσιόντες πάντες παρακαλοῦμεν, [para]«ἐλέησον», βοῶντες, «ὡς φιλάνθρωπος, σωτὴρ καὶ μόνε ἀναμάρτητε.»

book pro 1 Ὁ πόρνην καλέσας θυγατέραν, Χριστὲ ὁ Θεός, [para]υἱὸν μετανοίας κἀμὲ ἀναδείξας, [para]δέομαι, ῥῦσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

book pro 2 Κατέχουσα ἐν κατανύξει ἡ πόρνη τὰ ἴχνη σου ἐβόα σοι ἐν μετανοίᾳ τῷ εἰδότι τὰ κρύφια, Χριστὲ ὁ Θεός· «Πῶς σοι ἀτενίσω τοῖς ὄμμασιν ἡ πάντας ἀπατῶσα τοῖς νεύμασιν; Πῶς σε δυσωπήσω τὸν εὔσπλαγχνον ἡ σὲ παροργίσασα τὸν κτίστην μου; Ἀλλὰ δέξαι τοῦτο τὸ μύρον πρὸς δυσώπησιν, Κύριε, καὶ δώρησαί μοι ἄφεσιν τῆς αἰσχύνης τοῦ βορβόρου τῶν ἔργων μου.»

book 1 Τὰ ῥήματα τοῦ Χριστοῦ καθάπερ ἀρώματα ῥαινόμενα πανταχοῦ βλέπων ἡ πόρνη ποτὲ [para]καὶ τοῖς πιστοῖς πᾶσι πνοὴν ζωῆς χορηγοῦντα, τῶν πεπραγμένων αὐτῇ τὸ δυσῶδες ἐμίσησεν, ἐννοοῦσα τὴν αἰσχύνην τὴν ἑαυτῆς καὶ σκοποῦσα τὴν ὀδύνην τὴν δι’ αὐτῶν ἐγγιγνομένην· πολλὴ γὰρ θλῖψις γίνεται τότε τοῖς πόρνοις ἐκεῖ, ὧν εἷς εἰμι, καὶ ἕτοιμος πέλω εἰς μάστιγας [para]ἃς πτοηθεῖσα ἡ πόρνη οὐκέτι ἔμεινε πόρνη, ἐγὼ δὲ καὶ πτοούμενος ἐπιμένω τῷ βορβόρῳ τῶν ἔργων μου.

book 2 Οὐδέποτε τῶν κακῶν ἀποστῆναι βούλομαι, οὐ μνήσκομαι τῶν δεινῶν ὧν ἐκεῖ μέλλω ὁρᾶν, [para]οὔτε λογίζομαι τὴν τοῦ Χριστοῦ εὐσπλαγχνίαν πῶς περιῆλθε ζητῶν με τὸν γνώμῃ πλανώμενον· δι’ ἐμὲ γὰρ πάντα τόπον ἐξερευνᾷ, δι’ ἐμὲ καὶ Φαρισαίῳ συναριστᾷ ὁ τρέφων πάντας· καὶ δείκνυσι τὴν τράπεζαν θυσιαστήριον, ἐν ταύτῃ ἀνακείμενος καὶ χαριζόμενος [para]τὴν ὀφειλὴν τοῖς χρεώσταις, ἵνα θαρρῶν πᾶς χρεώστης προσέλθῃ λέγων· «Κύριε, λύτρωσαί με [para]τοῦ βορβόρου τῶν ἔργων μου.»

book 3 Ὑπέκνισεν ἡ ὀσμὴ τῆς τραπέζης τοῦ Χριστοῦ τὴν πρώην μὲν ἄσωτον, νυνὶ δὲ καρτερικήν, [para]τὴν ἐν ἀρχῇ κύνα καὶ ἐν τῷ τέλει ἀμνάδα, τὴν δούλην καὶ θυγατέρα, τὴν πόρνην καὶ σώφρονα. Διὰ τοῦτο λίχνῳ δρόμῳ φθάνει αὐτήν, καὶ λιποῦσα τὰ ψιχία τὰ ὑπ’ αὐτήν, τὸν ἄρτον ἦρε τῆς πάλαι Χανανίτιδος πλέον πεινάσασα, ψυχὴν κενὴν ἐχόρτασεν, οὕτω πιστεύσασα, [para]ἀλλ’ οὐ κραυγῇ ἐλυτρώθη, σιγῇ δὲ μᾶλλον ἐσώθη·

book 3 κλαυθμῷ γὰρ εἶπε· «Κύριε, λύτρωσαί με τοῦ βορβόρου τῶν ἔργων μου.»

book 4 Τὴν φρένα δὲ τῆς σοφῆς ἐρευνῆσαι ἤθελον καὶ γνῶναι πῶς ἔλαμψεν ἐν αὐτῇ ὁ Κύριος [para]ὁ ὡραιότατος καὶ τῶν ὡραίων ὁ κτίστης, οὗ τὴν ἰδέαν πρὶν ἴδῃ ἡ πόρνη ἐπόθησεν· ὡς ἡ τῶν εὐαγγελίων βίβλος βοᾷ· Τοῦ Χριστοῦ ἀνακειμένου ἐν οἰκιᾷ τοῦ Φαρισαίου, γυνή τις τότε ἤκουσεν, ἅμα καὶ ἔσπευσεν, ὠθήσασα τὴν ἔννοιαν πρὸς τὴν μετάνοιαν· [para]«Ἄγε, φησίν, ὦ ψυχή μου, ἰδοὺ καιρὸς ὃν ἐζήτεις·

book 4 ἐπέστη ὁ καθαίρων σε· τί ἐμμένεις [para]τῷ βορβόρῳ τῶν ἔργων σου;

book 5 Ἀπέρχομαι πρὸς αὐτόν, δι’ ἐμὲ γὰρ ἤλυθεν· ἀφίημι τούς ποτε, τὸν γὰρ νῦν πάνυ ποθῶ, [para]καὶ ὡς φιλοῦντά με μυρίζω καὶ κολακεύω· κλαίω, στενάζω καὶ πείθω δικαίως ποθῆσαί με· ἀλλοιοῦμαι πρὸς τὸν πόθον τοῦ ποθητοῦ, καὶ ὡς θέλει φιληθῆναι, οὕτω φιλῶ τὸν ἐραστήν μου· πενθῶ καὶ κατακάμπτομαι, τοῦτο γὰρ βούλεται· σιγῶ καὶ περιστέλλομαι, τούτοις γὰρ τέρπεται· ἀναχωρῶ τῶν ἀρχαίων ἵνα ἀρέσω τῷ νέῳ·

book 5 συντόμως ἀποτάσσομαι ἐμφυσῶσα [para]τῷ βορβόρῳ τῶν ἔργων μου.

book 6 Προσέλθω οὖν πρὸς αὐτόν, φωτισθῶ, ὡς γέγραπται· ἐγγίσω νῦν τῷ Χριστῷ, καὶ οὐ μὴ καταισχυνθῶ· [para]οὐκ ὀνειδίζει με, οὐ λέγει μοι· ‘Ἕως ἄρτι ἦς ἐν τῷ σκότει, καὶ ἦλθες ἰδεῖν με τὸν ἥλιον.‘ Διὰ τοῦτο μύρον αἴρω καὶ πορευθῶ· φωτιστήριον ποιήσω τὴν οἰκιὰν τοῦ Φαρισαίου· ἐκεῖ γὰρ ἀποπλύνομαι τὰς ἁμαρτίας μου· ἐκεῖ καὶ καθαρίζομαι τὰς ἀνομίας μου·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]κλαυθμῷ, ἐλαίῳ καὶ μύρῳ κεράσω μου κολυμβήθραν καὶ λούομαι καὶ σμήχομαι καὶ ἐκφεύγω [para]τοῦ βορβόρου τῶν ἔργων μου.

book 7 Ἐδέξατο ἡ Ῥαὰβ κατασκόπους πρότερον καὶ τῆς δοχῆς τὸν μισθὸν ὡς πιστὴ εὗρε ζωήν· [para]τῆς γὰρ ζωῆς τύπος ὑπῆρχε τούτους ὁ πέμψας, τοῦ Ἰησοῦ μου βαστάζων τὸ τίμιον ὄνομα. Σωφρονοῦντας τότε πόρνη ξενοδοχεῖ, νῦν παρθένον ἐκ παρθένου πόρνη ζητεῖ ἀλεῖψαι μύρῳ· ἐκείνη μὲν ἀπέλυσεν οὕσπερ ἀπέκρυψεν· ἐγὼ δὲ ὃν ἠγάπησα μένω κατέχουσα, [para]οὐχ ὡς κατάσκοπον κλήρων, ἀλλ’ ὡς ἐπίσκοπον πάντων κρατῶ, καὶ ἐξεγείρομαι ἐκ τῆς ὕλης [para]τοῦ βορβόρου τῶν ἔργων μου.

book 8 Ἰδοὺ καιρὸς ἔφθασεν ὃν ἰδεῖν ἐπόθησα· ἡμέρα μοι ἔλαμψε καὶ δεκτὸς ἐνιαυτός· [para]ἐν τοῖς τοῦ Σίμωνος αὐλίζεται ὁ Θεός μου· σπεύσω πρὸς τοῦτον καὶ κλαύσω, ὡς Ἄννα, τὴν στείρωσιν· κἂν λογίσηταί με Σίμων ἐν μεθυσμῷ, ὡς Ἡλὶ τὴν Ἄνναν τότε, μένω κἀγὼ προσευχομένη, σιγῇ βοῶσα· ‘Κύριε, τέκνον οὐκ ᾔτησα, ψυχὴν μονογενῆ ζητῶ ἥνπερ ἀπώλεσα· [para]ὡς Σαμουὴλ τῆς ἀτέκνου, Ἐμμανουὴλ τῆς ἀνάνδρου, τῆς στείρας ἦρες ὄνειδος· ῥῦσαι πόρνην [para]τοῦ βορβόρου τῶν ἔργων μου‘.»

book 9 Νευροῦται μὲν ἡ πιστὴ τοῖς τοιούτοις ῥήμασι, ποιεῖται δὲ τὴν σπουδὴν πρὸς τὴν τοῦ μύρου ὠνήν, καὶ παραγίνεται βοῶσα τῷ μυροπράτῃ· [para]«Δός μοι, εἰ ἔχεις, ἐπάξιον μύρον τοῦ φίλου μου, τοῦ δικαίως φιλουμένου καὶ καθαρῶς, τοῦ πυρώσαντός μου πάντα καὶ τοὺς νεφροὺς καὶ τὴν καρδίαν· μηδὲν περὶ τιμήματος· τί ἀμφιβάλλεις μοι; Κἂν δέοι, μέχρι δέρματος καὶ τῶν ὀστέων μου [para]ἑτοίμως ἔχω τοῦ δοῦναι ἵν’ εὕρω τί ἀποδοῦναι τῷ σπεύσαντι καθᾶραί με ἐκ τῆς ὕλης [para]τοῦ βορβόρου τῶν ἔργων μου.»

book 10 Ὁ δὲ ἰδὼν τῆς σεμνῆς τὸ θερμὸν καὶ πρόθυμον, φησὶν αὐτῇ· «Λέξον μοι τίς ἐστιν ὃν ἀγαπᾶς, [para]ὅτι τοσοῦτον σὲ ἐπύρωσε 〈πρὸσ〉 τὸ φίλτρον· ἆρα κἂν ἔχει τι ἄξιον τούτου τοῦ μύρου μου;» Παραυτὰ δὲ ἡ ὁσία ἦρε φωνὴν καὶ βοᾷ σὺν παρρησίᾳ τῷ σκευαστῇ τῶν ἀρωμάτων· «Τί λέγεις μοι, ὦ ἄνθρωπε; ἔχει τι ἄξιον; Οὐδὲν αὐτοῦ ἀντάξιον τοῦ ἀξιώματος· [para]οὐκ οὐρανός, οὔτε γαῖα, οὐδ’ ὅλος τούτῳ ὁ κόσμος συγκρίνεται τῷ σπεύσαντι ῥύσασθαί με τοῦ βορβόρου τῶν ἔργων μου.

book 11 Υἱός ἐστι τοῦ Δαυίδ, δι’ αὐτὸ 〈καὶ〉 εὔοπτος· υἱὸς Θεοῦ καὶ Θεός, δι’ αὐτὸ σφόδρα τερπνός· [para]ὃν οὐχ ἑώρακα, ἀλλ’ ἤκουσα, καὶ ἐτρώθην πρὸς τὴν ἰδέαν τοῦ ἔχοντος φύσιν ἀνείδεον. Τὸν Δαυίδ ποτε ἰδοῦσα στέργει Μελχόλ· ἐγὼ δὲ μὴ κατιδοῦσα τὸν ἐκ Δαυὶδ ποθῶ καὶ στέργω· ἐκείνη τὰ βασίλεια πάντα παρέδραμε καὶ τῷ Δαυὶδ πτωχεύοντι ποτὲ προσέδραμεν· [para]κἀγὼ τὸν ἄδικον πλοῦτον ὑπερορῶ καὶ ὠνοῦμαι τὸ μύρον τῷ καθαίροντι τὴν ψυχήν μου [para]τοῦ βορβόρου τῶν ἔργων μου.»

book 12 Ῥημάτων δὲ τὸν εἱρμὸν σιωπῇ διέτεμε καὶ ἔλαβεν ἡ σεμνὴ τὸ τερπνὸν μύρον αὐτῆς [para]καὶ εἰς τὸν θάλαμον εὑρέθη τοῦ Φαρισαίου τρέχουσα, ὥσπερ κληθεῖσα, μυρίσαι τὸ ἄριστον. Ὁ δὲ Σίμων θεωρήσας τοῦτο αὐτό, τὸν δεσπότην καὶ τὴν πόρνην καὶ ἑαυτὸν ἤρξατο ψέγειν, τὸν μὲν ὡς ἀγνοήσαντα τὴν προσεγγίσασαν, τὴν δὲ ἀναισχυντήσασαν καὶ προσκυνήσασαν, καὶ ἑαυτὸν ὡς ἀσκέπτως δεξάμενον τοὺς τοιούτους, καὶ μάλιστα τὴν κράζουσαν· «’Εξελοῦ με [para]τοῦ βορβόρου τῶν ἔργων μου.»

book 13 Ὢ ἄγνοια. Τί φησιν; «Τοῦτο μὲν ἐτέλεσα· ἐκάλεσα Ἰησοῦν ὥς τινα τῶν προφητῶν, [para]καὶ οὐκ ἐνόησεν· ἣν ἕκαστος ἡμῶν οἶδεν, οὗτος καὶ͜ οὐκ ἔγνω· εἰ ἦν γὰρ προφήτης, ἐγίνωσκεν.» Ὁ ἐτάζων δὲ καρδίας καὶ τοὺς νεφρούς, θεωρῶν τοῦ Φαρισαίου τοὺς λογισμοὺς ἐξαλλομένους, εὐθέως τούτῳ γίνεται ῥάβδος εὐθύτητος, «Ὦ Σίμων, λέγων, ἄκουσον τὸ τῆς χρηστότητος [para]τῆς ἐπὶ σὲ γενομένης καὶ ἐπὶ ταύτην ἣν βλέπεις κλαυθμῷ βοῶσαν· Κύριε, λύτρωσαί με [para]τοῦ βορβόρου τῶν ἔργων μου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 14 Μεμπτέος σοι ἔδοξα ἐπειδὴ οὐκ ἤλεγξα τὴν σπεύδουσαν ἐκφυγεῖν τῶν αὐτῆς ἀνομιῶν· [para]ἀλλ’ οὐ καλῶς, Σίμων, οὐκ εὔλογος ἡ μομφή σου· σύγκρινον τοῦτο ὃ θέλω εἰπεῖν σοι, καὶ δίκασον. Ὀφειλέται δύο ἦσαν τῷ δανειστῇ, ὁ μὲν εἷς πεντακοσίων, ἕτερος δὲ πενῆντα μόνον, καὶ τούτοις ἀπορήσασι πρὸς τὴν ἀπόδοσιν ὁ χρήσας ἐχαρίσατο ὅ τι ἐχρήσατο. [para]Τίς οὖν αὐτὸν ἐκ τῶν δύο ποθήσει πλέον, εἰπέ μοι;

book 14 Τίς ὤφειλε βοᾶν αὐτῷ· ‘Ἔσωσάς με [para]τοῦ βορβόρου τῶν ἔργων μου‘;»

book 15 Ἀκούσας δὲ ὁ σοφὸς φαρισαῖος ἔφησε· «Διδάσκαλε, ἀληθῶς φανερὸν πᾶσίν ἐστιν [para]ὅτι πλειότερον ὀφείλει τοῦτον ποθῆσαι ᾧ περισσότερον χρέος ὁ χρήσας κεχάρισται.» Ὁ δὲ Κύριος πρὸς ταῦτα εἶπεν αὐτῷ· «Ὀρθῶς ἀπεκρίθης, Σίμων· οὕτως ἐστὶ καθάπερ λέγεις· ὃν σὺ γὰρ οὐκ ἐπήλειψας αὕτη ἐμύρισεν· ὃν ὕδασιν οὐκ ἔνιψας αὕτη τοῖς δάκρυσιν· [para]ὃν οὐκ ἠσπάσω φιλήσας καταφιλοῦσά με κράζει·

book 15 ‘Ἐκράτησα τοὺς πόδας σου, μὴ ἐμπέσω [para]τῷ βορβόρῳ τῶν ἔργων μου.‘

book 16 Νῦν ὅτε σοι ἔδειξα τὴν ποθοῦσάν με στοργῇ, διδάξω σε, βέλτιστε, τίς ἐστιν ὁ δανειστής, [para]καὶ ὑποδείξω σοι τοὺς τούτου χρεωφειλέτας, ὧν εἷς ὑπάρχεις, καὶ αὕτη ἣν βλέπεις δακρύουσαν· δανειστὴς δὲ ἀμφοτέρων πέλω ἐγώ, καὶ οὐ μόνον ἀμφοτέρων, ἀλλὰ καὶ τῶν ἀνθρώπων πάντων ἐγὼ γὰρ πᾶσιν ἔχρησα ταῦτα ἃ ἔχουσιν, πνοήν, ψυχὴν καὶ αἴσθησιν, σῶμα καὶ κίνησιν· [para]τὸν δανειστὴν οὖν τοῦ κόσμου, ἐν ὅσῳ ἔχεις, ὦ Σίμων, ἱκέτευσον καὶ βόησον· ‘Λύτρωσαί με [para]τοῦ βορβόρου τῶν ἔργων μου.‘

book 17 Οὐ δύνασαι δοῦναί μοι ἅπερ ἐποφείλεις μοι· κἂν σίγησον, ἵνα σοι χαρισθῇ ἡ ὀφειλή· [para]μὴ καταδίκαζε τὴν καταδεδικασμένην, μὴ εὐτελίσῃς τὴν εὐτελισμένην, ἡσύχασον· οὐ τῶν σῶν, οὐδὲ τῶν ταύτης βούλομαί τι· χρεωλύτης ἀμφοτέρων ἐγὼ εἰμί, μᾶλλον δὲ πάντων· νομίμως, Σίμων, ἔζησας, ἀλλ’ ἐχρεώστησας· ἐλθὲ οὖν πρὸς τὴν χάριν μου ἵν’ ἀποδώσῃς μοι· [para]ἴδε τὴν πόρνην ἣν βλέπεις καθάπερ τὴν ἐκκλησίαν βοῶσαν· ‘Ἀποτάσσομαι, ἐμφυσῶσα [para]τῷ βορβόρῳ τῶν ἔργων μου.‘

book 18 ‘Ὑπάγετε, τὸ λοιπὸν τῶν χρεῶν ἐλύθητε· πορεύθητε, ἐνοχῆς παρεκτὸς πάσης ἐστέ· [para]ἠλευθερώθητε, μὴ πάλιν ὑποταγῆτε· τοῦ χειρογράφου σχισθέντος, μὴ ἄλλο ποιήσητε.» Τὸ αὐτὸ οὖν, Ἰησοῦ μου, λέξον κἀμοί, ἐπειδή σοι ἀποδοῦναι ἃ χρεωστῶ οὐκ ἐξισχύω· σὺν τόκῳ γὰρ ἀνήλωσα καὶ τὸ κεφάλαιον· διὸ μὴ ἀπαιτήσῃς με ὅσον παρέσχες μοι, [para]τοῦ τῆς ψυχῆς κεφαλαίου καὶ τῆς σαρκός μου τὸν τόκον·

book 18 κουφίσας με ὡς εὔσπλαγχνος, ἄνες, ἄφες τοῦ βορβόρου τῶν ἔργων μου.

book pro Τῶν θαυμάτων σου μεμνημένοι, Κύριε, σὲ ἱκετεύομεν [para]λυτρωθῆναι τοῦ πονηροῦ καὶ τῆς βλάβης τῆς ἐξ αὐτοῦ· [para]σὺ γὰρ μόνος ὑπάρχεις ὁ πάντων δεσπότης.

book 1 Ὁ λαὸς ὁ πιστὸς ἐν ἀγάπῃ Χριστοῦ συνελθὼν ἀγρυπνεῖ ἐν ψαλμοῖς καὶ ᾠδαῖς· [para]ἀκορέστως δὲ ἔχει τοὺς ὕμνους Θεῷ· ἐπειδὴ οὖν Δαυὶδ ἐμελῴδησε, καὶ ἀναγνώσει εὐτάκτῳ γραφῶν ἐπευφράνθημεν· αὖθις Χριστὸν ἀνυμνήσωμεν καὶ τοὺς ἐχθροὺς στηλιτεύσωμεν· [para]αὕτη γὰρ γνώσεως κιθάρα, [para]τῆς δὲ γνώσεως ταύτης Χριστὸς ὁδηγὸς καὶ διδάσκαλος, ὁ πάντων δεσπότης.

book 2 Ψάλλειν ἐστὶ καλὸν καὶ ὑμνεῖν τὸν Θεὸν καὶ τιτρώσκειν ἐλέγχοις τοὺς δαίμονας [para]πολεμίους ἀεὶ γενομένους ἡμῖν. Τί δὲ τούτους τιτρώσκειν ἐγνώκαμεν, ὅταν τὴν πτῶσιν αὐτῶν κωμῳδοῦμεν γηθόμενοι· ὄντως πενθεῖ ὁ διά[βολος], ὅταν δαιμόνων τὸν θρίαμβον [para]ἐν ἐκκλησίαις τρ[αγῳ]δῶμεν· [para]οὐ γὰρ δύναταί τι κατ’ ἀνθρώπων εἰ μὴ συγχωρ[εῖ αὐτῷ] ὁ πάντων δεσπότης.

book 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀναξίοις ἀεὶ βοηθῶν ὁ Χριστὸς καὶ ὁρῶν ἀθετοῦντας ὀργίζ[εται]· [para]οἱ ἐχθροὶ 〈μὲν〉 εὐθέως ἐπέρχονται, οὐκ ἐᾷ δὲ αὐτοὺς ὁ [φιλάν]θρωπος ἐπὶ πολὺ παρ' ἐκείνων ἀμέτρως κολάζεσθαι. Ἐν ἀοράτῳ γὰρ σχήματι οἱ δυσμενεῖς ἐπανίστανται [para][τοῖς] γυμνουμένοις τῆς προνοίας· [para]ἀοράτως δὲ πάνυ λυτροῦται αὐτοὺς ἐκ τῆς πλάνης αὐτῶν ὁ πάντων δεσπότης.

book 4 Λαλιαὶ οὐκ εἰσὶν ἃ φθεγγόμεθα νῦν, ἀλλὰ ἔργα φωτ[ὸς] διελέγχοντα [para]προφανῆ τῶν δαιμόνων τὴν νέκρωσιν· τ[ὴν] ἰσχὺν οὖν αὐτῶν ἐκπομπεύσωμεν τὴν ἀσθενοῦσαν ἡ[νί]κα ὁ κτίστης προΐσταται· ἦλθεν Χριστὸς καὶ ἠσθένησαν· [ἔφυ]γον τοῦτον ὡς δίκαιον· [para]σῶμα ὁρῶντες ἐπλανῶντο, [para]οὐκ εἰδότες ὡς ἔστι Θεὸς ἀληθὴς καὶ Θεοῦ υἱὸς ὁ πάντων δεσπότης.

book 5 Μάρτυς δὲ ἀληθὴς ὁ εὐαγγελιστὴς διαγράψας τὴν τού[των] ἀσθένειαν· [para]τὴν γραφὴν οὖν ἡμεῖς διεξέλθωμεν. Ἐκ θ[αλάτ]της εἰς γῆν ἐξελθόντος Χριστοῦ, δαιμονιζόμενός τις ἐκ τῆς [πό]λεως ἤρχετο· γέγονεν οὗτος αἰχμάλωτος καὶ ἐδουλώθη τῷ δαίμονι· [para]ἔθλιψε τοῦτον δεσμοῖς πλείστοις, [para]ἀλλ' ἐπέστ[η] Χριστὸς τὰ δεσμὰ διαλύων τὰ χρόνια, ὁ πάντων δεσπότης.

book 6 Ὁ πικρὸς ὀλετὴρ κυριεύσας αὐτὸν ἐπὶ χρόνους πολλοὺς διεκώλυε τὰ ἀσχήμονα κρύπτειν τοῦ σώματος· ἱματ[ίῳ] γὰρ οὐκ ἐκαλύπτετο, εἰς οἰκιὰν δὲ οὐκ ἔμενεν, ἀλλ' ἐν [τοῖς] μνήμασιν. Ὢ συμφορὰ ἀδιήγητος· ὢ τραγῳδία ἀνέκφραστος· [para]ἔμψυχος ἄνθρωπος ἐν τάφοις· [para]ἀθλιώτερος ἦν τῶν νεκρῶν, εἰ μὴ ἔφθασεν ὁ πάντων δεσπότης.

book 7 Σῶμα κεῖται νεκρὸν ἐνταφίων τιμῇ καλυπτόμενος ἔνδον τοῦ μνήματος· [para]ἡ δὲ γῆ τούτου κρύπτει τὸ ἄμορφον· εἰ γ[ὰρ] καὶ τάφος κατέχει τὸν θνῄσκοντα, οὐ λυπηρόν, οὐ χρηστὸν οὐκ αἰσθάνεται κείμενος. Ὁ δαιμονῶν δὲ ὁ ἄθλιος [οὐ]δὲ νεκρῷ παραπλήσιος· [para]ζῶν γὰρ εἰς τάφον κατηνέ[χθη] [para]καὶ γυμνὸς ἐνταφίων καὶ πάσης ζωῆς, εἰ μὴ ἔφθασεν ὁ πάντων δεσπότης.

book 8 [Ὁ] γὰρ δαίμων αὐτὸν μεταξὺ τῶν νεκρῶν καὶ τῶν ζώντων πικρῶς ἐβασάνιζεν, [para]ἑκατέροις κακοῖς περιβάλλων αὐτόν· ἐν τοῖς ζῶσιν ἁλύσεις ἐπέβαλεν, ἐν τοῖς νεκροῖς εἰς φθορὰν φυλακῇ ἐναπέκλεισεν, ἐν ταῖς ἐρήμοις ἐ[δ]ίωκεν, ἐν τοῖς βουνοῖς κατεκρήμνιζε, [para]βόθροις κατέρριπτε καὶ τάφροις, πανταχοῦ θανατῶσαι σπουδάζων αὐτόν, εἰ μὴ ἔσωσεν ὁ πάντων δεσπότης.

book 9 [Ὑλ]ακτῶν ὁ φονεὺς ὥσπερ κύων δεινῶς τοῦ δειλαίου τὸν φόνον ἐσκεύαζεν· [para]ἀληθείᾳ ἀνθίστατο ὡς πονηρός· ὁ γὰρ δαίμων ἀεὶ ἐβουλεύετο ἐν τοῖς κρημνοῖς καταρρίπτειν ἢ πνῖξαι ἐν ὕδασιν, ἢ περιπεῖραι ἐν ξίφεσιν, ἢ ἀποκτεῖναι ἐν ὄρεσιν, [para]ἢ τῷ πυρὶ καταναλῶσαι· [para]οὐκ ἠδύνατο δέ, ἐπειδήπερ αὐτὸν διεφύλαττεν ὁ πάντων δεσπότης.

book 10 Ταῦτα ὁ δαιμονῶν ὑπομένων ποτὲ τῶν φρενῶν ἐγυμνοῦτο καὶ τοῦ λογισμοῦ, [para]ἀπὸ τόπου εἰς τόπον πλανώμενος· τῷ Χριστῷ δὲ ἡνίκα συνήντησε καὶ βασιλέα κατεῖδε δυνάστην καὶ εὔσπλαγχνον, τὴν παρρησίαν ἐλάμβανε, τὸν λογισμὸν ἐπανήγαγε, τὴν ἀδικίαν ἐξαγγέλλει κράζων· «Ῥῦσαί με τοῦ ἀδικοῦντος ἐχθροῦ καὶ ἐλέησον, [para]ὁ πάντων δεσπότης.»

book 11 Ὁ χορὸς εὐσπλαγχνίσθη τῶν Χριστοῦ μαθητῶν· προσελθὼν ὑπὲρ τούτου ἱκέτευε, [para]«Βλέψον, λέγων, Χριστέ, καὶ ἐλέησον πῶς καθυβρίσθη ἡ φύσις ἣν ἔπλασας, πῶς ὁ ἐχθρὸς ἀτιμάζει εἰκόνα τῆς δόξης σου, πῶς τυραννεῖται ὁ ἄνθρωπος ὃν ταῖς χερσί σου ἐτίμησας, [para]πῶς τιμωρεῖται διὰ φθόνον [para]ἐξ ἀρχῆς τοῦ ἐχθροῦ· ἀλλὰ σῶσον αὐτόν, παντοδύναμε, ὁ πάντων δεσπότης.

book 12 Σῶσον, σῶσον, Χριστέ, τὸν ἱκέτην τὸν σὸν ἀδικούμενον ὑπὸ τοῦ δαίμονος [para]καὶ ἰάτρευσον τοῦτον ὡς εὔσπλαγχνος. Μὴ ἐγκαυχάσθω, σωτήρ, ὁ ἐχθρὸς ἡμῶν· ἐν τῇ ἰδίᾳ κακίᾳ, μὴ εἴπῃ· ‛Ἐνίσχυσα‘. Οἴδαμεν ὡς ἀσθενής ἐστι σοῦ βουλομένου, φιλάνθρωπε· [para]μόνον ἂν νεύσῃς, ἀπολεῖται· [para]σῷ γὰρ νεύματι πάντα συνέστη, ἀεὶ δὲ συνίσταται, ὁ πάντων δεσπότης.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 13 Ἐπακούων Χριστὸς τῶν αὐτοῦ μαθητῶν, ἐπευφραίν[ετο τού]των τοῖς ῥήμασι [para]καὶ εὐθὺς πρὸς αὐτοὺς ἀπεκρίν[ατο]· «Ἀποδέχομαι τὴν προθυμίαν ὑμῶν, ἐπειδὴ θέλω ὑμᾶς ἐλεήμονας γίνεσθαι· πρὶν δὲ ὑμεῖς δεηθῆτέ μου, το[ύτῳ] παρέσχον τὰ σπλάγχνα μου, [para]καὶ δι' αὐτὸν παρεγενόμ[ην] [para]ἐκ θαλάττης νυνί, ὁ πρὶν ἢ γεννηθῇ προειδὼς αὐτόν, ὁ 〈πάντων δεσπότης.〉

book 14 Σῶσαι πάντας ἐγὼ ἦλθον ἐξ οὐρανῶν ἡ αὐτόκλητος πάν[των] βοήθεια· [para]διὰ τοῦτο καὶ ἄνθρωπος γέγονα, ἵνα τὸ γένος κατ[ά]ρας λυτρώσωμαι τὸ συγγενὲς τῆς σαρκός μου, διὸ καὶ σ[ε]σάρκωμαι ἔμψυχον σάρκα ὁ εὔσπλαγχνος· θέλω γὰρ σῶ[σαι] τὸν ἄνθρωπον, [para]ὃν ἐλεήσας ἦλθον θέλων [para]ἐν παρθένῳ γαστρί, μὴ λιπὼν οὐρανοὺς ὡς ἀχώριστος, ὁ πάντων δεσπότης.»

book 15 Τοὺς αὐτοῦ μαθητὰς ἐκδιδάσκει Χριστός· ὁ δὲ δαίμων πρ[ὸς] ταῦτα ἐκώφευε [para]καὶ ἐκτρέπεται πρὸς λοιδορίαν αὐτοῦ· τὸν κριτὴν ὁ κατάκριτος μέμφεται, τὸν δικαστὴν τὸν χρηστὸν αἰτιᾶται ὁ ἄδικος· «Τί ἡμῖν καὶ σοί, Ἰησοῦ; φησίν· ἄνθρωπος εἶ τὸ φαινόμενον, [para]οὐχ ὑποκείμεθα ἀνθρώπῳ· [para]εἰ δὲ σὺ εἶ Θεός, δυσωπ[ῶ] ἵνα μὴ βασανίσῃς με, ὁ πάντων δεσπότης.

book 16 Ἵνα τί πρὸ καιροῦ βασανίσαι ἡμᾶς παρεγένου, ἰσχύειν οἰόμενος [para]ὅπερ δύναται μόνος ποιεῖν ὁ Θεός; Ὅτι γὰρ τῷ κριτῇ ὑποκείμεθα τῷ οὐρανίῳ, καὶ κρίσις φρικτὴ προτεθήσεται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, τοῦτο σαφῶς ἐπιστάμεθα· [para]σὺ δὲ τὸν χρόνον προλαμβάνεις [para]καθ' ἡμῶν ὡς Θεὸς καὶ ὡς ἔχων τὸ κράτος ἀήττητον, ὁ πάντων δεσπότης.

book 17 Νῦν γὰρ οἶδα κἀγὼ σὲ Μαρίας υἱόν, τὸν πατρίδα κτησάμενον τὴν Ναζαρέτ, [para]καὶ ὡς ἐξ οὐρανῶν ἐπιτάττεις ἡμῖν. Φορτικὸς ἡμῖν ἦλθες πολέμιος, τῶν ἡμετέρων δεινὸς θηρευτὴς ἀποδέδειξαι· πάσης τῆς γῆς ἐδεσπόζομεν, πάντα αἰχμάλωτα εἴχομεν· [para]σὺ δὲ ὡς μέγας αὐτοκράτωρ [para]ἐπελθὼν αὐθεντεῖς, ἀπελαύνων ἡμᾶς ὧν κεκτήμεθα ὡς πάντων δεσπότης.

book 18 Ῥᾳδίως τοὺς ἡμῶν μάγους μέμνημαι πῶς γεννηθεὶς ἐ[κ Περ]σίδος ἀπέσπασας· [para]σωφρονεῖν δὲ τὰς πόρνας μετέ[πει]σας· πλεονέκτας τελώνας ἐζώγρησας· τοὺς δὲ νε[κροὺ]ς ὑφ' ἡμῶν κρατουμένους ἐσύλησας, τοὺς δαιμονῶν[τας] ἀπέλυσας, πάντων ἡμᾶς ἀπεστέρησας, [para]ἅπερ οὐ[δεὶ]ς ἐξ Ἀδὰμ πρᾶξαι [para]ἠδυνήθη ποτέ· ἀλλά, δέομαι, μὴ μαστιγώσῃς με ὡς πάντων δεσπότης.»

book 19 Ὡς δεινὸς ὀλετὴρ οὐκ ἐπέγνω σαφῶς τὸν Χριστὸν ὡς αὐτός ἐστιν ὁ ποιητής, [para]διὰ τοῦ φαινομένου πλανώμενος. Εἰ γὰρ ἠπίστατο εἶναι δεσπότην αὐτόν, οὐκ ἂν ἐτόλμησε λέγειν αὐτῷ· «Τί σοὶ καὶ ἡμῖν;» Ταῦτα οὐκ ἔστι γινώσκοντος, ὥσπερ καὶ πρώην ἐπείραζεν [para][εἰς] τὸ πτερύγιον κραυγάζων· [para]«Εἰ υἱὸς εἶ Θεοῦ»· καὶ ἐκεῖ γὰρ ἀμφέβαλεν ὅτι ἔστιν ὁ πάντων δεσπότης.

book 20 Μὴ θαυμάσωμεν δὲ εἰ υἱὸν τοῦ Θεοῦ ὀνομάζων ἠγνόει τὸν Κύριον· [para]ὑϊοὶ γὰρ Θεοῦ ἐκαλοῦντό ποτε οἱ ἀγαπῶντες Θεὸν παντοκράτορα· [υἱ]ὸς πρωτότοκος ὁ Ἰσραὴλ ἐπεκέκλητο, καὶ ἐν τῇ Κτίσει εὑρίσκο[μεν] ὅτι υἱοὺς ἀπεκάλεσε [para]τοὺς γυναιξὶν ἐπιφυρέντας· [para]καὶ το[ι]οῦτον ἐνόμιζεν εἶναι καὶ νῦν τὸν φαινόμενον 〈τὸν πάντων δεσπότην〉.

book 21 Αὐτὸς οὖν Ἰησοῦς, ὡς καὶ Θεὸς ἰσχυρός, ἀφανῶς τιμωρεῖται τὸν δαίμονα [para]καταλύσας αὐτοῦ τὴν θρασύτητα, καί φησι πρὸς αὐτόν· «Τί τὸ ὄνομά σοι;» Ὡς δικαστὴς φοβερὸς ἐρωτᾷ τὸν κατάρατον· οὐκ ἀγνοῶν δὲ ἐρώτησεν, ἀλλ' ἵνα γνῶμεν τὸν ἄνθρωπον [para]δαίμοσι πόσοις ἐπειράσθη· [para]«Λεγεὼν γάρ, φησίν, ἔστι τὸ ὄνομά μοι, ὡς ἐπίστασαι, ὁ πάντων δεσπότης.»

book 22 Νῦν δὲ ὡς κελευσθεὶς ἐξελθεῖν τοῦ ἀνδρός, ἐστασίαζε καὶ καθικέτευε· [para]ἡ θρασύτης δὲ πρὸς τὸ φαινόμενον, ἀλλ' ἡ παράκλησις πρὸς τὸ ἀπόρρητον· ἡ τῶν μαστίγων ἀνάγκη ἐκίνει τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέησιν. Χοίρων ἀγέλη ὑπῆρχε δὲ καὶ πρὸς τὸ ὄρος ἐβόσκετο· [para]εἶδεν ὁ δαίμων τὴν ἀνάγκην [para]καὶ βοᾷ τῷ Χριστῷ· «Εἰ ἐκβάλλεις με, δὸς τὸ αἰτούμενον ὡς πάντων δεσπότης.

book 23 Ὁ Χριστὸς Ἰησοῦς, εἰ ἐκβάλλεις ἐμέ, κἂν τὴν αἴτησιν πλήρωσον ἥνπερ αἰτῶ, [para]εἰσελθεῖν εἰς τοὺς χοίρους ἐπίτρεψόν μοι.» Τῇ προστάξει οὖν τῇ τοῦ δεσπότου Χριστοῦ, τοῦ μὲν ἀνθρώπου ἐξῆλθον εὐθὺς τὰ δαιμόνια, εἰς δὲ τοὺς χοίρους εἰσέρχονται καὶ εἰς κρημνοὺς ἀποπνίγουσιν. [para]Ὄντως μεγάλα σου τὰ ἔργα, [para]ὁ ἁρπάσας ἡμᾶς ἐκ χειρὸς τοῦ ἐχθροῦ, ὁ Θεὸς ἡμῶν, 〈ὁ πάντων δεσπότης.〉

book 24 ͜Ὑὸς γὰρ οὔτε τινὸς ζῴου ἢ πετεινοῦ οἱ δαίμονές εἰ[σι δυ]νατώτεροι, [para]ἐὰν μὴ ὁ Θεὸς συγχωρήσῃ αὐτοῖς. Καὶ βλέπ[ε] πῶς οὐκ ἐτόλμησαν οἱ τολμηροὶ οὐδὲ τοῖς χοίροις αὐτ[οῖς] ἀκελεύστως ἐφίστασθαι· ὅτε δὲ ἔλαβον ἄδειαν, οὐδὲ [τῶν] χοίρων ἐφείσαντο· [para]οὕτως ἠβούλοντο τὰ πάντα [para]δια[θεῖναι], εἰ μὴ τῇ ἰσχύϊ αὐτοῦ διεφύλαττεν ὁ πάντων δεσπότης.

book 25 Ὑπηρέται Χριστοῦ, οἱ φιλοῦντες ἀεὶ παραμένειν καὶ ψάλλειν εἰ[ς] δόξαν αὐτοῦ, [para]οἱ πομπεύσαντες νῦν τὸν διάβολον, π[αρα]καλέσωμεν τὸν κυβερνήτην ἡμῶν ἵνα καλῶς τὸν τοῦ [βίου] παρέλθωμεν κλύδωνα· οἴδαμεν δὲ ὡς ἀκοίμητον ἔχ[ει] τὸ ὄμμα φρουροῦν ἡμᾶς, [para]καὶ ταῖς εὐχαῖς τῆς Θεοτόκου [para]διασῴζει ἡμᾶς εἰς λιμένα τὸν εὔδιον καὶ ἀγαθὸν ὁ πάντων δεσπότης.

book pro Ὡς ἡ αἱμόρρους προσπίπτω σοι, Κύριε, [para]ὅπως τοῦ ἄλγους με ῥύσῃ, φιλάνθρωπε, [para]καὶ πταισμάτων μοι παράσχῃς συγχώρησιν, [para]ἵνα ἐν κατανύξει καρδίας κραυγάζω σοι· Σῶτερ σῶσόν με.

book 1 Ψάλλω σοι ἐν ᾠδαῖς, ἄναξ ὕψιστε, ὅτιπερ οὐ στερεῖς με τῆς δόξης σου· παρορᾷς μου γὰρ τὰ ἁμαρτήματα, θέλων μετανοοῦντα εὑρεῖν ἐμέ, ὑπάρχων φύσει ἀναμάρτητος· ὅθεν λίττομαί σου ἐμοὶ γενέσθαι [para]τὴν σὴν μακροθυμίαν εἰς ἐπιστροφὴν καὶ μὴ εἰς καταφρόνησιν, ὅτι βοῶ· Σῶτερ σῶσόν με.

book 2 Ἀφθαρσίας ποσὶν γῆς ἐπέβης νῦν πᾶσι καταμερίζων ἰάματα· [para]πηροῖς γὰρ ἐδωρήσω ἀνάβλεψιν, παρειμένοις δὲ ἔδωκας 〈σύ〉 σφιγξιν χειρὶ καὶ λόγῳ καὶ θελήματι· οὕτως οὖν ἐπακούσασα ἡ αἱμόρρους [para]σοὶ προσῆλθε σωθῆναι, σιγῶσα φωνῇ, τῇ παλάμῃ δὲ κράζουσά σοι ἐκτενῶς· 〈Σῶτερ σῶσόν με.〉

book 3 Λανθανόντως, σωτήρ, σοὶ προσήρχετο, καὶ γὰρ ἄνθρωπον μόνον ἐνόμιζεν· [para]ἰωμένη δὲ ἐξεπαιδεύετο ὅτι σὺ Θεὸς ἅμα καὶ ἄνθρωπος. Λαθραίως ψαύει τοῦ κρασπέδου σου, τῇ παλάμῃ κρατοῦσα, ψυχῇ δειλιῶσα· [para]σὲ ἐνόμιζεν ἀποσυλᾶν τῇ χειρί, ὑπὸ σοῦ ἐσυλήθη δὲ κράζουσά σοι· Σῶτερ σῶσόν με.

book 4 Μαθεῖν θέλεις σαφῶς πῶς σεσύληται ὁ σωτὴρ καὶ ἐσύλησεν, ἀκροατά; Ὅπερ εἶχε ποιῆσαι ἠπίστατο ἡ γυνή, καὶ σιγᾷ κλοπῆς ἕνεκα· εἰ γὰρ ἐγνώρισεν, ἐμάνθανεν ὁ ἐχθρὸς τὴν τῆς κόρης σωτηρίαν [para]καὶ εἰς ἀπόγνωσιν ταύτην ἐνέ[βαλ]λε· διὰ τοῦτο σιγῇ ὑπακούει αὐτῆς· Σῶτερ σῶσόν με.

book 5 Οὐ γὰρ μόνον εἰκὸς ἐλογίζετο ἡ αἱμόρρους καὶ ἔλεγε καθ’ ἑαυτήν· [para]«Πῶς ὀφθήσομαι τῷ παντεπόπτῃ μου, φέρ[ουσα] τὴν αἰσχύνην πταισμάτων ἐμῶν; Αἱμάτων ῥύσιν ὁ ἀ[μώ]μητος ἐὰν ἴδῃ, χωρεῖ μου ὡς ἀκαθάρτου, [para]καὶ δεινότερον [ἔσ]ται μοι τοῦτο πληγῆς, ἐὰν ἀποστραφῇ με βοῶσαν αὐτῷ· 〈Σῶτερ σῶσόν με.〉

book 6 Συνωθοῦσί με πάντες ὁρῶντές με, ‘Ποῦ νυνὶ σὺ προσέρ[χει;] βοῶντές μοι. [para]Κατανόησον, γύναι, τὸ αἶσχός σου, γνῶθι [τίς] τίνι θέλεις ἐγγίσαι νυνί· τῷ ἀμωμήτῳ ἡ ἀκάθαρτος. Ἄ[πι]θι καὶ καθάρθητι ἀπὸ ῥύπου, [para]καὶ τὸν σπίλον τὸν σὸν ἀπ[οσμή]ξασα, τότε τούτῳ προσέρχει βοῶσα φωνῇ· Σῶτερ σῶσόν με.‘

book 7

—Τοῦ ἐμοῦ πάθους τάχα βουλεύεσθε χαλεπώτεροι, ἄνδρ[ες,] γενέσθαι μοι· [para]μὴ γὰρ νῦν τῇ ἀγνοίᾳ κεκράτημαι; Οἶδα ὅτι αὐτὸς καθαρός ἐστιν, ὅθεν αὐτῷ καὶ προσελεύσομ[αι] τῶν ὀνειδισμῶν ῥυσθῆναι καὶ τῶν κηλίδων· [para]μὴ κωλύσητε οὖν ῥῶσιν δρέψασθαί με· διό, λίττομαι, ἄφετε κρά[ξαι ἐμέ·] 〈Σῶτερ σῶσόν με.〉

book 8 —Οὐ νοεῖς τί αἰτεῖς, γύναι· ἄπιθι, μὴ ἡμεῖς ὑπὸ μέμψιν γενώμεθα. [para]Ἂν ἐάσωμέν σε, πάντες αἴτιοι τῆς αὐτοῦ ἀτιμίας δεικνύμεθα· ἐὰν δὲ πάλιν σε θεάσωνται οἱ φοιτῶντες αὐτῷ νῦν προσιοῦσαν, [para]ὥσπερ καταφρονοῦντα[ς] μέμψονται ἡμᾶς καὶ ὡς ἄφρονας κρινοῦσιν, ὅτι βοᾷς· Σῶτερ σῶσόν με.

book 9 —Ὑμεῖς, δύσμοροι, φθόνῳ κεκράτησθε, ὅθεν ἐμὲ σωθῆναι οὐ βούλεσθε· [para]ἡ πηγὴ πᾶσι βλύζει τὰ νάματα· χάριν τίνος αὐτὴν ἀποφράττετε; Ἰδοὺ προσέρχομαι τῷ πλάστῃ μου, καὶ ἐὰν θυμωθῇ, οὐκ ἔστιν ὑπὸ μέμψιν· [para]ἐὰν δὲ σώσῃ με τῆς πληγῆς τῆς ἐμῆς, τὴν αἰσχύνην κομίσησθε ὅτι βοῶ· Σῶτερ 〈σῶσόν με.〉

book 10 Καθορᾶτε αὐτοῦ τὰ ἰάματα, καὶ τί τοὺς προσιόντας κωλύετε; [para]Καθ’ ἑκάστην βοᾷ καὶ προτρέπεται· ‘Δεῦτε πρός με νῦν, οἱ κοπιῶντες κακοῖς· ἐγὼ γὰρ ὑμᾶς ἀναπαύσοιμι.‘ Χαίρει δῶρον διδοὺς πᾶσι τὴν ὑγείαν, [para]καὶ ὑμεῖς τί κεντᾶσθε [κωλύ]οντές με, ὡς προφάσει τιμῆς, μὴ βοῆσαι αὐτῷ· Σῶτερ σῶσόν με;

book 11 [Ὑμ]ῶν ὄμμασι τί ἐνεφάνησα; Ῥῶσιν γὰρ ὡς οὐκ οἴδατε [λήψ]ομαι· [para]μὴ γὰρ μύσται ὑπάρχετε τοῦ Χριστοῦ; Τί δὲ ἀκολουθεῖτε [στυγνοῦν]τες αὐτῷ; Ὑμεῖς πτερνίζετε τὸν ἄχραντον· ὅθεν ἀπόστη[τε], καὶ μόνος οὐκ ἔνι· [para]φθόνου, φόνου δυσοσμίαν πνέετε· διὰ [τοῦτ]ο κωλύετέ με τοῦ βοᾶν· Σῶτερ σῶσόν με.»

book 12 [Ῥή]σεις ταύτας αἱμόρρους ἐλάλησε τάχα πρὸς τοὺς σοβεῖν [αὐ]τὴν θέλοντας, καὶ λαθραίως κρασπέδου προσήψατο· ὥσ[περ] ἄνθρωπον γὰρ ἐπειρᾶτο συλᾶν τὸν τῇ θεότητι ἀκοίμητον· ὅ[μω]ς Χριστὸς ἠνέσχετο τοῦ κλαπῆναι [para]πρὶν ὁ κλέψας πλευρὰν ἐν Ἐ[δὲμ] τοῦ Ἀδὰμ καὶ μορφώσας τὴν κράξασαν νῦν ἐν κλοπῇ· Σῶτερ σῶσόν 〈με.〉

book 13 [Ὁ τ]ὰ πάντα εἰδὼς πρὶν γενέσεως, ὅστις πρὶν οὐκ ἠγνόει [τί] πέπονθε, [para]στραφεὶς εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· «[Τίς] 〈δὴ〉 ἥψατο νῦν τοῦ κρασπέδου μου καὶ ἔλαβεν ὅπερ ἠθέλησε; [Πῶ]ς φυλάττετε οὖν τὸν θησαυρόν μου; [para]Γρηγορούντων ὑμῶν [τῶ]ν ἐμῶν μαθητῶν μὴ κλαπεὶς ἐσυλήθην βοώσῃ χειρί· Σῶτερ σῶσόν με;

book 14 [Ὑπ]ὸ τίνος αὐτὸ τοῦτο γέγονεν, ὑμεῖς γνῶναι ὀφείλετε, φίλοι μου· [para][νῦν] ἐγνώρισα τὸ δραματούργημα, νῦν ὑμῖν ἐκκαλύπτω τὸν [κλ]έψαντα δυνάμεις τρόπῳ πῶς ἐχρήσατο· ἀφωνίᾳ προ[σ]ῆλθεν ἐμοὶ βοῶσα [para]καὶ κρατοῦσα στολὴν ὥσπερ ἐπιστολήν, θεραπείαν ἐδρέψατο κράζουσά μοι· Σῶτερ σῶσόν με.

book 15 [Ῥῶ]σιν ἔλαβεν ἡ προσελθοῦσά μοι, δύναμιν ἐξ ἐμοῦ γὰρ ἐλῄστευ[σ]ε· τί μοι φθέγγει, ὦ Σίμων Βαριωνά, ὅτι ὄχλοι πολλοί με συνέχουσι; Οὐ ψαύουσί μου τῆς θεότητος· αὕτη, ψαύσασα δὲ στολῆς ὁρωμένης, [para]θείας φύσεως σαφῶς ἐδράξατο καὶ ὑγείαν [ἐκ]τήσατο κράξασά μοι· Σῶτερ σῶσόν με.»

book 16 [Ὡς] κατεῖδεν δὲ ὅτι οὐκ ἔλαθεν, ἡ γυνὴ ταῦτα συνελογίζετο· [para]φησὶν ὅτι «Ὀφθῶ τῷ σωτῆρί μου Ἰησοῦ, καθαρθεῖσα τοὺς σπίλους [μου]· οὐκέτι φόβος γὰρ οὐκ ἔστι μοι· τῇ βουλῇ γὰρ αὐτοῦ ἐξετέ[λουν] τοῦτο· [para]ὃ ἠθέλησε, τοῦτο καὶ ἔδρασα· ἐν γὰρ πίστει προσῆλθον βοῶσα αὐτῷ· Σῶτερ σῶσόν με.

book 17 Μὴ οὐκ ᾔδει ὁ πλάστης ὃ ἔπραττον, ἀλλ’ ἠνέσχετό μου ὡς καὶ εὔσπλαγχνος· [para]μόνον ψαύσασα, ῥῶσιν ἐτρύγησα, ἐπειδήπερ ἡδέως σεσύλητο. Διὸ οὐ δέδοικα ὀ[φθῆ]ναι νῦν τῷ Θεῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μου κηρύττουσα ὅτι ἔστιν [para]ἰατρὸς ἀσθενῶν καὶ σωτὴρ τῶν ψυχῶν καὶ δεσπότης τῆς φύσεως, ᾧπερ βοῶ· Σῶτερ σῶσόν με.

book 18 Ἀγαθῷ ἰατρῷ σοι προσέφυγον, ἀπορρίψασά μου νῦν τὸ ὄνειδος. [para]Κατ᾽ ἐμοῦ τὸν θυμὸν μὴ ἐγείρῃς σου, μηδὲ [τῇ] θεραπαίνῃ τῇ σῇ ὀργισθῇς· ὃ γὰρ ἠθέλησας ἐτέ[λεσα]· πρὶν λογίσωμαι γὰρ ποιῆσαι τὸ δρᾶμα, [para]σὺ ὑπῆρχες σ[υμ]βιβάζων με πρὸς αὐτό· τὴν καρδίαν μου ᾔδεις κραυγ[άζου]σάν σοι· Σῶτερ σῶσόν με.

book 19 —Νῦν νευρώθητι, γύναι, τῇ πίστει σου θέλοντά με συλήσ[ασα]· θάρσει λοιπόν· [para]οὐ γὰρ ἕνεκεν τοῦ ἐλεγχθῆναί σε τού[των] πάντων εἰς μέσον παρήγαγόν σε, ἀλλ᾽ ἵνα τούτους νῦν [πι]στώσωμαι ὡς συλούμενος χαίρω, οὐκ ἀπελέγχω· [para]ὅ[θεν] ἔσο λοιπὸν ὑγιαίνουσα, μέχρι τέλους τῆς νόσου σου κράζουσά [μοι]· 〈Σῶτερ σῶσόν με〉.

book 20 Οὐ χειρὸς τῆς ἐμῆς τοῦτο ἔργον νῦν, ἀλλὰ πίστεως τ[ῆς] σῆς τὸ κάτεργον· [para]πολλοὶ ἥψαντο γὰρ τοῦ κρασπέδου μου, τῆς δυνάμεως δὲ οὐκ ἐπέτυχον, ἐπειδὴ πίστιν οὐ προ[σή]γαγον· σὺ δὲ πίστει πολλῇ ἐμοῦ ἁψαμένη [para]τὴν ὑγείαν ἐδ[ρέ]ψω, ὅθεν σε νῦν ἐπὶ πάντων προήγαγον, ἵνα βοᾷς· 〈Σῶτερ σῶσόν με.〉 »

book 21 Υἱὲ τοῦ Θεοῦ ἀκατάληπτε δι᾽ ἡμᾶς σαρκωθεὶς ὡς φιλάνθρωπος, [para]ὡς ἐκείνην αἱμάτων τὸ πρότερον, οὕτως ἁμαρτημάτων με λύτρωσαι, ὑπάρχων μόνος ἀναμάρτητος· ταῖς εὐχαῖς καὶ πρεσβείαις τῶν ἁγίων, [para]κλῖν[όν] μου τὴν καρδίαν, μόνε δυνατέ, ἐπὶ τὸ μελετᾶν σου τοὺς λόγους ἀεί, ἵνα σώσῃς με.

book pro Τοὺς ἐκ τῆς σῆς τρεφομένους σαρκός, ἐλεῆμον, ἀπὸ λιμοῦ καὶ ἀνάγκης ῥυόμενος πάσης, Χριστὲ ὁ Θεὸς ἡμῶν, [para]τῶν αἰωνίων ἀγαθῶν σου τῇ ἱκεσίᾳ τῆς Θεοτόκου ἀξίωσον ἡμᾶς, ὅτι ὑπάρχεις, σωτήρ, ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 1 Πάντες ἄγγελοι οἱ ἐν οὐρανοῖς θαυμάζουσι τὰ ἐπ[ίγεια], ὅτι ἄνθρωποι γηγενεῖς τὰ κάτω κατοικοῦντες [para]ὑψ[οῦνται] τῇ διανοίᾳ καὶ φθάνουσι πρὸς τὰ ἄνω, μέτοχοι Χ[ριστοῦ ὄν]τες τοῦ ἐσταυρωμένου. Τὸ σῶμα γὰρ αὐτοῦ πάντε[ς] ἅμα ἐσθίουσι τῷ ἄρτῳ τῆς ζωῆς πρόθυμοι προ[σκυνοῦντες], ἀθάνατον ἐλπίζουσιν ἐντεῦθεν σωτηρίαν· κἂν αἰ[σθη]τῶς γὰρ ἄρτος ὁρᾶται, νοητῶς ἁγιάζει αὐτοὺς ὡς ὑ[πάρχων] 〈ἄρτος ἀφθαρσίας ἐπουράνιος.〉

book 2 Ὅτι σάρξ ἐστι τοῦ Ἐμμανουὴλ ὁ ἄρτος ὅνπερ λαμβάν[ο]μεν, αὐτὸς πρῶτος πάντας 〈ἡμᾶσ〉 διδάσκει ὁ δεσπότης· [para][ἡ]νίκα γὰρ πρὸς τὸ πάθος ἐλήλυθεν ἑκουσίως, ἔκλα[σε] Χριστὸς ἄρτον τὸν τῆς σωτηρίας καὶ λέγει τοῖς αὐτοῦ ἀποστόλοις, ὡς γέγραπται· «Προσέλθετε νυνί, φάγετε ἀπὸ τούτου [καὶ] τεύξεσθε ἐσθίοντες ζωῆς τῆς αἰωνίου· ἔστι γὰρ σάρξ [μου] αὕτη ἡ βρῶσις, ἐπειδήπερ ἐγὼ ὃν ὁρᾶτε ὑπάρχω 〈ἄρτος ἀφθαρσίας ἐπουράνιος.〉 »

book 3 Ἴσμεν ἅπαντες, ὅσοι ἐν Χριστῷ τὴν πίστιν πᾶσαν κεκτήμ[ε]θα, ὡς τῷ ἄρτῳ τῷ μυστικῷ προθύμως προσιόντ[ες], [para]λαμβάνοντες δὲ πρὸς τούτοις ποτήριον σωτηρίου, γνώμ[ης] καθαρᾶς ὄντες καὶ ἀνυποκρίτου, τοῦ σώματος Χριστοῦ ἅ[μα] τε καὶ τοῦ αἵματος ἐν πίστει τῇ αὐτοῦ ἅπαντες μ[ε]τασχόντες, ἰσάγγελον ἐλπίζομεν ἐκ τούτων πολιτείαν· [ἔ]στι γὰρ ὄντως τοῦ πεπονθότος Ἰησοῦ τοῦ Χριστοῦ τὸ πανάγιον σῶμα 〈ἄρτος ἀφθαρσίας ἐπουράνιος.〉

book 4 Ἤλθομεν ἅπαντες ἀκοῦσαι καὶ νῦν πῶς κράζει τὰ εὐαγγέλ[ια] καὶ θαυμάζειν τὸν Ἰησοῦν· αὐτὸς γὰρ ἀπορρήτως [para]διέθρεψεν ἐν ἐρήμῳ τὰς πέντε πρὶν χιλιάδας· θαῦμα φοβερόν, πάσ[ης] ἐκπλήξεως γέμον. Λαβὼν γὰρ ὁ σωτὴρ πέντε ἄρτους, ὡς γέγραπται, ἐκτρέφει ἐξ αὐτῶν ταύτας τὰς χιλιάδας, καὶ π[άν]τες ἐκορέσθησαν σοφίᾳ τῇ ἀφράστῳ· οὐδὲ γὰρ πλήθους ἔχ[ρῃ]ζον ἄρτων, ἐπειδήπερ παρῆν ὁ Χριστὸς ὁ ὑπάρχων ἄρτος ἀφθαρ[σίας ἐπουράνιος].

book 5 Μνήμην βούλομαι ποιήσασθαι νῦν τὸ πλῆθος πῶς διετρέφετο· γεωργοῦ 〈τε〉 καὶ ἰατροῦ παρόντος ἐν ἐρήμῳ, [para]ἡ χώρα ἡ ἀσθενοῦσα καὶ ἔχουσα τὰς ἀκάνθας ἔσπευσεν εὐθὺς φθάσαι τὸν εὐεργετοῦντα. Ἑώρα δὲ Χριστὸς πάντας καὶ ἐσπλαγχνίζετο, καὶ πρῶτον ὁ σοφὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίδωσι θεραπείαν καὶ δύναμιν χαρίζεται τῇ τούτων ἀσθενείᾳ· οὗτοι δὲ τότε τῆς ἰατρείας ἀπολαύσαντες ἔγνωσαν ὅτι ὑπάρχει ἄρτος ἀφθαρσίας 〈ἐπουράνιοσ〉.

book 6 Ἁπαξάπαντας ὁ πάντων Θεὸς ἰάτρευε τοὺς ἐν θλίψεσι, θεραπεύων καὶ τῶν ψυχῶν τὰ πάθη ὡς δυνάστης, [para]λαμβάνων συγκληρονόμους ὁ πλούσιος κληρονόμος πάντας τοὺς πτωχούς, μόνον ἐὰν βουληθῶσιν. Ἐν ὅσῳ δὲ αὐτοῖς ταῦτα εὐηγγελίζετο, τὸ μέτρον πρὸς δυσμὰς ᾤχετο τῆς ἡμέρας καὶ ὅλον τὸ συνάθροισμα ὑπῆρχεν ἐν νηστείᾳ κεκορεσμένον διδασκαλίαις καὶ εἰδὸς ὡς ὑπάρχει Χριστὸς τοῖς ἀνθρώποις ἄρτος ἀφθαρσίας 〈ἐπουράνιοσ〉.

book 7 Ῥᾴως μάθωμεν τί μὲν τῷ Χριστῷ ἐφθέγγοντο οἱ ἀπόστολοι, τί δὲ ὁ σωτὴρ πρὸς αὐτοὺς εὐθέως ἀπεκρίθη. [para]Αὐτὸς μὲν γὰρ ὡς προγνώστης τὰ μέλλοντα προεώρα, οὗτοι δὲ οὐδὲν τούτων ἠδύναντο γνῶναι· αὐτὸς μὲν γὰρ Θεὸς κτίστης τε τοῦ παντός ἐστιν, αὐτοὶ δὲ ἀσθενεῖς ἦσαν ὡς ὄντες κτίσμα· αὐτὸς μὲν δυνατός ἐστιν, ἀδύνατοι δὲ οὗτοι· ἀλλὰ παρέσχε δύναμιν τούτοις, διαθρέψας αὐτοὺς θεϊκῶς ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 8 Ὡς γὰρ εἴδοσαν οἱ τοῦ λυτρωτοῦ ἀπόστολοι ὡς ἐξέδραμεν ἡ ἡμέρα πρὸς τὰς δυσμάς, σπουδαίως προσελθόντες· «Διδάσκαλε, ἀνεβόων, ἀπέκλινεν ἡ ἡμέρα· [para]πᾶς δὲ ὁ λαὸς οὗτος νηστείαις ἐτάκη· ὁ τόπος δέ ἐστιν ἔρημος, ὡς ἐπίστασαι· ἀπόλυσον αὐτοὺς πρὶν γενέσθαι ἑσπέραν, ἵν' ἄρτους ἀγοράσωσιν ἐλθόντες εἰς τὰς κώμας· οὐ γὰρ ἀρκοῦσιν οὗτοι νηστεύειν ὡς ἡμεῖς, οἷς παρέσχες ἰσχὺν ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 9 Μέγας πέφυκας τοῦ κόσμου σωτὴρ καὶ γνῶσιν πάντας ἐδίδαξας· διαθρέψας δὲ τὸν λαὸν ἐν λόγοις ἀληθείας, [para]ὡδήγησας τοὺς ἀνθρώπους πρὸς τρίβον τῆς σωτηρίας, δεδωκὼς αὐτοῖς γνῶναι τὴν δικαιοσύνην· αὐτοὶ μὲν τὰς ψυχὰς νοητῶς ἀπετράφησαν, τὸ σῶμα δὲ λοιπὸν χρῄζουσι θεραπεῦσαι, καὶ μάλιστα τὰ νήπια καὶ τούτων αἱ μητέρες· ὃ μεριμνῶντες παρακαλοῦμεν ἵνα θρέψῃς αὐτούς, λυτρωτά, ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 10 Ἀλλά, Κύριε, ὁρῶμεν νυνὶ πῶς στέργουσί σε οἱ ἄνθρωποι, ἀντὶ πάσης οὗτοι τρυφῆς τοὺς λόγους ἀγαπῶντες· [para]ἂν γένηται δὲ ἑσπέρα, καὶ μέλλουσιν ὑποστρέφειν· πόρος μὲν οὐδεὶς ἄρτων ἐστὶν ἐν ἐρήμῳ, καὶ πίπτουσιν εἰκὸς ἀσιτίαν οὐ φέροντες. Ἀπόλυσον αὐτούς· σφόδρα γὰρ μεριμνῶμεν· ἀπέλθωσιν, ὠνήσωνται τροφὰς πρὸ τῆς ἑσπέρας· τοὺς μαθητάς σου καὶ ἀποστόλους συμπαθεῖν ἐξεδίδαξας πᾶσιν, ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.»

book 11 Νῦν ὁ Κύριος πρὸς τοὺς μαθητὰς τί ἔφησεν ἐπακούσωμ[εν]· «Μεριμνῶντες δότε τροφὴν καὶ ἄρτους τοῖς πεινῶσιν· [para]οὐ χρῄζουσιν ἐξ ἑτέρων χορτάσματα ἀγοράζειν· θρέψατε αὐτοὺς πάντας ἐνταῦθα προθύμως.» Εὐθὺς δ[ὲ] πρὸς αὐτὸν ἀντεφθέγξαντο λέγοντες· «Ἀμέτρητός ἐστιν ὄχλος ὁ συνηγμένος, καὶ ἄρτους ἂν θελήσωμεν ὠνήσασθαι, οἰκτίρμον, διακοσίων οὐκ ἐξαρκέσει δηναρίων αὐτοῖς· σὺ δὲ πέφυκας μόνος ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 12 Ὅπως ἐμάθομεν —καὶ τὸ ἀληθὲς οὐ κρύπτομέν σοι, διδάσκαλε—, εἰ μὴ πέντε ἄρτους ἡμῖν κριθίνους οὐχ εὑρήσεις· [para]οὐδεὶς ἡμῶν οὐδὲ τούτους ἐκόμισεν ἐν ἐρήμῳ· παῖς γὰρ συμπαρὼν τούτους βαστάσας ἐπέστη· οὐκ ἔστιν 〈δὲ〉 ἡμῖν τρόπος ἄλλος, φιλάνθρωπε· πρὸς πλῆθος δὲ πολύ, ἄπειρον, π[αν]οικτίρμον, ἀρκέσαι πῶς δυνήσονται οἱ πέντε ἄρτοι οὗ[τοι;] Ἔχει πρὸς τούτοις δύο ἰχθύας, ἀλλὰ σπεῦσον καὶ θρέψον [αὐ]τοὺς ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.»

book 13 Ὑπὸ τῶν αὐτοῦ μαθητῶν ὁ Χριστὸς τοὺς λόγους τούτους ὡς ἤκουσεν, ἀπεκρίθη οὕτως αὐτοῖς· «Πλανᾶσθε οὐκ εἰδότες [para]ὡς κόσμου ὑπάρχω κτίστης· τοῦ κόσμου δὲ προνοοῦμαι· οἶδα δὲ σαφῶς ἄρτι ὧν χρῄζουσιν οὗτοι· τὴν ἔρημον ὁρῶ καὶ τὸν ἥλιον δύναντα, τὸν δρόμον δὲ ἐγὼ ἔταξα τῷ ἡλίῳ· τὸν κάματον ἐπίσταμαι τοῦ πλήθους τοῦ παρόντος· οἶδα τί μέλλω πράττειν εἰς τούτους· θεραπεύσω τὴν πεῖναν αὐτὸς ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 14

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τοῦτο οἴεσθε ἔσθ’ ὅτε ὑμεῖς ἀνθρώπινά με λογίζεσθαι, οὐκ εἰδότες ὅτι ἐγὼ τὰ πάντα πρὶν γενέσθαι [para]ἐπίστα[μαι] ὡς δυνάστης· τὰ κρύφια προγινώσκων, οἶδα πρὸ [ὑμ]ῶν ὅτι οὐκ ἔχετε ἄρτους· βουλῇ δὲ τῇ ὑμῶν ἡρμοσάμην [εἰπ]ὼν ὑμῖν· ‘Παράσχετε τροφὴν πᾶσι τοῖς συμπαροῦσι.‘ [Φρο]νεῖτε γὰρ ἀνθρώπινα ἀτόπως μεριμνῶντες· τί με[ριμ]νᾶτε, ὦ μαθηταί μου, οὐκ εἰδότες ὡς πρόκειμαι ἄφθονος πᾶσιν ἄρτος ἀφθαρσίας ἐπουράνιος;

book 15 [Οὐδ]ὲ μέμνησθε ὅπως ἡ ἐμὴ παρθένος μήτηρ με ἠτήσατο [ἐν] τοῖς γάμοις τοῖς ἐν Κανὰ εἰποῦσα· ‘‘Υἱέ μου, [para]οὐκ ἔχουσιν [οἶνον] ὧδε οἱ τρέφοντες ἐν τοῖς γάμοισ‘; Ὅπως δὲ ἐγὼ ταύ[τῃ] πεισθεὶς ὡς μητρί μου τὴν φύσιν ὡς Θεὸς τῶν ὑδάτων με[τέβ]αλον, ἀμπέλου δὲ χωρὶς οἶνον ἐδωρησάμην; Διόπερ [δυ]νατός εἰμι καὶ ἄρτι διαθρέψαι νεύματι μόνῳ ἅπαν τὸ πλῆθος· καὶ γὰρ ἄμπελος πέφυκα καὶ τοῖς πεινῶσιν ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 16 [Ὑ]μεῖς οὐ δύνασθε φροντίζοντες νῦν τροφὴν παρέχειν ὡς ἄνθρωποι· ἢ γὰρ θρέψατε τὸν λαὸν οἱ οὕτως μεριμνῶντες, [para]ἢ θρέψαι αὐτοὺς μηδ’ ὅλως ἰσχύοντες σιωπᾶτε· μόνος γὰρ ἐγὼ πάντων φροντίζω ὡς κτίστης ὑπάρχων ἀγαθὸς ὡς Θεὸς προαιώνιος, καὶ πάσῃ δὲ σαρκὶ πᾶσαν τροφὴν παρέχω· ὑμεῖς δὲ θεωρήσαντες τὸ πλῆθος μεριμνᾶτε καὶ οὐ νοεῖτε τὸν χορηγοῦντα, ὅτι ἄνωθεν πρόκειμαι πᾶσι παρέχων ἄρτον ἀφθαρσίας ἐπουράνιον.

book 17 [Τί] λογίζεσθε καὶ λέγετε νῦν καθ’ ἑαυτοὺς προεπίσταμαι, ὡς [ὁ]ρῶντες νῦν τὸν λαόν, τὸν τόπον καὶ τὴν ὥραν, ‘Τίς θρέψει τὸ πλῆθος ἅπαν, λογίζεσθε, ἐν ἐρήμῳ;‘ [para]Ὅθεν φανερῶς γνῶτε τίς πέφυκα, φίλοι· ἐγὼ τὸν Ἰσραὴλ ἐν ἐρήμῳ διέθρεψα καὶ ἄρτον οὐρανοῦ τούτοις ἐδωρησάμην· ἐκ πέτρας δὲ ἐξήγαγον τὸ ὕδωρ ἐν ἀνύδρῳ, πρὸς ἐπὶ τούτοις ὀρτυγομήτραν παρεσχόμην ἀφθόνως αὐτοῖς ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 18 [Ἅμα] δύναται καὶ λόγος ἐμὸς καὶ νεῦμα σῶσαι τὰ σύμπαντα· [ἵν]α γνῶτε δὲ τὴν ἐμὴν καὶ ἄρτι δυναστείαν, [para]ποιήσατε κατὰ τάξιν τὰ νήπια καὶ τοὺς ἄνδρας ἅμα γυναιξὶ πάσαι[ς] νῦν ἀνακλιθῆναι, καὶ δείξω ὡς Θεὸς καρποφόρον τὴν ἔρημον· ἐμοῦ μὲν τοὺς καρποὺς νεύματι γεωργοῦντ[ος], ἐργάται δὲ δειχθήσεσθε ὑμεῖς καὶ ὑπηρέται, καὶ διαθρέψω ὅλον τὸ πλῆθος ὅτι μόνος ὑπάρχω προκείμενος πᾶσιν 〈ἄρτος ἀφθαρσίας ἐπουράνιοσ〉.»

book 19 Πρὸς ἃ ἤκουσαν παρὰ τοῦ Χριστοῦ, καὶ ἔσπευσαν οἱ ἀπόστολοι· τῇ προστάξει γὰρ τῇ αὐτοῦ τὸ πλῆθος κατὰ τάξιν [para]εὐθέως ἀνακλιθῆναι ἐποίησαν προσηκόντως· χόρτος [ἦν] αὐτοῖς στρωμναὶ καὶ τράπεζαι ἅμα. Τοὺς πέντε δὲ Χ[ριστὸς] τότε ἄρτους κομίζεται καὶ λέγει παρευθύς, βλέψας πρὸς τὸν πατέρα· «Τὰ ἔργα σου ἐργάζομαι· ὑπάρχω γὰρ υἱός σου, [καὶ] γὰρ τὸν κόσμον ὅλον ἐν πρώτοις μετὰ σοῦ καὶ τοῦ πνεύματος ἔκτισα ὥ[σπερ] ἄρτος ἀφθαρσίας 〈ἐπουράνιος.〉»

book 20 Ἰδοὺ ὡς κύριοι οἱ δοῦλοι Χριστοῦ ἀνέμενον ἀνακείμενοι ὑπ[ηρέ]την τὸν Ἰησοῦν καὶ εὗρον παραυτίκα· [para]τοὺς πέντε γὰρ τού[τους] ἄρτους εὐλόγησεν ὁ δεσπότης, λέγων πρὸς αὐτοὺς οὕτω φωνῇ ἀοράτῳ· «Αὐξάνεσθε ὑμεῖς αἰσθητῶς καὶ πληθύνεσθε, καὶ θρέψατε νυνὶ πάντας τοὺς συμπαρόντας.» Εὐθέως δὲ ὑπήκουσαν οἱ ἄρτοι τῷ Κυρίῳ· ἔτικτον οὗτοι ἀορασίᾳ, ὥσπερ εἶπεν αὐτοῖς ὁ Χριστὸς ὡς ὑπάρχων ἄρτος ἀφθαρσίας 〈ἐπουράνιοσ〉.

book 21 Νοῦς οὐ δύναται ἀνθρώπων οὐδεὶς τὸ θαῦμα ὅλως λογίσασθαι, πῶς οἱ ἄρτοι οἱ ὁρατοὶ ἐπέρρεον ἀοράτως· [para]ἡ αὔξησις δὲ ἡ τούτων ἡ ἄφραστος ποῦ ἐνήργει, ἐν τοῖς μαθηταῖς ἆρα ἢ ἐν ταῖς τραπέζαις; Τὸν τρόπον οὐκ εἰδὼς τοῦ ἀρρήτου θεάματος τὸ θαῦμα σιωπῶ, πίστει δὲ διορθοῦμαι τὸν νοῦν μὴ ἐφικνούμενος πρὸς βάθος μυστηρίου, δώδεκα βλέπων ἄρτι κοφίνους πληρωθέντας κλασμάτων, ὡς οἶδεν ὁ μόνος ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 22 Οὕτως πλήθυνον καὶ πᾶσιν ἡμῖν τὸ πλῆθος τῆς εὐσπλαγχνίας σου, καὶ καθάπερ τότε, σωτήρ, τὸ πλῆθος ἐν ἐρήμῳ [para]ἐχόρτασας ἐν σοφίᾳ καὶ ἔθρεψας ἐν δυνάμει, χόρτασον ἡμᾶς πάντας τὴν δικαιοσύνην, περι[σφίγγ]ων ἡμᾶς ἐν τῇ πίστει σου, Κύριε· διάθρεψον ἡμᾶς πάντας, [ὡς]

ἐλεήμων, καὶ δὸς ἡμῖν τὴν χάριν σου καὶ ἄφεσιν πταισμάτων ταῖς ἱκεσίαις τῆς Θεοτόκου, ὅτι μόνος Χριστὸς καὶ οἰκτίρμων ὑπάρχεις, ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book 23 [Ὕ]μνον ἅπαντες ὀφείλομέν σοι, Χριστέ, σωτὴρ ἀναμάρτητε, καὶ πιστεύομεν ὅτι σὺ Θεὸς ὢν πρὸ αἰώνων [para]ὁ τεχθεὶς ἐκ τῆς παρθένου καὶ ἔμεινας ὃ ὑπῆρχες· μόνος δὲ αὐτὸς οἶδας τοῦ τόκου τὸ [θ]αῦμα· τοὺς ἄρτους γὰρ ἡμεῖς οὐκ εἰδότες πῶς ἔτικτον, τὸν τόκον σου, σωτήρ, τὸν ἐξ ἀπειρογάμου χωρῆσαι πῶς δυνάμεθα καρδίαις ἀνθρωπίναις; Ὅθεν σε πάντες δοξολογοῦμεν ὅτι σὺ εἶ Θεὸς τοῦ παντὸς καὶ ὑπάρχεις ἄρτος ἀφθαρσίας ἐπουράνιος.

book pro Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, [para]σοί, Χριστέ, προσέρχομαι ὡς ὁ τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι· [para]«Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.»

book 1 Ῥεῖθρόν μοι δώρησαι, Σωτήρ, σοφίας τῆς ἀρρήτου καὶ γνώσεως τῆς ἄνω, τὸ φῶς τῶν ἐν τῷ σκότει καὶ πλανωμένων ὁδηγέ, ἵνα ἐξισχύσω τὰ θαυμάσια τὰ σὰ [para]ὁ τάλας διηγήσασθαι, ἅπερ ἡ θεία βίβλος ἐδίδαξε τοῦ εὐαγγελίου τῆς εἰρήνης, παραθεῖσα τὴν τοῦ τυφλοῦ θαυματοποιΐαν, ὅτι ἐκ γενετῆς πηρὸς ἐνυπάρχων ὀφθαλμοὺς μὲν αἰσθητοὺς ἀπολαμβάνει [para]καὶ τοὺς τῆς ψυχῆς, ἐν πίστει ἀνακραυγάζων·

book 1 «Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.»

book 2 Ὡς συναΐδιος Πατρὶ Υἱὸς γεγεννημένος, ὁ καὶ συμβασιλεύων τῷ Πνεύματι τῷ θείῳ, τῷ παντουργῷ καὶ θεϊκῷ, [para]τὴν τῶν Ἰουδαίων σκαιωρίαν καὶ βουλὴν τὴν ἄδικον ἐλέγχοντα, ἐν σαββάτῳ ὀφθαλμοὺς ἠνέῳξε τοῦ ἐκ γενετῆς μὲν τυφλοῦ ὄντος, ὕστερον δὲ νιψαμένου προστάξει τοῦ πλάστου· πηλῷ γὰρ τοὺς ὀφθαλμοὺς χρίσας, τὸ λεῖπον ἀν[ε]πλήρου ὡς Θεός, ὁ τὸν Ἀδὰμ μὲν [para]πάλαι ἐκ χοὸς ποιήσας ἄνθρωπον λόγῳ καὶ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.

book 3 Μανθάνει δῆμος μαθητῶν τὴν θείαν δεσποτείαν Χριστοῦ τοῦ διδασκάλου. Φησὶ γάρ· «Ἐπηρώτων· 'Καρδιογνῶστα καὶ Θεέ, [para]τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γενήσεται;'» Ὅθεν τὸν νοῦν τούτων διορθούμενος ὅτι ὑπὲρ δόξης [καὶ] σοφίας τῆς ἀρρήτου καθίστατο ἡ πήρωσις τούτου, κελεύει οὖν εὐθὺς αὐτὸν πορευθῆναι, καὶ νιψάμενος τρανῶς ἀπολαμβάνει [para]φῶς τῶν ὀφθαλμῶν, χαρᾷ βοῶντα [ἀ]λήκτῳ·

book 3 «Σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον.»

book pro Ἐπέστης ἐν τῷ τάφῳ τοῦ Λαζάρου, Κύριε, [para]καὶ τοῦτον τετραήμερον ἐκ νεκρῶν ἀνέστησας, [para]δεσμεύσας τὸν Ἅιδην, δυνατέ· Μαρίας δὲ καὶ Μάρθας οἰκτείρας τὰ δάκρυα, ἐβόας πρὸς αὐτάς· «Ἀναστήσεται, στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 1 Τὴν ταφὴν βλέποντες καὶ τοὺς ἐν τῇ ταφῇ κλαίομεν, ἀλλ' οὐκ ὀφείλομεν· καὶ γὰρ οἴδαμεν πόθεν ἐξῆλθον καὶ ποῦ πέλουσι νῦν καὶ τίς ἔχει αὐτούς. Ἐξῆλθον μὲν τῆς προσκαίρου ζωῆς, ἀπαλλαγέντες τῶν πόνων αὐτῆς· πέλουσι δὲ ἐν ἀναπαύσει, προσδοκῶντες τὴν θείαν φαῦσιν· [para]ἔχει τούτους ὁ φιλάνθρωπος ἀποδύσας τὸ πρόσκαιρον ἔνδυμα, ἵν' ἐνδύσῃ αἰώνιον σῶμα. Τί οὖν μάτην ὀδυρόμεθα; Τί ἀπιστοῦμεν τῷ βοῶντι Χριστῷ·

book 1 «Ὁ πιστεύων μοι οὐκ ἀπόλλυται· [para]κἂν γὰρ ἴδῃ φθοράν, ἀλλὰ μετὰ φθορὰν ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις»;

book 2 Ὁ πιστὸς πάντοτε ὅ τι ἂν βούλεται δύναται, ἐπειδὴ κέκτηται τὴν τὰ πάντα ἰσχύουσαν πίστιν δι' ἧς παρὰ Χριστοῦ ἰσχύει ὃ ζητεῖ. 〈Ἡ〉 πίστις 〈γὰρ〉 μέγα κτῆμά ἐστιν, ἣν ἔχων ἄνθρωπος πάντων κρατεῖ· εἶχον αὐτὴν καὶ ἐκαυχῶντο Μαρία ὁμοῦ καὶ Μάρθα, [para]καὶ ὡς εἶδον ἀσθενήσαντα τὸν πιστὸν ἀδελφὸν αὐτῶν Λάζαρον, πρὸς τὸν πλάστην ἀπέστειλαν ταύτην, «Σπεῦσον, λέγουσαι, δέσποτα· ἴδε οὗτος ὃν φιλεῖς ἀσθενεῖ·

book 2

ἀλλὰ πρόφθασον καὶ σωθήσεται· [para]ἐὰν γὰρ ἐπιφάνῃς τὸ πρόσωπόν σου, ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ 〈καὶ ἀνάστασις.〉 »

book 3 Ὑπὸ τῆς πίστεως τῶν γυναίων κληθείς, ἔρχεται ὁ αὐτεπάγγελτος ἰατρὸς τῶν ψυχῶν καὶ σωμάτων βοήσας παραυτὰ πρὸς τοὺς φίλους αὐτοῦ· «Ἐγέρθητε, πορευθῶμεν ἡμεῖς ἐν Ἰουδαίᾳ οὗ ἦμέν ποτε· ἐπιστολὴν γὰρ ἐδεξάμην ἣν ἡδέως ἀναγινώσκω· [para]καὶ γὰρ πίστις ὑπηγόρευσε, καὶ ἐλπὶς ἀδιάπτωτος ἔγραψε, καὶ ἀγάπη ἐσφράγισε ταύτην. Τί δὲ κρύπτω τὰ φαινόμενα; Μάρθα 〈–〉 καὶ Μαρία πιστῶς ἐδεήθη μου διὰ Λάζαρον [para]ὅτι νῦν ἀρρωστεῖ· ἐὰν οὖν ἐπιστῶ, ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 4 Ταῦτα φθεγξάμενος ὁ ἐπιστάμενος ἅπαντα τὰ ἐνθυμήματα τότε ἔμεινε δύο ἡμέρας ἐν τῷ τόπῳ οὗ ἦν, ὡς λέγει ἡ γραφή. Παρέμεινεν ἵνα φανερωθῇ ἡ γνώμη τῶν ἀγαπώντων αὐτόν· καὶ γὰρ ἠγάπων τὸν δεσπότην Μάρθα, Λάζαρος καὶ Μαρία, [para]οὐ ποτὲ μὲν καὶ οὐκ ἄλλοτε, ἀλλὰ πάντοτε, 〈πάντεσ〉 προσμένοντες ἐν ἀνέσεσι καὶ ἐν ἀνάγκαις. Ὅθεν οὕτως τὴν διάθεσιν πλέον αὔξουσαν θεωρῶν ὁ Χριστὸς τὴν μὲν ἔσωσε, τὴν δὲ ἔστεψε· [para]περὶ γὰρ τοῦ Λαζάρου εἰρήκει αὐταῖς· «Ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 5 Ἀλλ' εἰκὸς λέγετε· «Ποίαν μὲν ἔστεψε δήλωσον, ποίαν δὲ ἔσωσε· τὸν γὰρ Λάζαρον οἴδαμεν ὅτι τῆς τοῦ Ἅιδου χειρὸς ἐξήρπασε Χριστός.» Μαρία ἦν, ὡς φησὶν ἡ γραφή, ἣν ἔσωσεν ἐκ δαιμόνων ἑπτά, ἥτις καὶ ἤλειψε τῷ μύρῳ τὸν δοτῆρα τῶν ἀρωμάτων, [para]καὶ ἐξέμαξε θριξὶ πόδας τοὺς καθάραντας ὅλον τὸν ἄνθρωπον ἀπὸ τῆς τοῦ δολίου κηλῖδος. Μάρθαν τότε ἐστεφάνωσεν ὅτε πόθῳ διηκόνει αὐτοῖς, ἣν καὶ κλαίουσαν παρεθάρρυνε [para]περὶ τοῦ ἀδελφοῦ αὐτῆς, λέξας αὐτῇ· «Ἀναστήσεται, στήσεται λέγων· Σὺ εἶ ζωὴ 〈καὶ ἀνάστασισ〉.»

book 6 Πάλιν ὁ Κύριος τοῖς αὐτοῦ μαθηταῖς ἔφησεν· «Ἴδε νῦν Λάζαρος ὁ φίλος ἡμῶν ἐκοιμήθη, καὶ θέλω ἀπελθεῖν ἀφυπνίσαι αὐτόν.» Ἠγνόουν δὲ ὅτι ὁ λυτρωτὴς κοίμησιν εἶπε τὴν θνῆσίν ποτε· εἴπερ οὖν ἦν ἐκεῖ ὁ Παῦλος, τὸν τοῦ Λόγου ἐνόει λόγον· [para]παρ' αὐτοῦ γὰρ διδασκόμενος, ταῖς αὐτοῦ ἐκκλησίαις ἐπέστελλε τοὺς νεκροὺς λέγων κεκοιμημένους. Τίς γὰρ θνῄσκει τὸν Χριστὸν στέργων; Πῶς δὲ πίπτει ὁ ἐσθίων αὐτόν;

book 6 Τὸ μυστήριον φυλακτήριον [para]ἔχει ἐν τῇ ψυχῇ· ἐὰν οὖν καὶ φθαρῇ, ἀναστήσεται, [para]στήσεται λέγων· «Σὺ εἶ ζωὴ 〈καὶ ἀνάστασις.〉 »

book 7 Ἐπεὶ οὖν ἔγνωσαν ὅτι ὁ Κύριος κοίμησιν εἶπε τὸν θάνατον —καὶ γὰρ εἶπεν αὐτοῖς παρρησίᾳ· «Ὑπάγω τὸ λοιπὸν ἀναστῆσαι αὐτόν»—, διένευον πρὸς ἀλλήλους εἰκὸς χειρὶ λαλοῦντες καὶ τῇ κορυφῇ· «Θαῦμα πρὸ θαύματος ὁρῶμεν, διὰ τοῦτο καὶ δειλιῶμεν· [para]οὐ γὰρ ἔμαθεν ἃ ἔφησεν, ὅτι Λάζαρος τέθνηκεν, ἀλλ' ἀσθενεῖ, καὶ προλέγει ἃ μέλλομεν βλέπειν.» φόβος, θάμβος καὶ κατάπληξις. Τινὲς εἶπον τοῦτον ἄνδρα ψιλόν, καὶ οὐκ ᾐσχύνθησαν τὴν ἰσχὺν αὐτοῦ, [para]ὅτι λόγον ἐρεῖ, καὶ εὐθὺς ὁ φθαρεὶς ἀναστήσεται, [para]στήσεται λέγων· «Σὺ εἶ 〈ζωὴ καὶ ἀνάστασισ〉.»

book 8 Ἰησοῦς ἔρχεται εἰς Ἰουδαίαν νῦν σώματι· τῇ γὰρ θεότητι περιέπει ἀεὶ καὶ κατέχει τὴν γῆν καὶ τοὺς ἐκ γῆς ὡς ἀκρίδας οἰκτράς. Ἐλήλυθεν οὖν ὁ πάντα πληρῶν ἐν Βηθανίᾳ τὰ θεῖα τελῶν· τῶν δὲ ποδῶν αὐτοῦ τὸν κτύπον ὡς ἀκούσας ὁ Ἅιδης τότε, [para]τῷ Θανάτῳ ἐψιθύριζε· «Τίνες οὗτοι οἱ πόδες, ὦ Θάνατε, οἱ πατήσαντες τὴν κεφαλήν μου; Οἴμοι, τάχα Ἰησοῦς πέλει, πάλιν ἦλθεν ἀναπράξας ἡμᾶς·

book 8 ἀποφεύγει οὖν, ὡς τὸ πρότερον [para]ὁ τῆς χήρας υἱός, καὶ ὁ Λάζαρος νῦν· ἀναστήσεται, στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.

book 9 Νικητὰ Θάνατε, ἀκαταγώνιστε, ἄκουσον Ἅιδου τοῦ φίλου σου, καὶ ἀνέθητι τούτων τῶν κόπων· μὴ φέρε μοι τροφήν, οὐ πέπτω γὰρ αὐτήν· προσάγεις μοι δεδεμένους νεκρούς, καὶ καταπίνων εὐθέως ἐμῶ· χαίρω καὶ αἴρω θαπτομένους, οὐ κατέχω δὲ φθειρομένους· [para]τοὺς ἐντός μου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναπράττομαι καὶ οὓς ἡτοιμάσω μοι ἁρπάζομαι· διὰ τί οὖν [σὺ] μάτην ταράττῃ; Παῦσαι, στεῖλον, ὦ Θάνατε· κτῆσαι φίλον τὸν ἐκ τῆς Ναζαρέτ·

book 9 ὑποτάγηθι ἐνθυμούμενος [para]ὅτι ὁ τετραήμερος μετὰ μικρὸν ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 10 Ὅτε δὲ ἤκουσε τούτων, ὁ Θάνατος ἔβρυξεν, ὅθεν ἐκραύγασε καὶ θυμούμενος ἔφη τῷ Ἅιδῃ· «Ὡς ἄμοιρος κακῶν καλῶς μοι παραινεῖς· νουθέτησον τὴν γαστέρα τὴν σὴν ἣν οὐκ ἐχόρτασας ἕως τοῦ νῦν· καὶ γὰρ ἀπέκαμόν σοι φέρων, καὶ οὐκ εἶπας λοιπόν· ‘Ἀρκεῖ μοι,‘ [para]ἀλλ’ ἡπλώθης ὡς ἡ θάλασσα, ποταμοὺς τελευτώντων δεχόμενος καὶ μηδέποτε κόρον λαμβάνων. Τί οὖν ταῦτα πρὸς ἐμὲ φθέγγει; Πρῶτον μάθε ἃ διδάσκεις ἐμὲ καὶ ἡσύχασον καὶ εὐτάκτησον· [para]ὃν γὰρ ἔχεις ἐντὸς μετὰ μίαν ῥοπὴν ἀναστήσεται, στήσεται λέγων· Σὺ εἶ [ζωὴ καὶ ἀνάστασις.]

book 11 Ὕδωρ σοι ἔδοξεν ἡ ζωὴ τῶν βροτῶν πάντοτε, ὅθεν ἐπλάτυνας καὶ οὐκ ἐπαύσω ἀεὶ καταπίνων· ἀρκέσθητι οὐκοῦν, μὴ πληθύνῃς σαυτῷ. Οἱ πόδες γὰρ ὧν ἀκούεις φωνήν, 〈ὡσ〉 ἀφορῶ, ἀπειλοῦντός εἰσι, βήματα μὲν ἐμβριμωμένου, κατὰ σοῦ δὲ ὀργιζομένου, [para]τῷ μὲν τάφῳ προσεγγίζοντος, τὰς δὲ πύλας σου διαλακτίζοντος καὶ τὴν σὴν κοιλιὰν ἐρευνῶντος. Μᾶλλον ἦλθεν ὁ καθαίρων σε· χρῄζεις τούτου, ἐξωγκώθης γὰρ σύ·

book 11 ἐλαφρύνει οὖν, ἐὰν Λάζαρος, [para]ἀπὸ τῶν ἐντοσθίων σου ἐκκενωθείς, ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ 〈καὶ ἀνάστασις.〉

book 12 —Ῥυπαρὰ ῥήματα καὶ αἰσχύνης μεστὰ φθέγγῃ μοι Ἅιδῃ τῷ φίλῳ σου, καὶ ὁρῶν τὰ κακὰ ἐπιχαίρεις· ἐγὼ δὲ δι’ αὐτὰ δακρύω ἐμαυτόν· τὰ μέλη γὰρ τοῦ Λαζάρου ὁρῶ ἅπερ διέλυσε πρὶν ἡ φθορὰ ὡς προσδοκῶντα ἀναστῆναι· μελετᾷ γὰρ συναθροισθῆναι, ὅτι ἕρπουσιν ὡς μύρμηκες, ἐπειδὴ ἀνεχώρησαν σκώληκες καὶ ἀφῆκεν αὐτὰ δυσοσμία. Οἴμοι, ὄντως Ἰησοῦς ἦλθεν· οὗτος, πέμψας τὴν ὀσμὴν πρὸς ἡμᾶς, τὸν ὀζέσαντα εὐωδίασε· [para]καὶ λοιπὸν ὁ φθαρεὶς ἅμα καὶ τεφρωθεὶς ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 13 Ὡς οὖν ἀκήκοε τούτων ὁ Θάνατος, ἔκραξεν, εἶτα καὶ ἔδραμεν, τῇ παλάμῃ τὸν Ἅιδην κατέχων· καὶ βλέπουσιν ὁμοῦ τεράστια, φρικτά· τὴν ὄσφρησιν τοῦ υἱοῦ τοῦ Θεοῦ ἐνειραμένην τῷ φίλῳ αὐτοῦ, ἐξευτρεπίζουσαν τὸ σῶμα πρὸς τὴν κλῆσιν τοῦ ζωοδότου, [para]τὰς μὲν τρίχας εὐθετίζουσαν, τοὺς ὑμένας δὲ τούτῳ, ὑφαίνουσαν καὶ τὰ σπλάγχνα αὐτῷ συνιστῶσαν, φλέβας πάσας διατείνουσαν, αἷμα πάλιν ἐπαφοῦσαν αὐταῖς, ἀρτηρίας δὲ καταρτίζουσαν, [para]ἵνα ἕτοιμος Λάζαρος, ὅταν κληθῇ, ἀναστήσεται, [para]στήσεται λέγων· «Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 14 Μόνον οὖν ἴδοσαν Ἅιδης καὶ Θάνατος ἅπαντα ταῦτα γινόμενα, ὀδυνώμενοι εἶπον ἀλλήλοις· «Οὐκέτι τὰ ἡμῶν φανεῖται ἢ κρατεῖ· ἐγένετο ἡ ταφὴ ὡς βαφὴ μεταποιοῦσα φθορὰν εἰς ζωήν· νῆμα λελόγισται τὸ μνῆμα καὶ ὁ θέλων ἀκόπως τέμνει, [para]καὶ κομίζεται ὃν βούλεται, ἀδελφόν, υἱὸν 〈ἢ〉 θυγάτριον, καὶ γελῶσιν ἡμᾶς οἱ γεώδεις. Δοῦλος ἅμα καὶ ἐλεύθερος, εἴ τις θέλει, διαρπάζει ἡμᾶς·

book 14 κἂν οὐράνιος, κἂν ἐπίγειος, [para]ῥῆμα μόνον ἐρεῖ, καὶ εὐθὺς ὁ φθαρεὶς ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.

book 15 Ἀπὸ γῆς γέγονεν ὁ Ἠλίας ποτὲ ἄνθρωπος, καὶ ὡς ἠθέλησε τὸν υἱὸν ἀναστῆσαι τῆς χήρας, παρέσχε δι’ ἡμῶν ὧν ἔφαγε μισθόν. Ἀνάλωσε τῆς πτωχῆς τὴν τροφήν, δεδώκαμεν δὲ ἡμεῖς τὴν τιμήν· ὁ μὲν προφήτης διετράφη, ὁ δὲ Θάνατος διεστράφη [para]σὺν τῷ Ἅιδῃ ἀπαιτούμενος τὸ παιδάριον ὃ ἐθανάτωσαν οἱ κλαυθμοὶ καὶ εὐχαὶ τῶν πεινώντων. Γῆ γὰρ πᾶσα διεφθείρετο πείνῃ, δίψῃ, οὐ γὰρ ἦν ὑετός·

book 15 ὁ παρθένος δὲ εὐφραινόμενος [para]πρὸς τὴν χήραν φησίν· ‘Τὸν υἱόν σου ζητεῖς; Ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.‘

book 16

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νεαρὸν ἥττημα τοῦ ἀρχαίου ἡμῖν πτώματος λήθην ἐποίησε, καὶ λοιπὸν ὡς οὐδὲν ὁ Ἠλίας σὺν τῷ Ἐλισσαιὲ παρῆλθεν ἀφ' ἡμῶν· εὑρίσκονται δὲ ἀκμὴν ἐν ἡμῖν οἱ μώλωπες τῶν τραυμάτων αὐτῶν, μάλιστα δὲ τοῦ Ἐλισσαίου τοῦ ποιήσαντος μεγαλεῖα· [para]ζῶν γὰρ νέκυν ἐξανέστησε, καὶ θανὼν τοῦ θανάτου ἀφήρπασε τὸν νεκρὸν τὸν αὐτῷ προσριφέντα. Τοῦτο πάντας ἐπιστώσατο ὅτι θνῄσκει τῶν πιστῶν οὐδὲ εἷς, ἀλλὰ ζήσεται, ὅταν μάλιστα [para]τῶν ἁγίων τοῖς σώμασι προσκολληθῇ, ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 17 Οἱ μὲν οὖν ἅπαντα ταῦτα ἐλάλησαν, στένοντες καὶ ὀδυνώμενοι ἐπὶ τῇ τοῦ θανέντος ἐγέρσει, θρηνοῦντες ἑαυτοὺς καὶ πάντα τὰ αὐτῶν. Ὁ πλάστης δὲ δι' ὃν καὶ παρῆν κατέλαβε τοῦ νεκροῦ τὴν ταφήν, μετὰ τὸ δῆθεν ἐρωτῆσαι ποῦ ὁ Λάζαρος κατετέθη· [para]εἰρωνείᾳ γὰρ ἠρώτησεν ὁ παλάμῃ ποιήσας τὸν ἄνθρωπον, «Ποῦ κατάκειται Λάζαρος;» λέγων· θέλει γνῶναι ἃ ἐπίσταται· ὥσπερ εἶπεν πρώην· «Ποῦ εἶ, Ἀδάμ;» οὕτως ἔλεγεν· «Ποῦ ὁ Λάζαρος;» [para]ὁ τῇ Μάρθᾳ 〈–〉 εἰπὼν πρὸ μικροῦ· «Ἀναστήσεται, [para]στήσεται λέγων· Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book 18 Ὑψηλὲ Κύριε, ταπεινῶν δὲ πατὴρ εὔσπλαγχνε, ὁ ἐκ τοῦ μνήματος ὡς ἐκ βήματος ἐξαναστήσας τὸν Λάζαρόν ποτε ζωώσας τῇ φωνῇ, παράσχου τοῖς προλαβοῦσιν ἡμᾶς τὸ πρόσωπόν σου ἰδεῖν ἱλαρόν· δὸς καὶ ἡμῖν ἐν ἡσυχίᾳ τὸν παρόντα καιρὸν βιῶσαι [para]καὶ τὸ τέλος τὸ ἀρέσκον σοι, ἵνα ζῶντες ὁμοῦ τε καὶ θνῄσκοντες τῇ βουλήσει σου κυβερνηθῶμεν. Νεῦσον, κέλευσον, δέσποτα, λέξον, θέλησον σῶσαι ἡμᾶς·

book 18 οὐκ ἀπόλλεις γὰρ τὸν ποθοῦντά σε, [para]ἀλλὰ ζῶντα κρατεῖς καὶ θανόντα καλεῖς, καὶ ἀναστήσεται, στήσεται λέγων· «Σὺ εἶ ζωὴ καὶ ἀνάστασις.»

book pro Ὁ πάντων, Χριστέ, τὴν γνῶσιν ἐπιστάμενος, τὸν τάφον μαθεῖν ἠρώτας τοῦ Λαζάρου, καὶ ἐλθὼν αὐτὸν ἤγειρας [para]τεταρταῖον ὄντα, παντοδύναμε, κατοικτειρήσας ὡς εὔσπλαγχνος Μαρίας καὶ Μάρθας τὰ δάκρυα.

book 1 Τὸν ὀδυρμὸν Μαρίας καὶ Μάρθας ἐπιστὰς ὁ δεσπότης, μεταβάλλει εὐθὺς ἐγείρας αὐτῶν τὸν σύγγονον· [para]ἦν οὖν ἰδέσθαι θαῦμα θαυμάτων, πῶς ὁ ἄπνους ἐξαίφνης ἔμπνους ὡρᾶτο. Τῆς γὰρ φωνῆς κατελθούσης, τοῦ ᾅδου συνέσεισε τὰ κλεῖθρα πύλας τε ἅμα καὶ μοχλοὺς τοῦ θανάτου συνέτριψε, νεκρὸν δὲ αὖθις ἀνέστησε τεταρταῖον, οἰκτείρας ὡς εὔσπλαγχνος Μαρίας καὶ Μάρθας τὰ δάκρυα.

book 2 Ὅλοι συνδράμωμεν μετὰ πόθου ἕως τῆς Βηθανίας τοῦ ἰδέσθαι ἐκεῖ [para]Χριστὸν τὸν φίλον δακρύοντα· θέλων γὰρ πάντα νομοθετῆσαι, πάντα πράττει τῇ φύσει διπλοῦς ὑπάρχων· πάσχει μὲν οὖν ὡς υἱὸς τοῦ Δαυίδ, ὡς υἱὸς δὲ Θεοῦ [para]τὸν κόσμον πάντα λυτροῦται ἀπὸ πάσης κακίας τοῦ ὄφεως, καὶ τεταρταῖον τὸν Λάζαρον ἀνιστᾷ, οἰκτειρήσας ὡς εὔσπλαγχνος Μαρ〈ίας καὶ Μάρθας τὰ δάκρυα〉.

book 3 Ὑπὸ τῆς πίστεως αἱ γυναῖκες συνεχόμεναι ἅμα τῷ Χριστῷ καὶ Θεῷ προκαταγγέλλουσι θάνατον [para]τὸν τοῦ συγγόνου, λέγουσαι οὕτως· «Σπεῦσον, φθάσον, ὁ ἀεὶ παρὼν ἐν πᾶσι· Λάζαρος γάρ, ὃν φιλεῖς, ἀσθενεῖ· ἐὰν οὖν ἐπιστῇς, [para]ὁ θάνατος δραπετεύσει καὶ ὁ φίλος φθορᾶς λυτρωθήσεται· οἱ δὲ Ἑβραῖοι θεάσονται ὅτι σὺ κατοικτείρεις ὡς εὔσπλαγχνος Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.»

book 4 Τοῖς μαθηταῖς ὁ κτίστης τῶν ὅλων προηγόρευσε λέγων· «Ἀδελφοὶ καὶ γνωστοί, ἡμῶν ὁ φίλος κεκοίμηται», [para]μυστικῶς τούτους προεκδιδάσκων ὅτι πάντα γινώσκει ὡς κτίστης πάντων. «Ἄγωμεν οὖν, πορευθῶμεν καὶ ἴδωμεν ξένην ταφὴν, [para]καὶ θρῆνον τὸν τῆς Μαρίας καὶ τῆς Μάρθας ταχὺ ἀπαλείψωμεν· τὸν Λάζαρον γὰρ ἐκ τῶν νεκρῶν ἀναστήσας, οἰκτείρω ὡς εὔσπλαγχνος 〈Μαρίας καὶ Μάρθας τὰ δάκρυα〉.»

book 5 Ἅμα δὲ ἤκουσαν τῶν ῥημάτων, οἱ ἀπόστολοι πάντες ὡς ἐκ μίας φωνῆς ἐβόησαν πρὸς τὸν Κύριον· [para]«Ὕπνος ἀνθρώποις πρὸς σωτηρίαν, οὐχὶ δὲ πρὸς ἀπώλειαν πάντως ὑπάρχει.»

Ὅθεν αὐτὸς παρρησίᾳ ἐβόα· «Ἀπέθανεν· [para]ἀπὼν γὰρ ὡς βροτὸς πέλω, ὡς Θεὸς δὲ τὰ πάντα ἐπίσταμαι. Ἐὰν οὖν ὄντως προφθάσωμεν, τὸν νεκρὸν ἀναστήσω καὶ παύσω νῦν Μαρίας καὶ Μάρθας τὰ δάκρυα.»

book 6 Πάντες ὁμοῦ ἐπέστησαν τότε, προϋπήντων δὲ τούτοις καὶ ἐβόων πικρῶς Μαρία τε καὶ ἡ σύγγονος· [para]«Κύριε, ποῦ ἦς; Ὅτι παρῆλθεν ὃν ἐπόθεις, καὶ ἤδη παρὼν οὐκ ἔστι.» Ταῦτα αὐτῶν ἐκβοώντων, αὐτὸς ὑπεδάκρυσεν· [para]ἠρώτα δέ· «Ποῦ ὁ τάφος τοῦ ἐμοῦ προσφιλοῦς, ὅνπερ μέλλω νῦν δεσμῶν τοῦ ᾅδου λυτρώσασθαι, κατοικτείρας ὡς μόνος φιλάνθρωπος Μαρίας καὶ 〈Μάρθας τὰ δάκρυα〉;»

book 7 Ἐπιστὰς οὖν ἐπὶ τὸ μνημεῖον, ὁ ἐν κόλποις ὑπάρχων τοῦ ἰδίου Πατρὸς ὡς γόνος τούτου ἐβόησε· [para]«Σύ με ἀπέστειλας εἰς τὸν κόσμον ὅπως τοὺς νεκρωθέντας ζωοποιήσω. Ἤλυθα οὖν καὶ ἐνταῦθα ἐγεῖραι τὸν Λάζαρον [para]καὶ δεῖξαι τοῖς Ἰουδαίοις ὅτι μέλλω ἐκ τάφου ἀνίστασθαι τριήμερος, ὁ τὸν φίλον μου τεταρταῖον ζωώσας, οἰκτείρας νῦν Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.»

book 8 Ἵνα δὲ παύσῃ Μάρθας τὸν θρῆνον, ὁ σωτὴρ τῶν ἁπάντων προσφωνήσας αὐτῇ θεϊκῶς τότε ἐφθέγξατο· [para]«Ἐγὼ ὑπάρχω τὸ φῶς τοῦ κόσμου καὶ ἀνάστασις πάντων τῶν νεκρωθέντων· ὁ εἰς ἐμὲ πεποιθὼς εἰς αἰῶνας οὐ θνήξεται· [para]εἰς τοῦτο γὰρ ἐπεφάνην τὸν Ἀδὰμ ἀναστῆσαι καὶ τοὺς Ἀδάμ, καὶ τεταρταῖον τὸν Λάζαρον ἐξεγεῖραι, οἰκτείρας ὡς εὔσπλαγχνος Μαρίας 〈καὶ Μάρθας τὰ δάκρυα〉.»

book 9 Νεύματι οὖν ἰδίῳ κελεύσας, ἐσαλεύθη ὁ ᾅδης καὶ θανάτου ἰσχὺς καὶ διαβόλου τὸ φρύαγμα, [para]ὅτε ἐφώνει τὸν τεταρταῖον ἐκ τῶν καταχθονίων τοῦτον ἐγείρας· ὅνπερ ἰδὼν Ἀβραάμ τε καὶ πάντες οἱ δίκαιοι ἐβόων· «Νυνὶ θαρσεῖτε, ὅτι ἥκει ἡ πάντων ἀνάστασις [para]δεσμῶν θανάτου λυτρώσασθαι ὃν φιλεῖ, κατοικτείρας ὡς εὔσπλαγχνος Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.»

book 10 Ὃν πρὸς ὀλίγον ἔσχε δεσμώτην κάτω Λάζαρον Ἅιδης, ὡς αἰχμάλωτος νῦν ὁρᾶται τοῦτον στερούμενος· [para]τοῦ βασιλέως γὰρ τῶν ἀγγέλων ἐπελθόντος, δαιμόνων ἰσχὺς ἐλύθη, καὶ ὁ πρὸς γῆς τῇ κοιλίᾳ συρόμενος ὄφις νῦν [para]ξυλίνῃ λόγχῃ τὰ στέρνα κεντηθείς, ὡς νεκρὸς ἀποδείκνυται· Ἀδὰμ δὲ χαίρει, θεώμενος τὸν Χριστὸν κατοικτείροντα ὡς ἀγαθὸν Μαρίας 〈καὶ Μάρθας τὰ δάκρυα〉.

book 11 Ὑπεξελθὼν τοῦ τάφου ὁ φίλος σουδαρίῳ τὰς ὄψεις καὶ τὰς χεῖρας αὐτοῦ συνδεδεμένος ἐδείκνυτο· [para]λύουσι τοῦτον οἱ δεσμευθέντες τὰς καρδίας τῷ φθόνῳ τῆς βασκανίας καὶ τοῖς ὠσὶν ὡς ἀσπίδες βυοῦντες καὶ πρὸς σφαγὴν [para]ἀδικωτάτην τὰς χεῖρας ἑτοιμάζοντες, ὅπως ἐκχέωσιν ἀθῷον αἷμα καὶ δίκαιον τοῦ νεκροὺς ἀνιστῶντος καὶ παύσαντος Μαρίας 〈καὶ Μάρθας τὰ δάκρυα〉.

book 12 Ῥήματα παίδων ἀκηκοότες καθαρᾶς ἐκ καρδίας καὶ χειλέων ἁγνῶν, θορύβου πάντες ἐπλήσθησαν [para]λέγοντες ἅμα· «Τίς ἐστιν οὗτος;» Ὢ μανίας καὶ πάσης ἀσυνεσίας. Οἱ πρὸ μικροῦ ἀνιστάμενον βλέποντες τὸν ἐν νεκροῖς [para]ὑπάρχοντα ὀδωδότα, ἀγνοοῦσι τίς ἤγειρε καὶ ἔλυσε φωνῇ τοῦ Ἅιδου τὴν δύναμιν καὶ κατέπαυσε φύσει ὡς εὔσπλαγχνος 〈Μαρίας καὶ Μάρθας τὰ δάκρυα〉.

book 13 Ὢ τῆς ἀφάτου σου εὐσπλαγχνίας, Ἰησοῦ πανοικτίρμον· ὁ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γενόμενος, ὡς ηὐδόκησας, [para]πῶς ἐπὶ πώλου μετριάζεις καὶ εἰς πόλιν προφθάνεις τῶν θεοκτόνων, ὧν τὴν δεινὴν ἀπιστίαν προβλέπων, ἐκέλευσας [para]χερσὶν ἰδίαις Λαζάρου τὰ δεσμὰ διαλῦσαι, ἵν᾽ ἴδωσι ὃν μετ᾽ ὀλίγον βουλεύονται ἀποκτεῖναι, μηδ᾽ ὅλως οἰκτείροντες Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.

book 14

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μετὰ βαΐων πάντες ἐξῆλθον εἰς ἀπάντησιν, σῶτερ, τῆς ἐλεύσεώς σου, τὸ ὡσαννά σοι κραυγάζοντες. [para]Νῦν δὲ ἡμεῖς τὸν ὕμνον οἱ πάντες ἐκ στομάτων οἰκτρῶν προσφερομέν σοι, τοὺς τῆς ψυχῆς ἐπισείοντες κλάδους, καὶ κράζομεν· [para]«Ὁ ὢν ἐν τοῖς ὑψίστοις σῶσον κόσμον ὃν ἔπλασας, Κύριε, καὶ ἁμαρτίας ἐξάλειψον τὰς ἡμῶν, ὥσπερ πρώην ἐξήλειψας Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.»

book 15 Ἄγει πανήγυριν ἐτησίαν ἡ σεπτὴ Ἐκκλησία συγκαλοῦσα πιστῶς τὰ τέκνα ταύτης, φιλάνθρωπε, [para]μετὰ βαΐων προσυπαντῶσα καὶ χιτῶνας στρωννύουσα εὐφροσύνης, ὅπως αὐτὸς μετὰ τῶν μαθητῶν σου καὶ φίλων σου [para]τοὺς πόδας ἐπιβιβάσῃς καὶ εἰρήνην βαθεῖαν τοῖς δούλοις σου ἐπιβραβεύσῃς καὶ θλίψεως ἀπαλλάξῃς, ὡς πρώην ἀπήλειψας Μαρίας καὶ Μάρθας τὰ δάκρυα.

book 16 Νεῦσον τὸ οὖς σου, Θεὲ τῶν ὅλων, καὶ ἡμῶν δεομένων ἄκουσον, καὶ δεσμῶν τῶν τοῦ θανάτου ἐξάρπασον· [para]οἱ γὰρ ἐχθροὶ ἡμῶν ἀεὶ κυκλοῦντες ὁρατῶς καὶ ἀοράτως ἐπαπειλοῦσι τοῦ θανατῶσαι ἡμᾶς καὶ τὴν πίστιν ἁρπάσαι λοιπόν· [para]ἀνάστα, καὶ διὰ τάχους ἀπολέσθωσαν πάντες καὶ γνώτωσαν ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ οἰκτείρεις ἡμᾶς, ὥσπερ ᾤκτειρας Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.

book 17 Οἱ νεκρωθέντες ταῖς ἁμαρτίαις καὶ ἐν τάφῳ οἰκοῦντες ἀπὸ γνώσεως κακῶν, τὰς ἀδελφὰς μιμησώμεθα [para]τοῦ πιστοῦ Λαζάρου, Χριστῷ βοῶντες ἐν κλαυθμῷ καὶ ἐν πίστει καὶ τῇ ἀγάπῃ· «Σῶσον ἡμᾶς, ὁ βουλήσει γενόμενος ἄνθρωπος, [para]καὶ τάφου ἁμαρτημάτων ἐξανάστησον, μόνε ἀθάνατε, λιταῖς Λαζάρου τοῦ φίλου σου, ὃν ἐγείρας ἀπήλειψας, Κύριε, Μαρίας καὶ Μάρθας 〈τὰ δάκρυα〉.»

book 18 Ὕλην ῥευστὴν μισήσωμεν πάντες καὶ Χριστῷ τῷ σωτῆρι ὑπαντήσωμεν νῦν ἐν Βηθανίᾳ σπεύδοντι, [para]ὅπως αὐτῷ συνεστιαθῶμεν σὺν τῷ φίλῳ Λαζάρῳ καὶ ἀποστόλοις, καὶ ταῖς αὐτῶν ἱκεσίαις ῥυσθῶμεν τῶν πρώην κακῶν· [para]τοῦ νοῦ δὲ πᾶσαν κηλῖδα καθαρθέντες, ἀμέμπτως ὀψόμεθα αὐτοῦ τὴν θείαν ἀνάστασιν ἣν παρέσχεν ἡμῖν, ἀφελόμενος Ἀδάμ τε καὶ Εὔας τὰ δάκρυα.

book pro Ἡ πάντων χαρά, Χριστός, ἡ ἀλήθεια, τὸ φῶς, ἡ ζωή, τοῦ κόσμου ἡ ἀνάκλησις τοῖς ἐν γῇ πεφανέρωται [para]τῇ αὐτοῦ ἀγαθότητι, γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

book 1 Ὁ οὐρανὸν καὶ γῆν στερεώσας, ἥλιον καὶ σελήνην καὶ ἀστέρων πληθὺν μετὰ βροτῶν συναυλίζεται· πάντας διδάσκων καταφωτίζει καὶ παράδοξα τούτοις θαυματουργῶν τε. Ἦλθε καὶ νῦν Βηθανίᾳ τῇ κώμῃ τοῦ σῶσαι αὐτούς, [para]καὶ δεῖξαι τέρατα θεῖα, καὶ ἐγεῖραι τὸν φίλον τὸν Λάζαρον, τὰ πάντα θέλων καὶ πράττων αὐτὸς τῇ βουλῇ καὶ ἀχράντῳ δυνάμει αὐτοῦ, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

book 2 Ἐπὶ τὴν πόλιν σπεύδων ἐλθῆναι, ἐξαπέστειλε τούτου μαθητὰς ὁ σωτὴρ τοῦ πορευθέντας κομίσασθαι [para]πῶλον υἱόν τε ὑποζυγίου, ἐν αὐτῷ ἐπιβῆναι καταξιώσας ὁ οὐρανὸν θρόνον ἔχων καὶ γῆν ὑποπόδιον· [para]καὶ ἦλθεν φέρων εἰρήνην, ἱλασμὸν καὶ χαρὰν τοῖς αὐτὸν ἐκ ψυχῆς προσδεξαμένοις καὶ ψάλλουσιν ἐκ καρδίας σὺν πόθῳ· «Ἐπέστη Χριστός, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.»

book 3 Ἥπλωσαν οὖν χιτῶνας οἱ ὄχλοι, κλάδους τε καὶ βαΐα ταῖς χερσὶν ταῖς αὐτῶν κατέχοντες προϋπήντησαν τὸν ἐν ἐρήμῳ τὸ πρῶτον τούτοις τεσσαράκοντα ἔτη μάννα δοτοῦντα, καὶ ταῖς φωναῖς ἀνυμνοῦντες ἐκραύγαζον τὸ «ὡσαννὰ [para]υἱῷ Θεοῦ τοῦ ὑψίστου καὶ Δαυίδ»; ἀναμέλποντες ἔλεγον· «Χαρὰ γὰρ γέγονεν πᾶσιν ἡμῖν ἡ καλὴ παρουσία καὶ ἔλευσις, ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.»

book 4

Δέσποτα, Κύριε ὅταν μέλλῃς κρῖναι πάντα τὸν κόσμον καὶ ἀποδοῦναι αὐτοῖς καθάπερ ἕκαστος ἔπραξεν, [para]στῆσον τὴν πίστιν 〈τὴν〉 τοῦ λαοῦ σου· κατακόσμησον νίκαις τὸν βασιλέα· δὸς καὶ ἡμῖν ἱλασμὸν τῶν πταισμάτων καὶ λύσιν παθῶν [para]ἀμέτρων, ἀκαταισχύντους παραστῆναι τῷ βήματι τῷ φρικτῷ· ἐν μετανοίᾳ περαίωσον ἡμᾶς ταῖς εὐχαῖς τῆς ἀχράντου μητρός σου, σωτήρ, ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.

book pro 1 Τὸν ἄσωτον ἐζήλωσα ταῖς ἀτόποις μου πράξεσι, [para]καὶ ὡς ἐκεῖνος προσπίπτω σοι καὶ ζητῶ τὴν ἄφεσιν, Κύριε· [para]διὸ μὴ παρίδῃς με, ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book pro 2 Τῆς μυστικῆς σου τραπέζης, ἀθάνατε, [para]τὸν ἀσωτίᾳ φθαρέντα ἀξίωσον, [para]καὶ τὴν πρώτην καταστολὴν τῆς χάριτός 〈σου〉 ἣν παθῶν ταῖς κηλῖσιν ὁ τάλας ἐμόλυνα οἰκτιρμοῖς ἀνεφίκτοις καὶ πάλιν μοι δώρησαι ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 1 Δεῖπνον κατίδωμεν ἡμεῖς εὐτρεπισθὲν ἐξαισίως [para]τῷ πρώην μὲν ἀσώτῳ, σωφρονήσαντι δὲ ὅμως· [para]πατὴρ γὰρ ὁ τούτου ἢ μᾶλλον πάντων ἀνθρώπων μετανοοῦντα τοῦτον δέχεται ὡς φιλάνθρωπος, τῇ δὲ μετανοίᾳ χαίρων τῇ τούτου [para]λέγει πρὸς τοὺς δούλους· «Σπεύσατε τὸ δεῖπνον ἡμῖν ποιῆσαι τὸ πανάγιον. Σπεύσατε, θύσατε πάντως τὸν μόσχον [para]ὅνπερ ἐγέννησε παρθένος δάμαλις, ὅτι ὁ υἱός μου ἀπώλετο πρώην [para]καὶ νῦν εὑρέθη· ἀλλ’ εὐφρανθῶμεν· νεκρὸς ἦν καὶ ἀνέζησεν [para]ὃν ἔλαβον ἐν τοῖς σπλάγχνοις μου, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 2 Ἔνθεν σπουδάσωμεν νυνὶ καὶ μετάσχωμεν τοῦ δείπνου, ἐὰν ἀξιωθῶμεν τῷ πατρὶ συνευφρανθῆναι· συνεστιαθῶμεν τῷ βασιλεῖ τῶν αἰώνων· ἄρτους παρέχει τοὺς διδοῦντας μακαριότητα, πόμα δὲ δωρεῖται ἅγιον αἷμα πρόξενον ἀφθάρτου καὶ ἀτελευτήτου ζωῆς, παρίστανται δὲ ἄγγελοι. Ἴδωμεν πρῶτος μὲν πῶς ἀνεκλίθη [para]αὐτὸς ὁ κύριος ὁ προτρεψάμενος· εὐθὺς πατριάρχαι, χοροὶ ἀποστόλων [para]καὶ οἱ προφῆται μετὰ μαρτύρων· πλησίον δὲ ἀνέκλινε [para]τὸν ἄσωτον ὑϊὸν αὐτοῦ ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 3 Ἡ δὲ ἑστία τίς ἐστι μάθωμεν πρῶτον τοῦ δείπνου [para]ἐκ τῶν εὐαγγελίων, ἵνα καὶ ἐπευφρανθῶμεν· [para]τῆς οὖν τοῦ ἀσώτου παραβολῆς μνημονεύσω· οὗτος γὰρ πρώην ἐγυμνώθη πάσης τῆς χάριτος, πᾶσαν τὴν οὐσίαν καταναλώσας, [para]καὶ πρὸς τὸν πατέρα τρέχει σὺν πολλοῖς ὀδυρμοῖς βοῶν· «Πάτερ, ἡμάρτηκα». Εἶδεν οὖν, ἔσπευσε πάντα ὁ βλέπων [para]καὶ ὑπαπήντησε καὶ κατεφίλησε τὸν τράχηλον τούτου τοῦ ἐπιστραφέντος· [para]θεὸς γὰρ ἔστι μετανοούντων· ἠλέησεν ὡς εὔσπλαγχνος [para]τὸν πταίσαντα ὑϊὸν αὐτοῦ [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 4 Σωτὴρ ὁ πάντων κατιδὼν ῥερυπωμένην ἐσθῆτα [para]τότε ἠμφιεσμένον τὸν υἱὸν κατεσπλαγχνίσθη· [para]εὐθὺς οὖν τοῖς δούλοις τοῖς ὑπουργοῦσιν ἐβόα· «Δότε συντόμως τὴν στολὴν τὴν πρώτην τῷ τέκνῳ μου ἣν ἡ κολυμβήθρα πᾶσιν ὑφαίνει, ἣν κατασκευάζει χάρις ἡ τοῦ πνεύματός μου, [para]καὶ σπεύσαντες ἐνδύσατε· μέμνησθε πῶς αὐτὸν ἐνδεδυμένον [para]ἐχθρὸς ἀπέδυσε καὶ ἐδειγμάτισε τοῖς δαίμοσι πᾶσι, βαλλόμενος φθόνῳ [para]τὸν βασιλέα τῆς γῆς ἁπάσης, δι’ ὃν τὸν κόσμον ἅπαντα [para]ἐκόσμησα ὃν παρήγαγον, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 5 Ἴδον αὐτὸν καὶ παριδεῖν οὐ στέγω τὸν γυμνωθέντα· οὐ φέρω βλέπειν οὕτως τὴν εἰκόνα μου τὴν θείαν· ἐμὴ γὰρ αἰσχύνη τὸ ὄνειδος τοῦ παιδός μου· [para]ἰδίαν δόξαν τὴν τοῦ τέκνου δόξαν ἡγήσομαι. Σπεύσατε οὖν, δοῦλοι καὶ λειτουργοί μου, ἀνακαλλωπίσαι ἅπαντα τὰ μέλη αὐτοῦ· εἰσὶ γάρ μοι ἐράσμια. Κρίνω γὰρ ἄτοπον τοῦτον ὁρᾶσθαι ἢ ἀπρονόητον ἢ ἀκαλλώπιστον τὸν ἐν μετανοίᾳ ἐμοὶ προσδραμόντα καὶ τῆς συγγνώμης ἀξιωθέντα· στολὴν τοῦτον ἐνδύσατε τῆς χάριτος, ὡς προσέταξα ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 6

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Στήλη αἰδέσιμος ἱνὰ ἐστὶ τῇ κτίσει ὁ παῖς μου, [para]τὴν χεῖρα δακτυλίῳ καλλωπίσατε τὴν τούτου· [para]ἀρραβὼν γὰρ ἔστι τριάδος τῆς ἀχωρίστου, ἵνα φρουρεῖται ὑπὸ ταύτης, ὡς προσδραμὼν αὐτῇ, ἵνα τὴν σφραγῖδα ταύτην προφέρων [para]φαίνεται μακρόθεν ὅτι ὑϊός μου ἐστὶν τοῦ πάντων βασιλεύοντος· γένηται γνώριμος τοῖς ἐναντίοις [para]καὶ φοβερώτατος φανῇ τοῖς δαίμοσι καὶ τῷ διαβόλῳ τῷ ὑπερηφάνῳ, [para]ἵνα μηκέτι αὐτῷ ἐγγίζῃ· ὁρῶν γὰρ τὴν σφραγῖδά μου [para]οὐχ ἵσταται ἥνπερ δίδωμι, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 7 Καὶ οὐδὲ πόδας τοὺς αὐτοῦ ἀνασφαλίστους ἐάσω· [para]οὐ θέλω οὐδὲ τούτους γεγυμνῶσθαι τῆς προνοίας· [para]ὑποδήσατε οὖν συντόμως τὸν γυμνωθέντα, μὴ πάλιν εὕρῃ ὁ πανοῦργος ὄφις καὶ δόλιος πτέρναν τοῦ παιδός μου γεγυμνωμένην καὶ ἐπιβουλεύσῃ διὰ τῆς κακίας αὐτοῦ τῷ πρᾴῳ ὁ παμπόνηρος. Δύναμιν δίδωμι τῷ ὑϊῷ μου, [para]ἵν’ ὡς ἀδύνατον πατῇ τὸν δράκοντα, ἵνα ἐπιβαίνῃ μετὰ παρρησίας [para]ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ ἐπὶ τὸν παράδεισον [para]πορεύεται ὃν ἐφύτευσα, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 8 Ἀλλ’ ὑπὲρ πταίσαντος λοιπὸν θύσατε νῦν, καθὼς εἶπον, [para]τὸν μόσχον τὸν παρθένον τὸν υἱὸν τὸν τῆς παρθένου, [para]τὸν μὴ δαμασθέντα ζυγῷ τῷ τῆς ἁμαρτίας, τὸν προθυμίᾳ πρὸς τοὺς ἕλκοντας πορευόμενον· οὐ γὰρ στασιάζει πρὸς τὴν θυσίαν, [para]ἀλλὰ τὸν αὐχένα κλίνει ἑκουσίως αὐτοῖς τοῖς θύειν ἐπισπεύδουσιν. Ἕλκετε, θύσατε τὸν ζωοδότην [para]τὸν καὶ θυόμενον καὶ μὴ νεκρούμενον, τὸν ζωοποιοῦντα πάντας τοὺς ἐν ᾅδῃ, [para]ἵνα φαγόντες ἐπευφρανθῶμεν· νεκρὸς γὰρ ἦν, ὡς πρόειπον, [para]καὶ ἔζησεν ὃν ἐλέησα [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 9 Ἱερεῖς, δοῦλοί μου πιστοί, θύσατε τοῦτον τὸν μόσχον [para]καὶ δότε πᾶσι τρώγειν τοῖς τοῦ δείπνου μου ἀξίοις [para]τὸν ἄσπιλον μόσχον, τὸν καθαρὸν κατὰ πάντα, τὸν σιτευθέντα ἐξ ἀσπόρου γῆς ἥσπερ ἔπλασε· δότε δὲ πρὸς τούτοις τίμιον πόμα, [para]αἷμά τε καὶ ὕδωρ τὸ ἐκ τῆς πλευρᾶς τῆς αὐτοῦ πηγάζον τοῖς πιστεύουσι. Πάντες οὖν πάντοτε φάγετε τοῦτον· [para]κἂν γὰρ μελίζεται, ἀλλ’ οὐ μερίζεται, οὐδὲ διαιρεῖται, οὐδὲ δαπανᾶται, [para]ἀλλ’ εἰς αἰῶνας χορτάζει πάντας· εἰς ἔδεσμα γὰρ πρόκειται [para]πανάγιον ὁ φιλάνθρωπος, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 10 Τῶν κεκλημένων πᾶς λοιπὸν ὁ θίασος ὡς ἐδείπνει [para]καὶ πάντες εὐφρανθέντες ἐμελῴδουν θεῖον ὕμνον· [para]ὁ πατὴρ μὲν πρῶτος κατήρξατο τῶν παρόντων, «Γεύσασθε, λέγων, καὶ ἴδετε ὅτι Χριστός εἰμι». Εἶτα μετὰ ταῦτα ὁ ψαλμολόγος [para]κρούων τὴν κιθάραν κράζει ἡδυτάτῃ φωνῇ· «Σπουδαίως προσαγάγετε θύματα ἄχραντα, εὐλογημένα, [para]πρὸς τὸ πανάγιον θυσιαστήριον· ἀνοίσατε μόσχον μετ’ εὐχαριστίας.» [para]Καὶ μετ’ αὐτὸν δὲ βοᾷ ὁ Παῦλος· «Τὸ πάσχα τὸ ἡμέτερον [para]ἐτύθη νῦν Ἰησοῦς Χριστός, ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 11 Ἄγγελοι εἴδοσαν αὐτοὺς οἱ ὑπουργοῦντες τῷ δείπνῳ [para]οὕτως εὐφραινομένους καὶ συντόνως μελῳδοῦντας, [para]καὶ ζηλοῦσι τούτους καὶ ἤρξαντο ὑμνῳδίας· τίς δὲ ὁ ὕμνος ἐπακούσωμεν, εἰ δοκεῖ ὑμῖν· «Ἅγιος εἶ, πάτερ, ὁ εὐδοκήσας [para]τοῦ σφαγιασθῆναι ὑπὲρ τῶν ἀνθρώπων νυνὶ [para]τὸν μόσχον τὸν ἀκήρατον· ἅγιος ἔστι δὲ καὶ ὁ υἱός σου [para]ἑκὼν θυόμενος ὡς μόσχος ἄσπιλος, ὃς καὶ ἁγιάζει τοὺς βαπτιζομένους [para]ἐν τῇ δυνάμει τῆς κολυμβήθρας· τὸ πνεῦμα πάλιν ἅγιον [para]ὃ δίδωσι τοῖς πιστεύουσιν [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 12 Υἱὸς ὁ πρῶτος παντελῶς ταῦτα ἠγνόει, διότι [para]ἐτύγχανεν ἐκεῖνος εἰς ἀγρὸν πεπορευμένος· [para]ἀλλὰ ὑποστρέψας ἀκούει τῆς συμφωνίας καὶ παῖδα ἕνα μεταπέμπεται καὶ πυνθάνεται· «Τί ἂν εἴη τοῦτο; λέγε συντόμως· [para]καὶ γὰρ μυστικός μοι ἦχος εἰς τὰ ὦτα κτυπεῖ μεγάλης πανηγύρεως· λέγε μοι τί ἐστι τοῦτο τὸ δρᾶμα· [para]τίς τὰ προσήκοντα ἐμοὶ μυστήρια καὶ πάντα

τὸν πλοῦτον τῆς θείας θυσίας ἐμοῦ ἀπόντος μερίζει ἄλλοις; Μὴ ἄρα πάλιν δίδωσι [para]χαρίσματα ὁ γεννήσας με [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος;»

book 13 Τότε ὁ παῖς ἐρωτηθεὶς εἶπεν πρὸς τοῦτον σπουδαίως [para]ὅτι «Ὁ ἀδελφός σου παρεγένετο ὁ νέος· [para]ηὐφράνθη δὲ τοῦτον ἀπολαβὼν ὁ πατήρ σου, καὶ ἐπειδήπερ ἐρρωμένον τοῦτον ἐδέξατο, ἔθυσε τὸν μόσχον τὸν σιτευθέντα [para]καὶ ἐπὶ τὸ δεῖπνον τοῦτο προετρέψατο νῦν τοὺς φίλους καὶ γνωστοὺς αὐτοῦ.» Ταῦτα οὖν ἅπαντα οὗτος ἀκούσας [para]εὐθὺς ἐξίστατο καὶ οὐκ ἐβούλετο τῷ δείπνῳ παρεῖναι τῷ τῆς εὐωχίας, [para]ὡς ὠργισμένος τοῖς γινομένοις, εἰπών· «Οὐκ εἰσελεύσομαι, [para]οὐκ ὄψομαι ἃ ἐποίησεν [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 14 Ἡμῖν ὑπογραμμὸν Χριστὸς τῆς ἑαυτοῦ εὐσπλαγχνίας [para]διδάσκει διὰ τούτου καὶ ἀμέτρου συμπαθείας [para]τῆς καὶ τοὺς δικαίους πρὸς φθόνον ἐρεθιζούσης. Δεῦτε οὖν, γνῶμεν πῶς παρακαλῶν αὐτὸν ἵσταται οὗτος ὁ γεννήσας τοὺς ἀμφοτέρους, οὗτος ὁ τῶν ὅλων πρύτανις καὶ κτίστης Θεός, [para]ὁ θέλων πάντας σῴζεσθαι· ἄφατος, ἄφραστος τοῖς σῳζομένοις [para]ἡ εὐσπλαγχνία σου ἐστί, φιλάνθρωπε·

book 14 τοὺς μὲν γὰρ δικαίους ἀεὶ θεραπεύεις, [para]ἁμαρτωλοὺς δὲ ἀνακαλεῖσαι· τὸν δίκαιον ἐφύλαξας, [para]τὸν ἄλλον δὲ περιέσωσας, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 15 Ἤγειρε πεσόντα υἱὸν δοὺς δεξιὰν ὁ οἰκτίρμων, [para]τὸν ἄλλον δὲ ὁμοίως ὑπεστήρισεν ἑστῶτα· [para]τὸν κείμενον κάτω ἀνέστησε συμπαθήσας, τὸν δὲ ἑστῶτα πεσεῖν ὅλως οὐ συνεχώρησε· τὸν μὲν ἐν πενίᾳ ὄντα πλουτίζει, [para]τὸν δὲ ἐν τῷ πλούτῳ γενέσθαι οὐκ εἴασε πτωχόν, ἀλλ᾽ ἔσωσε τοὺς ἅπαντας. Δεῦτε οὖν, μάθωμεν τί τῷ πατρὶ μὲν [para]ὁ παῖς ἐφθέγγετο καὶ οὐκ ἐβούλετο τῷ δείπνῳ παρεῖναι τῷ εὐτρεπισθέντι, [para]ὡς ὠργισμένος τοῖς γινομένοις· αὐτὸς δὲ ὁ πατὴρ αὐτοῦ [para]πῶς ἵστατο δυσωπῶν αὐτόν, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 16 Ῥήματα ἔφη τῷ πατρὶ ὁ υἱὸς ἀγανακτήσας· [para]«Τοσοῦτον χρόνον ἔχω τῇ βουλήσει σου δουλεύων [para]καὶ ταῖς ἐντολαῖς σου ἀεὶ ὑπηρετησάμην, καὶ οὐδεμίαν ἐντολήν σου ὅλως παρέτρωσα· οἶδας, κἂν μὴ λέγω, ὡς ἀληθεύω, [para]καὶ ὑπὲρ τῶν πόνων τούτων οὐ παρέσχες ἐμοὶ ὡς τέκνῳ σου κἂν ἔριφον· πάντοτε θλίβομαι ἐν ἐρημίαις [para]καὶ ὑστερούμενος καὶ κακουχούμενος ἐν καύσωσι πλείστοις καὶ ἐν τοῖς χειμῶσιν, [para]ἵνα ἀρέσω τῇ σῇ δυνάμει, καὶ ὅλως ἐπιστρέψαντα [para]τὸν ἄσωτον προετίμησας, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 17 Ὡς εἶδες δὲ τὸν ὑϊὸν τοῦτον τὸν καταφαγόντα [para]τὸν πλοῦτόν σου σὺν πόρναις, εὐθὺς ἔσφαξας τὸν μόσχον· [para]ἐχρῆν γάρ, ὡς οἶμαι, κἂν μέμψασθαι διὰ λόγων καὶ διελέγξαι, ἀποστρέψαι δὲ καὶ τὸ πρόσωπον· ἀλλὰ παραχρῆμα τοῦτον ἐδέξω, [para]καὶ κατηλέησας, πρῶτον συνεπλάκης αὐτῷ, στολῇ δὲ κατεκόσμησας· ἔντιμον ἔδειξας τῷ δακτυλίῳ [para]καὶ περιέσφιγξας τοῖς ὑποδήμασιν· ἐποίησας δεῖπνον πρὸς τὴν εὐωχίαν [para]καὶ προετρέψω τοὺς φίλους πάντας· τιμὰς τοιαύτας ἔδωκας [para]τῷ πταίσαντι, ἐπιστρέψαντι, ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 18 Μόνον δὲ ταῦτα ὁ πατὴρ ἤκουσε παρὰ τοῦ τέκνου, [para]εὐθέως ἀπεκρίθη σὺν πραότητι πρὸς τοῦτον· [para]«Κλῖνόν σου τὰ ὦτα καὶ ἄκουσον τοῦ πατρός σου. Σὺ μετ᾽ ἐμοῦ εἶ, οὐκ ἀπέστης γάρ μου οὐδέποτε· σὺ τῆς ἐκκλησίας οὐκ ἐχωρίσθης· [para]σύ μοι συντυγχάνεις πάντοτε παρὼν σὺν ἐμοί, σὺν πᾶσι τοῖς ἀγγέλοις μου. Οὗτος δὲ ἤλυθε κατῃσχυμμένος, [para]γυμνὸς καὶ ἄμορφος, βοῶν· ‘Ἐλέησον·

book 18 ἡμάρτηκα, πάτερ, καὶ καθικετεύω [para]ὁ πλημμελήσας ἐνώπιόν σου· ὡς μίσθιόν με πρόσδεξαι [para]καὶ θρέψον με ὡς φιλάνθρωπος, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.‘

book 19

Ἀδελφὸς ἔκραξεν ὁ σός· ‘Σῶσόν με, ἅγιε πάτερ‘. [para]Τί εἶχον οὖν ποιῆσαι τοῦ κλαυθμοῦ τούτου ἀκούων; [para]Πῶς δὲ ἐδυνάμην μὴ ἐλεῆσαι καὶ σῶσαι τὸν ὑϊόν μου τὸν θρηνοῦντα καὶ ὀδυρόμενον; Σὲ κριτὴν αἱροῦμαι τὸν ἐγκαλοῦντα· [para]δίκασόν μοι, τέκνον, ὁ καταμεμφόμενός μοι, καὶ γίνου διαγνώμων μοι. Χαίρω γὰρ πάντοτε φιλανθρωπίᾳ· [para]πῶς οὖν ἀπάνθρωπος γενέσθαι ἴσχυον; Ὃν ἔπλασα πρώην πῶς μὴ ἐλεήσω καὶ οἰκτειρήσω μετανοοῦντα; Τὰ σπλάγχνα μου ἐγέννησαν [para]τὸ τέκνον μου ὃ ἐλέησα [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 20 Νόει ἃ λέγω σοι, υἱέ· τὰ ἐμὰ πάντα σὰ ἔστι, [para]κἀκείνῳ ἐβουλήθην παρασχεῖν τῶν ἀγαθῶν μου· [para]ἀμείωτος ἔστιν ἣν ἔχεις περιουσίαν· οὐ γὰρ ἐκ ταύτης λαβὼν δέδωκα τῷ συγγόνῳ σου· ἐκ τῶν θησαυρῶν μου τούτῳ παρέσχον. [para]Εἷς εἰμι τῶν δύο κτίστης καὶ πατὴρ ἀγαθός, φιλάνθρωπος καὶ εὔσπλαγχνος· σὲ τιμῶ, τέκνον μου, ὡς προαιρέσει [para]ἀεί με στέρξαντα καὶ θεραπεύσαντα, κἀκείνῳ συμπάσχω διὰ τὸ σπουδάσαι [para]τῇ μετανοίᾳ προσκαρτερῆσαι· εὐφραίνεσθαι οὖν ἔδει σε [para]σὺν ἅπασιν οἷσπερ κέκληκα, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book 21 Ὅθεν σὺν ἅπασιν, υἱέ, τοῖς εἰς τὸ δεῖπνον κληθεῖσιν [para]εὐφραίνου καὶ μελῴδει μετὰ πάντων τῶν ἀγγέλων· [para]ὁ γὰρ ἀδελφός σου ἀπώλετο καὶ εὑρέθη· οὗτος νεκρὸς ἦν καὶ ἀπροσδοκήτως ἀνέζησε.» Ταῦτα οὖν ἀκούσας οὗτος ἐπείσθη [para]καὶ ἠγαλλιᾶτο μετὰ τοῦ συγγόνου αὐτοῦ, καὶ ψάλλων ταῦτα ἔλεγεν· «Ἅπαντες κράξατε μετ’ εὐφημίας, [para]ὅτι μακάριοι ὧνπερ ἀφίεται πᾶσα ἁμαρτία, καὶ ἡ ἀνομία [para]ἐπεκαλύφθη καὶ ἐξηλείφθη. Σὲ εὐλογῶ, φιλάνθρωπε, [para]ὃς ἔσωσας καὶ τὸν σύγγονον, [para]ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.»

book 22 Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, δημιουργὲ τῶν ἁπάντων, [para]αἰτοῦντες δυσωποῦμεν οἱ ἀνάξιοί σου δοῦλοι· [para]ἐλέησον πάντας τοὺς σὲ ἐπικαλουμένους· ἡμαρτηκότας ὡς τὸν ἄσωτον περιποίησαι· πρόσδεξαι καὶ σῶσον δι’ εὐσπλαγχνίας [para]τοὺς ἐν μετανοίᾳ τρέχοντας πρὸς σέ, βασιλεῦ, κραυγάζοντας· «Ἡμάρτομεν.» Δὸς ἡμῖν δάκρυα, ὥσπερ τῇ πόρνῃ, [para]καὶ τὴν συγχώρησιν ὧνπερ ἡμάρτομεν, καὶ ὡς τὸν τελώνην οἰκτείρησον πάντας [para]ταῖς ἱκεσίαις τῆς Θεοτόκου, μετόχους τε τοῦ δείπνου σου [para]ἀνάδειξον ὡς τὸν ἄσωτον, ὁ τῶν αἰώνων δεσπότης καὶ κύριος.

book pro Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον· [para]ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον, [para]εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν τῶν οἰκτιρμῶν σου, σωτήρ· νῦν πτωχεύουσαν μὴ ὑπερίδῃς καρδίαν· σοὶ γάρ, Κύριε, ἐν κατανύξει κραυγάζω· «Ἥμαρτον, πάτερ, εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου.»

book 1 Τοῦ σωτῆρος ἡμῶν καθ’ ἑκάστην ἡμῖν τῇ οἰκείᾳ φωνῇ βοῶντος ἐν γραφαῖς [para]τοῦ ἀσώτου υἱοῦ τὴν μετάνοιαν, ἀποθώμεθα πᾶσαν ἀσέβειαν καὶ τῷ πατρὶ τῷ εἰδότι τὰ πάντα προσπέσωμεν· οἶδε γὰρ, οἶδεν ἐκδέχεσθαι τὴν τῶν πταιόντων μετάνοιαν, ἔνδυμα δὲ τῆς ἀφθαρσίας ἐπιστρέφοντας μόνον ἐνδύει αὐτὸς τοὺς βοῶντας κλαυθμῷ· «Ἥμαρτον, πάτερ, εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου.»

book pro Εἰ καὶ τῶν ἐμῶν βλέπω πταισμάτων ὑπὲρ ἀριθμὸν ψάμμου τὸ πλῆθος, [para]ἀλλὰ τὸ ἄφατον τῶν οἰκτιρμῶν σου γινώσκων κραυγάζω· «Οἴκτειρόν με καὶ ἐλέησον, Κύριε.»

book 1 Πνευματικῇ ὑμνῳδίᾳ ὑμνοῦμέν σε, πανάγιε, σὺν τῷ ἀνάρχῳ σου Λόγῳ καὶ τῷ ἁγίῳ πνεύματι· προσκυνοῦντές σοι ἐν πίστει, [para]ὁμολογοῦμεν τριάδα ἀχώριστόν σε, τρισάγιε. Ἀλλ’ αὐτὸς τοὺς πίστει βοῶντάς σοι φωτί σου καταύγασον μετὰ τῶν ἁγίων σου, ὡς τὸν δίκαιον Λάζαρον· ἀνέγνωμεν γὰρ τούτου τὸν βίον ἐν γραφαῖς καὶ τοῦ μισανθρώπου ἀσπλαγχνίαν πρὸς αὐτόν·

[para]τὸν μὲν γὰρ παρέπεμψας γεέννῃ πυρός, τὸν δὲ κόλποις Ἀβραάμ· ἀλλ’ αὐτὸς ἡμᾶς, οἰκτίρμων, τῆς ὀργῆς σου ῥυσάμενος ἐλέησον, Κύριε.

book 2 Ὁ Κύριος ὁ τῆς δόξης, φιλῶν τὴν ἀνθρωπότητα καὶ θέλων πάντας σωθῆναι, ἐγνώρισε τὰ μέλλοντα, [para]προχαράξας ἐν τῇ βίβλῳ τὴν ἀπόδοσιν ἣν δώσει τότε ἀγαθοῖς καὶ πονηροῖς· τὸν γὰρ βίον τούτου τοῦ ἅρπαγος ἀρτίως ἀκούσαντες, τὰ ἡμῶν σκοπήσωμεν, ἑαυτοὺς ἀνακρίνωμεν. Τοῦτο γάρ φησι καὶ ἡ θεόλεκτος γραφή· τὶς ἄνθρωπος ἦν πλούσιος χρήμασι πολλοῖς, [para]ὃς ἐνεδιδύσκετο βύσσον πολλὴν καὶ πορφυρίδα λαμπράν, εὐφραινόμενος ἐν δόξῃ, εὐωχούμενος, μὴ βοῶν· «Ἐλέησον, Κύριε.»

book 3 Ἰδὼν τὸν Λάζαρον τότε ὁ πλούσιος, ὡς ἄσπλαγχνος, ὀργίλῳ ἀπανθρωπίᾳ τὸν πένητα βδελυττόμενος [para]ἀσθενείᾳ τετρωμένον καὶ ἀπανθρώπως ἀποστρεφόμενος αὐτὸν ὁ εὐσθενής, ὀδυνώμενον δὲ παρέβλεπε λιμῷ τε φθειρόμενον, οὐδέποτε ἐλεῶν ὁ Θεὸν μὴ φοβούμενος, ὑπερηφανῶν τὸν ἀδελφὸν ὁ δυσμενής, καὶ ἀνηλεῶς βλέπων ἐν πτωχείᾳ αὐτὸν [para]γυμνὸν ὄντα πάντοτε 〈–〉 ἐν τῷ πυλῶνι αὐτοῦ κατακείμενον ὡς σκεῦος τεθλασμένον, κραυγάζοντα· «Ἐλέησον, Κύριε.»

book 4 Ἡ ὑπερήφανος γνώμη εἰργάσατο τὸν πλούσιον, ἀνελεήμονα φύσει, ἀπάνθρωπον καὶ ἄφρονα· [para]ἐπελπίσας γὰρ τῷ πλούτῳ, ἐφυσιοῦτο, καὶ ἐν τοῖς χρήμασιν αὐτοῦ ἦν γαυριῶν. Ἀλλ’ ὡς ἔφη ἡμῖν τὸ σύγγραμμα, λαμπρῶς εὐφραινόμενος, τῷ οἴνῳ μεθυσκόμενος, ἀσελγείαις δεδούλωτο· ὃς καὶ ἐνδημῶν καὶ ἐκπορευόμενος, ἑώρα ἐν γῇ Λάζαρον ψιχίων ἐνδεῆ [para]καὶ πρὸ πύλης κείμενον ἐν στεναγμοῖς, τὸ σῶμα βλέπων αὐτοῦ ἀσθενείᾳ τετρωμένον, καὶ οὐδ’ οὕτως ἐβόησεν· «Ἐλέησον Κύριε.»

book 5 Μακροθυμῶν καρτερίᾳ ὁ Λάζαρος ὑπέμενεν· ὡς δὲ ἑώρα εἰκότως τὸν πλούσιον ἐσθίοντα, [para]ἐπεθύμει καὶ ἐζήτει ἐκ τῶν ψιχίων τῶν ἐκπιπτόντων παρ’ αὐτοῦ μεταλαβεῖν. Κατακείμενος γὰρ παράλυτος τραυμάτων πεπλήρωτο· δεινῶς δὲ ἐπτώχευεν ἀσθενείαις κρατούμενος, βοῶν ἐκτενῶς ἐν τῇ εὐχῇ πρὸς τὸν Θεόν, τὰ ἕλκη ὁρῶν τῆς ἀνιάτου συμφορᾶς· [para]ὅθεν καὶ συνέπασχον ὡς ἰατροὶ οἱ κύνες τῷ ἀσθενεῖ, καὶ ἀνέλειχον τὰ ἕλκη τοῦ ἐν θλίψει κραυγάζοντος· «Ἐλέησον Κύριε.»

book 6 Ἀνεξερεύνητα πάντα τὰ κρίματα τοῦ πλάσαντος· τὸν μὲν γὰρ ἐνταῦθα κρίνει, τὸν δὲ ἐκεῖ εἰς γέενναν· [para]ἕκαστος κατὰ τὸ ἔργον καθὼς μετρήσει, καὶ μετρηθήσεται αὐτῷ παρὰ Θεοῦ. Ταῦτα δέ τινες ἐλογίσαντο σκιὰν καὶ ἐνύπνιον, ἕως ἂν κατήντησαν εἰς τὴν γέενναν τὴν ἄσβεστον· ὡς οὗτος ὁ ἅρπαξ καὶ μισόθεος ἀνὴρ τρυφὴν τὰ αὐτοῦ πρὶν ἐλογίσατο κακῶς, [para]λέγων· «Οὐκ ἔστι Θεὸς οὐδὲ κριτὴς ὁ Κύριος τῶν βροτῶν· διὰ τοῦτο εὐωχοῦμαι, ἐντρυφῶ, σκιρτῶ καὶ οὐ βοῶ· Ἐλέησον Κύριε.»

book 7 Ῥύπον εἰ εἶχεν κηλῖδος ὁ Λάζαρος τοῖς πταίσμασι μικρὸν πρὸς ἔτασιν, οὕτω προσκαίρως ἔνθεν κρίνεται, ἕως ὅτου ἀνῃρέθη [para]ἡ ἁμαρτία τοῖς πόνοις τοῦ σώματος νῦν, ὡς ἐν πυρί. Οὐδείς ἐστι γὰρ ἀναμάρτητος, εἰ μὴ μόνος Κύριος· ὅθεν ὁ ἐλάχιστος μετὰ φειδοῦς κριθήσεται, δυνάσται λαῶν δὲ ἐτασθῶσι δυνατῶς, ὡς ἔφη τὸ πρὶν ἐν παροιμίαις Σολομών· [para]οὗτοι γὰρ γενήσονται βρῶμα πυρός οἱ ἀμελοῦντες Θεοῦ καὶ δικαίου ἀποστάντες· δι’ ὧν ἡμᾶς ῥυσάμενος ἐλέησον, Κύριε.

book 8 Ὡς ἐκ πολλῆς ἀσθενείας ὀχλούμενος ὁ ὅσιος, δεχόμενος τὰς ὀδύνας εἰκότως ταῦτα ἔφησεν· [para]«Πρώην μὲν ἐν τοῖς ἀρχαίοις Ἰὼβ πτωχεύσας, ἐγκαρτερῶν ἐν τῇ πληγῇ ἐρρύσθη αὐτῆς· ἐγὼ δὲ τὸν θάνατον ἕτοιμον ὁρῶ ἐναντίον μου· διὸ μὴ παρίδῃς με, ἀλλὰ δέξαι τὸ πνεῦμά μου, ὅτι κατελείφθην ὑπὸ πάντων ὡς νεκρός· ἀπέλθω οὖν νῦν καὶ οὐχ ὑπάρξω λυπηρός, [para]κατοικῶν ἐν μνήματι ὡς οἰκιᾷ, ὡς χνοῦς εἰς γῆν κατελθών· ἀλλὰ ῥῦσαί με ἐξ ᾅδου, ὁ Θεός μου, κραυγάζοντα· Ἐλέησον Κύριε.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 9 Μετὰ τοιαύτας δεήσεις, ὁ πάντα ἐπιστάμενος τῷ ἐν ὀδύναις ἐπεῖδεν καὶ ἔπεμψε τὴν λύτρωσιν δι’ ἀγγέλων ταξιάρχων [para]τοῦ μεταστῆσαι ἐκ τῶν τοῦ σώματος δεινῶν τὸν εὐσεβῆ. Τούτῳ δὲ ἀθρόως ἐπέστησαν ὡς φίλοι οἱ ἄγγελοι αὐτὸν κολακεύοντες, ὡς δικαίῳ συμπάσχοντες· οὓς πόθῳ ὁρῶν οὐ θορυβεῖται τῇ ψυχῇ, τὴν ἔξοδον δὲ οὐκ ἠγωνία ἐννοῶν. [para]Τοῦτον ἀσπασάμενοι ὡς προσφιλεῖς πορεύονται ἐν χαρᾷ, καταλείψαντες τὸ σῶμα ἐν τῇ γῇ τοῦ κραυγάζοντος· «Ἐλέησον Κύριε.»

book 10 Ἀλλ’ ἀνεθεὶς τῆς ὀδύνης, ἄμωμος ἐπορεύετο μετὰ ἁγίων ἀγγέλων ὁ δίκαιος γηθόμενος· [para]καταφθάσας δὲ τὸ βῆμα καὶ προσκυνήσας Κυρίῳ τῷ πάντων κριτῇ, εἶχε χαράν. Εὐμενῶς δὲ τοῦτον προσέταξεν ὁ πάντα δυνάμενος οἰκεῖν [με]τὰ Ἀβραὰμ εἰς τὸν θεῖον παράδεισον. Μακάριος γὰρ ὃν ἐξελέξω, ἀγαθέ, καὶ ὃν προσελάβου ἐν αὐλαῖς σου, λυτρωτά, [para]κατοικεῖν τὴν ἄφατον δόξαν ἀεὶ τοῦ οἴκου σου καὶ ὁρᾶν ἅπερ νοῦς βροτῶν οὐκ ἔγνω· ἃ καὶ ἡμῖν δωρούμενος ἐλέησον Κύριε.

book 11 Νέμων ὁ κριτὴς ἑκάστῳ τὰ δίκαια ὡς δίκαιος, ἀγγέλους ἐξαποστέλλει ὀξεῖς καὶ ὀλοθρεύοντας συλλαβέσθαι ἀποτόμως [para]τὸν μὴ θελήσαντα συμπάσχειν τῷ πτωχῷ ὡς γηγενεῖ. Ἀθρόως δὲ τούτῳ ἐπέστησαν οἱ ἐπὶ τῆς φάσεως ἐν προφυλακῇ νυκτός, οὓς ἰδὼν ἀπεπλήκτησε· τῷ βέλει τρωθεὶς τῷ τοῦ ὀλοθρεύοντος, ἐδίδου ψυχήν, βρύχων τε καὶ ἀγωνιῶν. [para]Φανερῶς γὰρ φθέγγεται ὁ ψαλμῳδός·

book 11 «Τὰ βέλη τοῦ δυνατοῦ σὺν τοῖς ἄνθραξιν ὑπάρχει, ἀναιροῦντα τοὺς μὴ κράζοντας· ‘Ἐλέησον Κύριε‘.»

book 12 Ὄντως τὰ βέλη Κυρίου ὀργῇ διαπορεύεται ἐπὶ υἱοὺς ἀδικίας· διὸ καὶ τούτῳ ἔφθασεν [para]ἡ ὠδὶν ὡς 〈τῇ〉 τικτούσῃ, καὶ καταλείπει τὰ πρὶν ὑπάρξαντα αὐτῷ ἄλλοις ἄκων. Πάντες δὲ οἱ φίλοι καὶ ἴδιοι ἐτήρουν τὸν κείμενον, τὸ ἄπληστον μεμφόμενοι· πρὸς ἀλλήλους δὲ ἔλεγον· «Οὐχ οὗτός ἐστιν ὁ μὴ φοβούμενος Θεὸν καὶ ἄνθρωπον ὅλως μὴ ἐλεήσας ποτέ;» [para]Καὶ σπουδαίως θάψαντες τοῦτον εἰς γῆν, μερίζονται τὰ αὐτοῦ ἃ κατέλιπεν ἀδίκοις θησαυροῖς· οὐ γὰρ ἔκραξεν· «Ἐλέησον Κύριε.»

book 13 Ὕλῃ πολλῇ τῶν πταισμάτων κρινόμενος ὁ πλούσιος εἰκότως ἐνεθυμήθη· «Πολλὰ μὲν ἡμάρτηκα· [para]τίς δὲ ἡ αἰτία ἐστὶν ὅτι ἐνταῦθα νῦν τηγανίζομαι φλογὶ ἀνηλεῶς;» Ὅτε ταῦτα ἤκουσεν Κύριος ὁ πάντα ἐπιστάμενος, δεικνύει τῷ πταίσαντι τὴν αἰτίαν τῆς κρίσεως. Εἰς ᾅδην γὰρ ὤν, ἐπὶ τὸ ὕψος ἀφορᾷ καὶ Λάζαρον βλέπει ἐν τοῖς κόλποις Ἀβραάμ· [para]ὅθεν καὶ ἐπεγίνωσκε τὸν πρὶν πτωχὸν καὶ ἀλλοιοῦται τηρῶν ὃν παρέβλεπεν ἐν κόσμῳ εὐωχούμενος, μὴ βοῶν· «Ἐλέησον Κύριε.»

book 14 Τότε θαυμάζων ὁ ἅρπαξ καθ’ ἑαυτὸν ἐφθέγγετο· «Οὗτος ὑπάρχει ὁ πρώην ἐν τοῖς προθύροις κείμενος, [para]ὃν ψιχίων οὐκ ἠξίουν; Καὶ πόσον φέγγος καὶ δόξαν ἔχει, ἣν οὐκ εἶδον ἐν τῇ γῇ; Καὶ τί νῦν βοήσω ἢ σκέψομαι; Αἰτήσω τὸν Λάζαρον ἵνα ῥανίδι μικρᾷ καταψύξῃ τὴν γλῶσσάν μου; Αἰσχύνομαι νῦν τοῦτον αἰτῆσαι τὸν πτωχόν, ὃν ἔβλεπον πρὶν καὶ τῶν ψιχίων ἐνδεῆ. [para]Ἀβραὰμ αἰτοῦμαι οὖν· ‘Πάτερ, βοῶν, ἐλέησον τὸν υἱὸν καὶ ἀπόστειλον ταχέως τὸν βοήσαντα Λάζαρον· Ἐλέησον Κύριε‘.

book 15 Ἀδίκως πρὶν τῷ Λαζάρῳ ἐνήδρευσα ὡς πένητι· ἀνομιῶν ἐνεπλήσθην· ἀδίκως ἐπορεύθην δὲ [para]γαυριῶν ἐπὶ τῷ πλούτῳ· ἀλαζὼν ὢν δὲ ἀπεπλανήθην τῆς ὁδοῦ τῆς ἀληθοῦς, καὶ τὸ φῶς ἐμοὶ οὐκ ἐπέλαμψεν, ὅτι οὐκ ἐπέγνωκα ὁδοὺς ὁσιότητος, παροδεύσας τὸν βίον μου. [para]Παρῆλθεν ὁ πλοῦτος ὡς ἀράχνη καὶ σκιὰ καὶ ὡς ἐξανθῶν χόρτος ἐπὶ δώματος· [para]ὡς ναῦς δὲ διέδραμεν ἐν τῷ βυθῷ, ἴχνος οὐκ ἔστιν εὑρεῖν· ἀνωφέλητον οὖν ἐστι τὸ ἐνταῦθα κραυγάζειν με· Ἐλέησον Κύριε.

book 16

Πλοῦτος καὶ βίος παρῆλθεν· ὡς ἄχνη ὑπὸ λαίλαπος καὶ καπνὸς ὑπὸ ἀνέμου ἐκδιωχθεὶς οὐ φαίνεται, [para]οὕτως μου τὸ πνεῦμα, ἄφνω ἐκπορευθέν, ἐμοῦ διεχέθη ὡς χαῦνος νυνὶ ἀήρ. Σκιὰ γὰρ ὁ βίος παντὶ θνητῷ· οὐκ ἔστιν ἀνάλυμα ἐν τῇ τελευτῇ ἐμοῦ, ὅτι σφόδρα ἡμάρτηκα. Δικαίων ψυχαὶ ἐν ταῖς χερσὶ δὲ τοῦ Θεοῦ, καὶ οὐκ ἐγγιεῖ μάστιξ σκηνώματι αὐτῶν· [para]διὸ νῦν κεκράξομαι πρὸς Ἀβραὰμ ἐξιλεῶσαι Θεὸν καὶ πεμφθῆναι τὸν γνωστόν μου τὸν βοήσαντα Λάζαρον· Ἐλέησον Κύριε.»

book 17 Εὐθὺς νευροῦται ἐν τούτοις ὁ πλούσιος κρινόμενος, καὶ Ἀβραὰμ ἐδυσώπει δακρύων καὶ βοῶν αὐτῷ· [para]»—Πάτερ Ἀβραάμ, οἰκτείρας σπλαγχνίσθητί μοι καὶ πέμψον Λάζαρον δροσίσαι με σπουδῇ. Τῇ φλογὶ δεινῶς ὀδυνώμενος ἀποτηγανίζομαι· διὸ μὴ παρίδῃς με, ἀλλὰ πρόσχες τῇ κρίσει μου· ἐλθέτω πρός με ὅνπερ παρέβλεπον μισῶν, ὁρῶν ἐνδεῆ καὶ ἐκτηκόμενον λιμῷ· [para]νῦν γὰρ οὗτος πλούσιος, ἐγὼ πτωχός, κρινόμενος ἐν φλογί· διὸ οὗτός μου δροσίσῃ χείλη τὰ μὴ βοήσαντα· Ἐλέησον Κύριε.

book 18 —Ἰδοὺ πατέρα φωνεῖς με, μὴ γνούς μου τὸ φιλόξενον· οὐκ ἂν γὰρ βλέπων παρεῖδες τὸν ἐν πτωχείᾳ Λάζαρον· οὗτος γὰρ ὅνπερ καλέεις [para]παρακαλεῖται· σὺ δ᾽ ὀδυνᾶσαι ἐν πυρί, ἄθλιος ὤν. Οὐκ ᾠκτείρησας, οὐκ ἠλέησας ἐν τῇ παροικίᾳ σου τὸν δίκαιον Λάζαρον ἐν πτωχείᾳ φερόμενον· οὐκ ἐνεθυμήθης ὡς θνητὸς τὰ τοῦ Θεοῦ, ἀλλ᾽ ἔμεινας μάτην θησαυρίζων τὸν χρυσόν· [para]ἐνδεῆ παρέβλεπες μὴ ἐλεῶν, ὡς πλούσιος καὶ φθαρτός· προστιθέμενος τῷ πλούτῳ πλοῦτον ἄλλον, οὐκ ἔκραζες· Ἐλέησον Κύριε.

book 19 —Νῦν τῆς προσκαίρου ἀπάτης ἀπήλαυσα, ὡς ἔφησας, καὶ ἐν τῷ ᾅδῃ ὑπάρχω πικρῶς βασανιζόμενος· [para]ὅθεν ἐρωτῶ σε, πάτερ, ἐξαπόστειλον τὸν Λάζαρον ὡς ὑετὸν γλώσσῃ ἐμῇ.» Ἀβραὰμ δὲ τούτῳ ἀντέφησεν· «Ἀπέλαβες, ἄνθρωπε, ἐν βίῳ τὰ ἀγαθά· ὅθεν οὐ κεχρεώστησαι· καὶ Λάζαρος πάντα τὰ κακὰ ἔλαβεν, ὡς βέλη τὰ ἕλκη ἐν τῷ σώματι αὐτοῦ· [para]ὅθεν οὐκ ἐτάζεται ὡς πληρωθεὶς τῶν ἀπεκεῖθεν κακῶν, ἵνα τούτων ἀπολαύσῃ τῶν καλῶν, ὅτι ἔκραζεν· Ἐλέησον Κύριε.

book 20 Οὐκ ὢν ἀνοικτίρμων νῦν σοι τοιαῦτα ἔφην, ἄνθρωπε, ἀλλ᾽ ὅτι μέγιστον χάος ὑπάρχει μεταξὺ ἡμῶν, [para]ἵνα μὴ οἱ ἐν τῷ ᾅδῃ ἐνταῦθα ἔρχωνται, μήθ᾽ ἡμεῖς διαπερῶμεν πρὸς ὑμᾶς.» Πρὸς ταῦτα τῷ Ἀβραὰμ ἔφησε· «Σοῦ δέομαι, κύριε, ἐγεῖραί με ἐκ νεκρῶν τοῦ ἀναγγεῖλαι τῷ γένει μου, μήπως καὶ αὐτοὶ σὺν ἐμοὶ κριθήσονται.» Ἀντέφη δ᾽ αὐτῷ· «Ἔχουσι προφήτας καὶ Μωσῆν· [para]αὐτῶν ἀκουσάτωσαν ταῖς διδαχαῖς·

book 20 ὃς δ᾽ ἂν τούτοις μὴ πεισθῇ, οὐδ᾽ ἐκ τάφου ἂν καθίδῃ διανιστάμενον φθέγξηται· Ἐλέησον Κύριε.»

book 21 Υἱὲ Θεοῦ, σῶσον ἡμᾶς ὡς μόνος ἀτελεύτητος· ἀνθρώπου γὰρ αἱ ἡμέραι ὡς ἄνθος χόρτου ἔσονται· [para]ὡς χλόη πρωῒ ἀνθήσει, τὸ δὲ ἑσπέρας ἀποπέσει, σκληρυνθῇ καὶ ξηρανθῇ, ὅτι πνεῦμα ἦλθεν ἐν ῥισὶν ἡμῶν καὶ ὡς οὐχ ὑπάρξαντες πάλιν γενησόμεθα, ὡς σκιὰ παρερχόμενοι. Ἐν τῷ οὖν ἐκλείπειν τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος, [para]αὐτός με ἐξάρπασον ὡς λυτρωτὴς τῆς ἀπειλῆς τοῦ πυρός, ἀκατάκριτόν με δείξας μετὰ πάντων τῶν δούλων σου· ἐλέησον Κύριε.

book pro 1 Τὸν νυμφίον, ἀδελφοί, ἀγαπήσωμεν, [para]τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, [para]ἐν ἀρεταῖς ἐκλάμποντες καὶ πίστει ὀρθῇ, ἵνα ὡς αἱ φρόνιμοι, τοῦ Κυρίου ἐλθόντος, ἕτοιμοι εἰσέλθωμεν σὺν αὐτῷ ἐν τῷ γάμῳ· ὁ γὰρ οἰκτίρμων δῶρον ὡς Θεὸς [para]πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.

book pro 2 Ὁ νυμφίος τῆς σωτηρίας, ἡ ἐλπὶς τῶν σε ἀνυμνούντων, Χριστὲ ὁ Θεός, [para]δώρησαι ἡμῖν τοῖς αἰτοῦσί σε [para]ἄσπιλον εὑρεῖν ἐν τῷ γάμῳ σου, ὡς αἱ παρθένοι, τὸν ἄφθαρτον στέφανον.

book pro 3

Ἐν τῇ δευτέρᾳ σου, Χριστέ, παρουσίᾳ, [para]ὅταν καθήσῃς, ὁ Θεός, ἐπὶ θρόνου [para]τοῦ φοβεροῦ σου, δέσποτα φιλάνθρωπε, δέομαι μὴ καταισχύνῃς με κατενώπιον πάντων· ἄνοιξον τὰς θύρας μοι τοῦ νυμφῶνος, οἰκτῖρμον, ὡς ταῖς φρονίμοις τότε γυναιξίν, πᾶσιν παρέχων τὸν ἄφθαρτον στέφανον.

book pro 4 Τὰς φρονίμους μίμησαι, ψυχή, παρθένους, [para]καὶ αὐτῶν ζηλώσασα τὴν ἐλεήμονα στοργήν, [para]ἐν μετανοίᾳ νῦν κραύγαζε· [para]«Πᾶσι παράσχου, Χριστέ, στέφος ἄφθαρτον.»

book pro 5 Ὁ νυμφὼν ηὐτρέπισται, ψυχὴ ἀθλία· [para]ἕως πότε πάθεσιν ἐκδαπανᾶς σου τὴν ζωὴν [para]καὶ οὐκ ἐργάζει τοῦ δέξασθαι [para]ὡς αἱ παρθένοι τὸν ἄφθαρτον στέφανον;

book pro 6 Νῦν ὁ καιρὸς τῶν ἀρετῶν ἐπεφάνη καὶ ἐπὶ θύραις ὁ κριτής· μὴ στυγνάσωμεν, ἀλλὰ δεῦτε, νηστεύοντες προσάξωμεν δάκρυα, κατάνυξιν καὶ ἐλεημοσύνην, κράζοντες· «Ἡμάρτομεν ὑπὲρ ψάμμον θαλάσσης· [para]ἀλλ’ ἄνες πᾶσιν, πάντων ποιητά, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.»

book 1 Τῆς ἱερᾶς παραβολῆς τῆς ἐν εὐαγγελίοις ἀκούσας τῶν παρθένων, ἐξέστην, ἐνθυμήσεις καὶ λογισμοὺς ἀνακινῶν, [para]πῶς τὴν τῆς ἀχράντου παρθενίας ἀρετὴν αἱ δέκα μὲν ἐκτήσαντο, ταῖς πέντε δὲ παρθένοις ἐγένετο ἄκαρπος ὁ πόνος, αἱ δὲ ἄλλαι ταῖς λαμπάσιν ἐξήστραπτον τῆς φιλανθρωπίας. Διὸ προτρέπεται αὐτὰς ὁ νυμφίος καὶ εἰσάγει ἐν χαρᾷ ἐν τῷ νυμφῶνι, [para]ὅτε οὐρανοὺς ἀνοίγει καὶ διανέμει πᾶσι δικαίοις τὸν ἄφθαρτον στέφανον.

book 2 Οὐκοῦν ζητήσωμεν ἡμεῖς τῆς θείας γραφῆς ταύτης τὴν χάριν καὶ τὸν τρόπον· ἀφθάρτου γὰρ ἐλπίδος ὑπάρχει πᾶσιν ὁδηγός, [para]ὥσπερ οὖν καὶ πᾶσα ἡ θεόπνευστος γραφὴ καθέστηκεν ὠφέλιμος. Χριστῷ οὖν τῷ σωτῆρι προσπίπτοντες, κράξωμεν προθύμως· «Βασιλεῦ βασιλευόντων, φιλάνθρωπε, δὸς πᾶσι τὴν γνῶσιν· ὁδήγησον ἡμᾶς πρὸς τὰς ἐντολάς σου, ἵνα γνῶμεν τὴν ὁδὸν τῆς βασιλείας· [para]ταύτην γὰρ ἡμεῖς ὁδεῦσαι ἐπιποθοῦμεν, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.»

book 3 Ὑπὸ τῆς πίστεως αὐτῆς καὶ τῆς ἐπαγγελίας οἱ πλεῖστοι τῶν ἀνθρώπων ποθοῦσιν ἐφικέσθαι τῆς βασιλείας τοῦ Θεοῦ· [para]ὅθεν διὰ τοῦτο παρθενίας ἀρετὴν φυλάττειν κατεπείγονται· ἀσκοῦσι καὶ νηστείας, κατόρθωμα μέγιστον ἐν βίῳ, ταῖς εὐχαῖς προσκαρτεροῦσι, τὸ δόγμα δὲ ἄχραντον τηροῦσιν· ἐλλείπει δὲ αὐτοῖς ἡ φιλανθρωπία καὶ εὑρίσκεται λοιπὸν μάταια πάντα· [para]πᾶς γὰρ ἐξ ἡμῶν μὴ ἔχων τὴν εὐσπλαγχνίαν οὔτε λαμβάνει τὸν ἄφθαρτον στέφανον.

book 4 Τὸν πλοῦν ποιούμενοί τινες πάντων κατηρτισμένων, λιπόντες τὴν ὀθόνην εὐθεῖαν ἐν θαλάσσῃ πορείαν οὐ κτῶν[ταί] ποτε· [para]τότε γὰρ τοῦ δρόμου ἐμποδίζεται ἡ ναῦς καὶ ἄπρακτος καθίσταται, οὐ τέχνῃ κυβερνήτου δουλεύουσα, οὔτε δὲ τοῖς ναύταις. Τὸν αὐτὸν δὴ τρόπον πάντες οἱ σπεύδοντες πρὸς τὴν βασιλείαν, κἂν πάσης ἀρετῆς σωρεύσουσι φόρτον, εὐσπλαγχνίας δέ εἰσι γεγυμνωμένοι, [para]τοῖς πρὸς οὐρανὸν λιμέσιν οὐ προσορμῶσιν, οὐ κομιοῦνται τὸν ἄφθαρτον στέφανον.

book 5 Ἁπασῶν μεῖζον ἀρετῶν τὴν ἐλεημοσύνην ὁ πάντων κριτὴς κρίνας παρέδωκεν ἀνθρώποις διδάξας τὴν παραβολήν· πέντε μὲν φρονίμους τὰς τὸ ἔλαιον σαφῶς βαστάσαντας ἐκάλεσε, μωρὰς δὲ τὰς τὸν δρόμον τελέσαντας ἄνευ τοῦ ἐλαίου. Καὶ τὴν δύναμιν τὴν ταύτης ἠκούσαμεν κράζοντος Ματθαίου· ἧς πάλιν ἐπελθεῖν τὰ ῥήματα πάντα πρὸς εἰδότας τὰς γραφὰς ἄτοπον κρίνω· [para]ὅθεν τὸν σκοπὸν τὸν ταύτης ἀναζητῶμεν, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

book 6 Πολλὴ ἡ τῆς παραβολῆς ἐστὶ διδασκαλία, πάσης φιλανθρωπίας καὶ ταπεινοφροσύνης ὁδὸς καὶ πᾶσιν ὁδηγός· [para]ἄνακτας ῥυθμίζει, ἡγουμένους τοῦ λαοῦ διδάσκει τὴν συμπάθειαν. Καθάπερ γάρ τις οἶκον ὑπέρλαμπρον κτίσας καὶ πληρώσας, εἰ μὴ τοῦτον ὀροφώσῃ, ἀνόνητος

γίνεται ὁ πόνος, οὕτως τὰς ἀρετὰς ὁ οἰκοδομήσας, καὶ τὸν ὄροφον εἰ μὴ τῆς συμπαθείας [para]προσθήσῃ αὐταῖς, ἀπόλλυσι τοὺς καμάτους, ὥστε μὴ ἔχειν τὸν ἄφθαρτον στέφανον.

book 7 Εἰδεῖν ἰσχύομεν τὸν νοῦν τῆς θείας γραφῆς ταύτης, εἰ τὰ τῆς διανοίας ὄμματα γρηγοροῦντα ἐπανατείνωμεν Χριστῷ· [para]δόξωμεν οὖν βλέπειν τῆς ψυχῆς τοῖς ὀφθαλμοῖς τὴν πάγκοσμον ἀνάστασιν, Χριστὸν δὲ τὸν σωτῆρα δεικνύμενον πάντων βασιλέα, ὃς καὶ νῦν γὰρ βασιλεύει καὶ κύριος ἐστὶ καὶ δεσπότης. Κἂν στασιάζουσι τινὲς ἀγνοοῦντες, ἀλλ' ἡ φλὸξ ἡ τοῦ πυρὸς πάντας χωνεύσει· [para]τότε οὖν οὐδεὶς δυνήσεται ἀντιστῆναι, ὅτε παρέξει τὸν ἄφθαρτον στέφανον.

book 8 [Ἴσμεν γὰρ πάντες ὡς φωνῇ ἡ σάλπιγξ ἐξαπίνης ἠχοῦσα δι' ἀγγέλου νεκροὺς τοὺς ἀπ' αἰώνων ἐγερεῖ μένοντας Χριστὸν [para]τὸν καλὸν νυμφίον, ὑϊὸν τὸν τοῦ Θεοῦ, τὸν ἄναρχον Θεὸν ἡμῶν· κραυγῆς τε γινομένης αἰφνίδιον, πάντες ἀπαντῶσι, καὶ ἑτοίμους τὰς λαμπάδας οἱ ἔχοντες τὰς ἐλαιοθρέπτους εἰσέρχονται εὐθὺς μετὰ τοῦ νυμφίου, βασιλείαν οὐρανῶν κληρονομοῦντες· [para]τότε γὰρ αὐτοῖς ἡ πίστις μετὰ τῶν ἔργων δώσει ἀξίως τὸν ἄφθαρτον στέφανον.]

book 9 Νικᾷ τὰς ἄλλας ἀρετὰς ἡ ἐλεημοσύνη ἡ ὄντως λαμπροτέρα πασῶν προκαθημένη τῶν ἀρετῶν παρὰ Θεῷ· [para]τέμνει τὸν ἀέρα, ὑπερβαίνει μετ' αὐτὸν σελήνην καὶ τὸν ἥλιον, καὶ φθάνει ἀπροσκόπως τὴν εἴσοδον τῶν ἐπουρανίων, καὶ οὐχ ἵσταται οὐδ' οὕτως, ἀλλ' ἔρχεται μέχρι τῶν ἀγγέλων, ἐκτρέχει τοὺς χοροὺς καὶ τῶν ἀρχαγγέλων, ἐντυγχάνει τῷ Θεῷ ὑπὲρ ἀνθρώπων, [para]παρίσταται δὲ τῷ θρόνῳ τοῦ βασιλέως, τοῦτον αἰτοῦσα τὸν ἄφθαρτον στέφανον.

book 10 Οὐκοῦν κατίδωμεν ἡμεῖς τὰς πέντε τὰς πανσόφους ἐξ ὕπνου ἀναστάσας καθάπερ ἐκ παστάδος καὶ οὐκ ἐκ τάφου τῶν νεκρῶν· [para]ἔλαιον γὰρ εἶχον, καὶ εὐθὺς τὰς τῆς ψυχῆς λαμπάδας κατεκόσμησαν. Αἱ ἄλλαι δὲ ὁμοίως ἀνέστησαν ἄθροον σὺν ταύταις, σκυθρωπὰ προσκεκτημέναι τὰ πρόσωπα καὶ συμπεπτωκότα· ἐσβέσθησαν μὲν γὰρ αἱ τούτων λαμπάδες, τὰ ἀγγεῖα δὲ αὐτῶν κοῦφα ἐδείχθη· [para]ἔλαιον λαβεῖν ἐζήτουν ἐκ τῶν φρονίμων τῶν δρεψαμένων τὸν ἄφθαρτον στέφανον.

book 11 Ὑπολαβοῦσαι αἱ σοφαὶ φησὶ ταῖς ἀνοήτοις· «Μήποτε οὐκ ἀρκέσει ὃ ἔσχομεν ἐν κόσμῳ ἡμῖν τε πᾶσι καὶ ὑμῖν· [para]οὔτε γὰρ θαρροῦμεν οὔτε ἔχομεν σαφῶς ἐνέχυρον τὴν ἔκβασιν.» Καὶ γὰρ ὁ τῶν δικαίων νῦν σύλλογος ἅπας ἀμφιβάλλει καὶ φοβεῖται ἐν τῇ κρίσει τὸ ἄδηλον τὸ τοῦ κριτηρίου, ἕως ἂν πρόδηλος φανῆται ἡ ψῆφος καὶ λυτρώσηται αὐτοὺς πάσης δουλείας· [para]τὸν ἔλεον οὖν μερίζει ὁ πάντων κτίστης, ὅστις δωρεῖται τὸν ἄφθαρτον στέφανον.

book 12 Ῥητῶς αἱ φρόνιμοί φησιν· «Ἀπέλθατε, ζητεῖτε ἐκεῖ πρὸς τοὺς πωλοῦντας εἰ ἄρα δυνηθῆτε ἔλαιον πρίασθαι νυνί.» [para]Αὗται δ' ἀπατῶνται ὡς ἀνόητοι ἀεὶ καὶ σπεύδουσιν ὠνήσασθαι, ὅτε τῆς πραγματείας τοῖς ἅπασι κέκλεισται ὁ χρόνος, [para]παροδεύσας καὶ συγκλείσας τὸν ἄκαρπον δρόμον τῶν ἀφρόνων· τὴν τότε ταραχὴν αὐτῶν ὑπογράφει καὶ τὸν θόρυβον σαφῶς τούτων ἐλέγχει· [para]ἀδύνατον γὰρ ἐζήτουν ὡς μὴ φρονοῦσαι, ὅθεν οὐκ ἔσχον τὸν ἄφθαρτον στέφανον.

book 13 Ὡς δὲ τοῦ δρόμου τὸ κενὸν ἐπέγνωσαν εἰς τέλος, ὑπέστρεψαν αἱ πέντε καὶ εὗρον τὸν νυμφῶνα ἀποκλεισθέντα τοῦ Χριστοῦ· [para]κράξασαι δὲ πᾶσαι ἐν φωνῇ ὀδυνηρᾷ καὶ στεναγμοῖς καὶ δάκρυσι· «Τῆς σῆς φιλανθρωπίας, ἀθάνατε, ἄνοιξον τὴν θύραν καὶ ἡμῖν ταῖς δουλευσάσαις τῷ κράτει σου ἐν τῇ παρθενίᾳ», τότε ὁ βασιλεὺς πρὸς ταύτας κραυγάζει· «Οὐκ ἀνοίγεται ὑμῖν ἡ βασιλεία· [para]οὐκ οἶδα ὑμᾶς· ὑπάγετε οὖν ἐκ μέσου·

book 13 οὐ γὰρ φορεῖτε τὸν ἄφθαρτον στέφανον.»

book 14 Μόνον δὲ ἤκουσαν Χριστοῦ τοῦ πάντων βασιλέως βοῶντος πρὸς τὰς πέντε· «Τίνες ἐστέ, οὐκ οἶδα», πληροῦνται πάσης ταραχῆς· [para]κλαύσασαι βοῶσι· «Δικαιότατε κριτά, ἁγνείαν ἐτηρήσαμεν· ἐγκράτειαν δὲ πᾶσαν ἠσκήσαμεν, μετὰ προθυμίας κατετάκημεν νηστείαις,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστέρξαμεν τὴν ἀκτημοσύνην· τὴν φλόγα τοῦ πυρὸς τῆς ἀκολασίας ἐνικήσαμεν ἡμεῖς καὶ τὰς ὀρέξεις· [para]ἄχραντον ἀεὶ μετήλθομεν πολιτείαν, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

book 15 Ἀλλὰ μετὰ τὰς ἀρετὰς καὶ χάριν παρθενίας καὶ τὸ καταπατῆσαι τὸ πῦρ τὸ τῆς λαγνείας καὶ φλόγα τὴν τῶν ἡδονῶν, [para]μετὰ πλείστους πόνους, ὅτε τῶν ἐν οὐρανοῖς τὸν βίον ἐζηλώσαμεν —καὶ γὰρ τῶν ἀσωμάτων ἐσπεύσαμεν ἔχειν πολιτείαν—, τὰ τοιαῦτα καὶ τοσαῦτα, ὡς ἔοικεν, ἄτιμα εὑρέθη· πολλῆς γὰρ ἀρετῆς ἐδείξαμεν πόνον, καὶ ματαία ἡ ἐλπὶς πᾶσα ἐδείχθη. [para]Τί οὖν προσποιεῖ τὴν ἄγνοιαν, ὁ παρέχων πᾶσιν οἷς θέλεις τὸν ἄφθαρτον στέφανον;

book 16 Νεῦσον, σωτήρ, καὶ ἐφ’ ἡμᾶς, μόνε δικαιοκρίτα, ἄνοιξόν σου τὴν θύραν· δέξαι εἰς τὸν νυμφῶνα τὰς σὰς παρθένους, λυτρωτά, [para]καὶ μὴ ἀποστρέψῃς τὸ σὸν πρόσωπον, Χριστέ, τῶν ἐπικαλουμένων σε, ἵνα μὴ στερηθῶμεν τῆς χάριτος σοῦ τῆς ἀθανάτου, μὴ γενώμεθα αἰσχύνη καὶ ὄνειδος ἐπὶ τῶν ἀγγέλων· μὴ μέχρις οὖν παντὸς ἡμᾶς παρεάσῃς τοῦ νυμφῶνός σου, Χριστέ, ἵστασθαι ἔξω· [para]πάρεξ γὰρ ἡμῶν οὐκ ἤσκησαν τὴν ἁγνείαν, αἷς καὶ παρέσχες τὸν ἄφθαρτον στέφανον.»

book 17 Οὕτως ἐρούσαις ταῖς μωραῖς πρὸς τὸν κριτὴν ἁπάντων, πρὸς ταύτας Χριστὸς ἔφη· «Πρόκειται νῦν ἡ κρίσις δικαία καὶ ἀληθινή· [para]τῆς φιλανθρωπίας ἀπεκλείσθη ὁ καιρός, οὐκ ἔστι νῦν συμπάθεια· οὐκέτι εὐσπλαγχνίας ἠνέῳκται θύρα τοῖς ἀνθρώποις, [para]ἐπειδήπερ μετανοίας οὐ δέδοται τόπος τοῖς ἐνταῦθα· οὐκέτι συμπαθὴς ὁ πρώην οἰκτίρμων, ἀλλ’ ἀπότομος κριτὴς ὁ ἐλεήμων· [para]ἄσπλαγχνοι ὑμεῖς ἐδείχθητε ἐν τῷ κόσμῳ·

book 17 πῶς οὖν ζητεῖτε τὸν ἄφθαρτον στέφανον;

book 18 Ὑμῖν οὖν λέγω φανερῶς ἐπὶ τῶν ἀρχαγγέλων καὶ πάντων τῶν ἁγίων ἃ πέπονθα ἐκ τούτων τῶν σὺν ἐμοὶ συνελθουσῶν· [para]εὗρόν με ἐν θλίψει καὶ πεινάσαντα σφοδρῶς, ἐσπούδασαν χορτάσαι με· διψήσαντα δὲ πάλιν ἐπότισαν πάσῃ προθυμίᾳ· ξενιτεύσαντα ἰδοῦσαι συνήγαγον ὥσπερ ἐγνωσμένον· δεσμοῖς κρατούμενον περιεποιοῦντο· ἐσκέψαντο δέ με καὶ ἀσθενοῦντα· [para]πᾶσαν ἀκριβῶς ἐφύλαξαν ἐντολήν μου·

book 18 ὅθεν καὶ εὗρον τὸν ἄφθαρτον στέφανον.

book 19 Τοιοῦτον οὖν οὐδὲν ὑμεῖς ἐδράσατε ἐν κόσμῳ, φυλάξασαι νηστείαν, ἀσκοῦσαι παρθενίαν καὶ τὴν ἐν λόγοις ἀρετήν· [para]ἄνευ τοίνυν ἔργων εὐσεβῶν καὶ ἐντελῶν εἰκῇ κεκοπιάκατε· τοὺς ξένους δεομένους παρείδετε καὶ τοὺς ἀσθενοῦντας, οὐδεμίαν τοῖς πεινῶσιν ὠρέξατε χεῖρα βοηθείας· ὑπόκρισις ὑμᾶς ἐξέθρεψε μόνη· ἐσεμνύνεσθε ἀεὶ τῇ ἀπηνείᾳ· [para]κρούουσι πτωχοῖς ὅλως οὐκ ἐβοηθεῖτε·

book 19 πῶς οὖν ζητεῖτε τὸν ἄφθαρτον στέφανον;

book 20 Ὅλως πρὸς οἶκτον ἑαυτὰς οὐκ ἠνέσχεσθε δοῦναι, γυμνοὺς καὶ προσηλύτους καὶ ξένους ὑπὸ σκέπην μὴ εἰσαγαγοῦσαί ποτε· [para]πρὸς τοὺς πικρῶς ὄντας ἐν δεσμοῖς καὶ φυλακαῖς τὴν ἀκοὴν ἐφράξατε· τοὺς 〈μὲν〉 ἐν ἀσθενείᾳ οὐκ εἴδατε· τοὺς δὲ ἐν πτωχείᾳ καὶ ἐνδείᾳ δεομένους οὐδ’ ἱλαρᾷ ὄψει ἑωρᾶτε, ἀλλ’ εἴχετε ἀεὶ τὴν ἀπανθρωπίαν καὶ παρῆν ὑμῖν ὀργὴ ἀντ’ εὐσπλαγχνίας· [para]πῶς οὖν οἱ ποτὲ τοιαῦτα ἐν βίῳ δρῶντες ἄρτι ζητεῖτε τὸν ἄφθαρτον στέφανον;

book 21 Ὑπερηφάνοις ὀφθαλμοῖς προσείχετε τοὺς πάντας, πτωχοὺς κατεφρονεῖτε· γεγόνατε τοῖς πᾶσιν ἀσυμπαθεῖς, ἀνηλεεῖς· [para]κατὰ τῶν πταιόντων ἐκινεῖσθε ἀφειδῶς αἱ καθ’ ἑκάστην πταίουσαι· κατὰ τῶν ὁμοφύλων ἀπάνθρωποι ὡς μὴ πλημμελοῦσαι ἐφρονεῖτε τὰ μεγάλα, κομπάζουσαι τοῖς κατωρθωμένοις· τοὺς μὴ νηστεύοντας ὡς ἀπερριμμένους, τοὺς ἐν γάμῳ βδελυκτοὺς εἴχετε πάλιν· [para]μόνας ἑαυτὰς ἡγεῖσθε ὥσπερ δικαίας, μήπω λαβοῦσαι τὸν ἄφθαρτον στέφανον.

book 22

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὴν μὲν νηστείαν εἴχετε μὴ θίγοντες βρωμάτων· τῇ δὲ πρὸς τοὺς ἀνθρώπους ἐχρῆσθε λοιδορίᾳ καὶ συκοφαντίαις ἀεί· [para]ἦν ὑμῖν ἁγνεία καὶ αὐτὴ οὐ καθαρά· τῷ ῥύπῳ γὰρ τῶν ῥήσεων 〈καὶ〉 ταύτην καθ' ἡμέραν ἐχραίνετε· τίς οὖν ὠφελία ἡ σεμνότης, εἰ μὴ ἔχει τὴν ἔννοιαν πᾶσαν σεμνοτάτην; Συμφέρει οὖν τινα ἐσθίειν καὶ πίνειν καὶ διάγειν συνετῶς ἤπερ νηστεύειν [para]καὶ μὴ ἐκ πάντων νηστεύειν τῶν βλαπτόντων·

book 22 πῶς γὰρ αἰτήσει τὸν ἄφθαρτον στέφανον;

book 23 Οὐκ οἰκοδομεῖταί ποτε νηστεία, εἰ μὴ ἔχει τὰ πάντα 〈ἐξελ〉 οὖσα ἐκ λογισμῶν ἀτόπων καὶ πράξεων τῶν χαλεπῶν, [para]οὐδὲ στερεοῦται ἡ ἐγκράτεια σαρκὶ ἐν ἀκρατεῖ διάγουσα. Ὑπάρχει γὰρ νηστείας θεμέλιος, καὶ ἐν ἀσφαλείᾳ δέον ταύτην καταθεῖναι, ὡς ἐρυμνὸν οἶκον ἀνεγεῖραι· Ὁ ἔλεος αὐτὴν λαμπρύνει μεγάλως καὶ εὐσέβεια αὐτὴν πάλιν πιαίνει· [para]αὗται οὖν αὐτὴν ὡς τείχη περιφρουροῦσι καὶ προξενοῦσι τὸν ἄφθαρτον στέφανον.

book 24 Τί οὖν ὠφέλησεν ὑμᾶς νηστεία καὶ ἁγνεία μετὰ ἀλαζονείας; Πραότητα ἠρνεῖσθε, θυμὸν ἐστέργετε ἀεί· [para]πρᾶος δὲ ὑπάρχων, ἐπεπόθουν τοὺς πραεῖς, διδοὺς αὐτοῖς τὴν ἄφεσιν· ἀρνοῦμαι τοὺς νηστείαν φυλάττοντας μετὰ ἀσπλαγχνίας, καὶ προσδέχομαι δὲ μᾶλλον τοὺς ἔσθοντας μετὰ εὐσπλαγχνίας· παρθένους δὲ μισῶ ὄντας ἀπανθρώπους, φιλανθρώπους δὲ τιμῶ γεγαμηκότας· [para]τίμιός ἐστιν ὁ γάμος ἐν σωφροσύνῃ, ὅθεν καὶ ἔχει τὸν ἄφθαρτον στέφανον.

book 25 Οὐ ξίφος ὤξυνα ἐγὼ πρὸς τοὺς ἡμαρτηκότας, ἀλλ' ἔσχον ἀεὶ βλέμμα πρᾶον πρὸς τοὺς ἀνθρώπους ὁ τῶν ἀνθρώπων ποιητής· [para]κλαύσασαν τὴν πόρνην ἐδεξάμην εὐμενῶς καὶ δέδωκα τὴν ἄφεσιν· στενάξαντα τελώνην ἠλέησα καὶ οὐκ ἀπωσάμην, ὅτι εἶδον τὴν βεβαίαν μετάνοιαν τούτῳ ἐνοικοῦσαν· πρὸς πάντας συμπαθὴς ἐδείχθην ὁ κτίστης, ἀρνησάμενον ἐμὲ ᾤκτειρα Πέτρον, [para]δάκρυσιν ἐγὼ συνέπαθον τοῖς ἐκείνου ὅτι ἐζήτει τὸν ἄφθαρτον στέφανον.

book 26 Περὶ δὲ τῶν συνελθουσῶν ἐμοὶ ἐν τῷ νυμφῶνι εἴπω ἐπὶ τοῦ πλήθους· ‘Ἐφύλαξαν σπουδαίως τὰς ἐντολάς μου ἐπὶ γῆς· [para]γέγοναν ταῖς χήραις ἀντιλήπτορες ἀεὶ καὶ ὀρφανοὺς ἠλέησαν· τοῖς ἐν στενοχωρίαις συνέπασχον καὶ τοῖς θλιβομένοις, καὶ οὐδέποτε τὴν θύραν ἀπέκλεισαν πένησιν ἢ ξένοις· ἰάτρευον ἀεὶ τοὺς ἐν ἀσθενείαις, οὓς ἡγήσασθε ὑμεῖς ἀπερριμμένους. [para]Οὐκ οἶδα ὑμᾶς· ἀρνοῦμαι τὰς ἀπανθρώπους, ταύταις δὲ δώσω τὸν ἄφθαρτον στέφανον.‘»

book 27 Ὁ τῶν ἀγγέλων δὲ χορὸς θαυμάζει ὑπακούων Χριστοῦ τοῦ βασιλέως ταῖς πέντε μαρτυροῦντος ταῖς εἰσελθούσαις σὺν αὐτῷ. [para]Ὢ τῆς παρρησίας τῶν ἁγίων τοῦ Χριστοῦ μεγίστου τε καυχήματος· ἐπὶ τοσούτων δήμων κομίζονται ψῆφον ἀφθαρσίας· ἐπὶ τούτων καὶ αἱ ἄλλαι ἀπόφασιν δέχονται ἐσχάτην καὶ κλαύσωσι πικρῶς ἀτέλεστον θρῆνον, ὅτι βλέπουσι χοροὺς τοὺς τῶν ἁγίων [para]ἔχοντας ἐκ 〈τοῦ〉 ἐλέου τὴν παρρησίαν, πάντας φοροῦντας τὸν ἄφθαρτον στέφανον.

book 28 Ἰδοὺ οὖν πρόδηλά εἰσι τὰ εἰς τὴν βασιλείαν καλοῦντα τοὺς ἀνθρώπους· σπεύσωμεν οὖν φυλάξαι τὰς ἐντολὰς τὰς τοῦ Χριστοῦ· [para]πρόκειται εἰς πρᾶσιν, ἂν θελήσωμεν λαβεῖν, ἐν ἀγοραῖς τὸ ἔλαιον· εἴσι δὲ οἱ πωλοῦντες οἱ χρῄζοντες ἐλεημοσύνην· καθ' ἑκάστην τὴν ἡμέραν πιπράσκουσι· τί οὖν ἀμελοῦμεν; Καὶ δύο γὰρ λεπτῶν λαμβάνομεν πάντως ὅσον λάβῃ τις διδοὺς χρήματα πλεῖστα· [para]μέτρα γὰρ ἡμῶν ἐτάζει ὁ πάντων κτίστης, οὕτως παρέχων τὸν ἄφθαρτον 〈στέφανον〉.

book 29 Ἡ ἐντολὴ ἡ τοῦ Θεοῦ βαρεῖα οὐχ ὑπάρχει· οὐδὲ γὰρ παραγγέλλει δοῦναι ὃ οὐκ ἰσχύεις, ἀλλὰ προαίρεσιν ζητεῖ· [para]δύο μόνον ἔχεις ὀβολοὺς ἐπὶ τῆς γῆς; Οὐδὲν δὲ ἄλλο κέκτησαι; Τούτους ὁ πανοικτίρμων προσδέχεται πάντως ὡς δεσπότης, καὶ προτίμησίν σοι δώσει τοῦ χρήματα πλεῖστα δεδωκότος. Οὐκ ἔχεις ὀβολὸν ἵνα προσενέγκῃς· Δὸς ποτήριον ψυχροῦ τῷ δεομένῳ· [para]δέχεται αὐτὸ Χριστὸς μετ' εὐχαριστίας, πάντως διδούς σοι τὸν ἄφθαρτον στέφανον.

book 30 Μικρὰ λαμβάνων ὁ σωτὴρ μεγάλα ἀντιδώσει· ἀντὶ γὰρ τῶν προσκαίρων ἀπόλαυσιν δωρεῖται τῶν αἰωνίων ἀγαθῶν. [para]Δὸς βραχύ τι ἄρτου καὶ λαμβάνεις ἀντ’ αὐτοῦ τὸν τῆς τρυφῆς παράδεισον· οὐ βλάψει ςε ἡ πενία, οὐκ ἔνδεια, ἐὰν ὑπομείνῃς, οὐδὲ γὰρ λογοθεσίῳ ὑπόκεισαι· μὴ ζήτει ἐντεῦθεν· ὁ γὰρ ἐλάχιστος συγγνώμην λαμβάνει, δυνατοὶ δὲ δυνατῶς λογοθετοῦνται· [para]εὐγνώμων γενοῦ, ἵν’ εὕρῃς τὴν βασιλείαν καὶ 〈ἵνα〉 λάβῃς τὸν ἄφθαρτον στέφανον.

book 31 Ἄνες μοι, ἄνες μοι, σωτήρ, τῷ κατακεκριμένῳ παρὰ πάντας ἀνθρώπους· οὐ πράττω γὰρ ἃ λέγω καὶ συμβουλεύω τοῖς λαοῖς, ὅθεν σοι προσπίπτω· δὸς κατάνυξιν, σωτήρ, κἀμοὶ καὶ τοῖς ἀκούουσιν, ἵνα τὰς ἐντολάς σου φυλάξωμεν πάσας ἐν τῷ βίῳ καὶ μὴ μείνωμεν θρηνοῦντες καὶ κράζοντες ἔξω τοῦ νυμφῶνος· ἐλέησον ἡμᾶς τῇ σῇ εὐσπλαγχνίᾳ, ὁ βουλόμενος ἀεὶ πάντας σωθῆναι· [para]κάλεσον ἡμᾶς, σῶτερ, εἰς τὴν βασιλείαν, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

book pro 1 Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς ἐποχούμενος, Χριστὲ ὁ Θεός, [para]καὶ τῶν ἀγγέλων τὴν αἴνεσιν καὶ τῶν παίδων ἀνύμνησιν [para]προσεδέχου βοώντων σοι· «Εὐλογημένος εἶ [para]ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book pro 2 Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον [para]οἱ ἀγνώμονες Χριστὸν Ἰουδαῖοι τὸν Θεόν· [para]ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ ἀεὶ τιμῶντες ὡς εὐεργέτην [para]βοήσωμεν αὐτῷ· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 1 Ἐπειδὴ Ἅιδην ἔδησας καὶ θάνατον ἐνέκρωσας [para]καὶ κόσμον ἀνέστησας, βαΐοις τὰ νήπια [para]ἀνευφήμουν σε, Χριστέ, ὡς νικητήν, κραυγάζοντά σοι σήμερον· «‘Ὡσαννὰ τῷ υἱῷ Δαυίδ. Οὐκέτι γάρ, φησίν, σφαγήσονται βρέφη διὰ τὸ βρέφος Μαριάμ, [para]ἀλλ’ ὑπὲρ πάντων νηπίων καὶ πρεσβύτων μόνος σταυροῦσαι· οὐκέτι καθ’ ἡμῶν χωρήσει τὸ ξίφος· [para]ἡ σὴ γὰρ πλευρὰ νυγήσεται λόγχῃ, [para]ὅθεν ἀγαλλόμενοι φαμέν· ‘Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.‘»

book 2 Ἰδοὺ ὁ βασιλεὺς ἡμῶν ὁ πρᾶος καὶ ἡσύχιος, [para]τῷ πώλῳ καθήμενος, σπουδῇ παραγίνεται [para]ἐπὶ τὸ παθεῖν καὶ τὰ πάθη τεμεῖν, ὁ Λόγος ἐπὶ ἄλογον λογικοὺς θέλων ῥύσασθαι· καὶ ἦν θεάσασθαι τοῖς νώτοις τοῦ πώλου τὸν ἐπὶ ὤμων Χερουβίμ, [para]τόν ποτε Ἠλίαν ἐν ἅρματι πυρίνῳ ἀναλαβόντα, πτωχεύοντα βουλῇ τὸν πλούσιον φύσει [para]καὶ γνώμῃ ἀσθενῆ τὸν ἐνδυναμοῦντα [para]πάντας τοὺς κραυγάζοντας αὐτῷ· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 3 Σιὼν ἐσείσθη ἅπασα καθώς ποτε ἡ Αἴγυπτος· [para]ἐκεῖ μὲν τὰ ἄψυχα, ἐνταῦθα δὲ ἔμψυχοι [para]ἐσαλεύθησαν μολοῦντός σου, σωτήρ, οὐχ ὅτι ταραχώδης εἶ —φυτουργὸς γὰρ εἰρήνης εἶ —, ἀλλ’ ὅτι ἅπασαν ἐχθροῦ μαγγανείαν λύεις ὡς πάντων ποιητής, [para]πανταχόθεν τοῦτον ἐλαύνων ὡς παντὸς τόπου βασιλεύων. Τὰ εἴδωλα αὐτῶν κατέπεσαν πάλαι, [para]καὶ νῦν οἱ τὰ αὐτῶν φρονοῦντες δονοῦνται [para]τῶν βρεφῶν ἀκούοντες φωνάς· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 4 «Τίς ἐστιν οὗτος;» ἔλεγον οἱ γνώμῃ ἀγνοοῦντές σε· [para]φησὶ γάρ, οὐκ ᾔδεισαν τίς ἦν ὁ υἱὸς Δαυὶδ [para]ὁ ῥυσάμενος αὐτοὺς ἐκ τῆς φθορᾶς. Ἀκμὴν λύουσι Λάζαρον, καὶ οὐκ οἶδαν τίς ἤγειρεν· ἀκμὴν δὲ πάσχουσι τοὺς ὤμους οἱ τότε βαστάσαντες χήρας υἱόν, [para]καὶ δῆθεν ἠγνόουν τίς ἐστιν ὁ ἁρπάσας αὐτὸν θανάτου· Ἰαείρου τὴν αὐλὴν οὐδέπω ἐξῆλθον, [para]καὶ τίς ὁ τὴν αὐτοῦ ζωώσας οὐκ οἶδαν· [para]οἶδαν, ἀλλ’ οὐ θέλουσιν εἰπεῖν· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 5 Ἀγνωμονοῦντες ἄνομοι τὴν ἄγνοιαν ἠσπάσαντο, [para]καὶ δῆθεν ἠγνόησαν ὃν κτεῖναι ἐσκέπτοντο· [para]οὐκ ἠπίσταντο οἱ τοῦ ψεύδους υἱοί. Οὐ ξένον ὅπερ λέγουσιν· τὰ γὰρ πρῶτα καινίζουσιν· Μωσῆς ἐξαγαγὼν αὐτοὺς ἐξ Αἰγύπτου εὐθὺς ἠρνήθη ὑπ’ αὐτῶν, [para]καὶ Χριστὸς

ὁ σώσας αὐτοὺς ἐκ τοῦ θανάτου νῦν ἠγνοήθη· ἠγνόησαν Μωσῆν οἱ γνόντες τὸν μόσχον, [para]ἠρνήσαντο Χριστὸν οἱ φίλοι Βελίαρ· [para]τότε μέν· «Τί γέγονε;», νῦν δέ· «Τίς ἐστιν, ἔλεγον, ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι;»

book 6 Βαΐοις βρέφη ὕμνουν σε υἱὸν Δαυὶδ καλοῦντές σε, [para]εἰκότως, ὦ δέσποτα· καὶ σὺ γὰρ ἀπέκτεινας [para]τὸν ὀνειδιστὴν νοητὸν Γολιάθ· ἐκεῖνον αἱ χορεύουσαι μετὰ νίκην εὐφήμησαν· «Ἀπέκτεινε Σαοὺλ ἐν ταῖς χιλιάσι καὶ μυριάσιν ὁ Δαυίδ.» [para]Ὅ ἐστιν ὁ νόμος καὶ μετ' αὐτὸν ἡ χάρις σου, Ἰησοῦ μου· ὁ νόμος ἦν Σαοὺλ φθονῶν καὶ διώκων, [para]Δαυὶδ δὲ διωχθεὶς τὴν χάριν βλαστάνει· [para]σὺ γὰρ εἶ ὁ κύριος Δαυίδ· εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 7 Ἅρμα φωτὸς ὁ ἥλιος, καὶ οὗτός σοι δεδούλωται· [para]φαιδρὸς μὲν εἰς ὄχημα, καὶ οὗτος ὑπόκειται [para]τῇ κελεύσει σου ὡς πλάστου καὶ Θεοῦ· καὶ πῶλός σε νῦν ἔτερψε· προσκυνῶ σου τὸ εὔσπλαγχνον· ποτὲ γὰρ δι' ἐμὲ ἐτέθης ἐν φάτνῃ ἐν τοῖς σπαργάνοις εἰληθείς, [para]καὶ νῦν τῷ πώλῳ ἐπέβης, οὐρανὸν θρόνον κεκτημένος· οἱ ἄγγελοι ἐκεῖ τὴν φάτνην ἐκύκλουν, [para]ἐνταῦθα μαθηταὶ τὸν πῶλον συνεῖχον· [para]«Δόξα» τότε ἤκουες, καὶ νῦν· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 8 Ἰσχὺν τὴν σὴν ἐνδείκνυσαι τὰ εὐτελῆ αἱρούμενος· [para]πτωχείας γὰρ εἶδος ἦν ἐν πώλῳ καθίσαι σε, [para]ἀλλ' ὡς ἔνδοξος σαλεύεις τὴν Σιών· εὐτέλειαν ἐσήμαινε μαθητῶν τὰ ἱμάτια, ἀλλ' ἦν τοῦ κράτους σου ὁ ὕμνος τῶν παίδων καὶ ἡ τοῦ ὄχλου συνδρομὴ [para]«Ὡσαννά, κραζόντων —ὅ ἐστι· σῶσον δή—, ὁ ἐν τοῖς ὑψίστοις, σῶσον ὁ ὑψηλὸς τοὺς ταπεινωθέντας, [para]ἐλέησον ἡμᾶς τοῖς κλάδοις προσέχων· [para]κλῶνες οἱ δονούμενοι κινήσουσι τὰ σπλάγχνα σου, ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 9 Ἀδὰμ ἡμῖν ἐποίησε τὸ χρέος ὃ ὀφείλομεν, [para]φαγὼν ὃ οὐκ ὤφειλε, καὶ μέχρι τῆς σήμερον [para]ἀπαιτούμεθα ἀντ' αὐτοῦ οἱ αὐτοῦ· οὐκ ἤρκεσε τῷ χρήσαντι ἔχειν τὸν χρεωστήσαντα, ἀλλὰ καὶ τοῖς αὐτοῦ ἐφίσταται τέκνοις πατρῷον χρέος ἀπαιτῶν [para]καὶ κενοῖ τὸν οἶκον ἁπλῶς τοῦ ὀφειλέτου, πάντας ἐκσύρων. Διὸ ὡς δυνατῷ προσφεύγομεν πάντες· [para]εἰδὼς ὅτι ἡμεῖς πτωχεύομεν σφόδρα, [para]σὺ αὐτὸς ὡς πλούσιος ἀπόδος ἃ ὀφείλομεν, ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 10 Ῥύσασθαι πάντας ἤλυθας, καὶ μάρτυς ὁ προφήτης σου [para]ὁ οὕτως καλέσας σε πραότατον, δίκαιον [para]καὶ σῴζοντα Ζαχαρίας ποτέ. Ἐκάμομεν, ἡττήθημεν, πάντοθεν ἐξεβλήθημεν· τὸν νόμον λυτρωτὴν ἐδόξαμεν ἔχειν, καὶ κατεδούλωσεν ἡμᾶς· [para]τοὺς προφήτας πάλιν, καὶ οὗτοι ἐπ' ἐλπίδι ἡμᾶς ἀφῆκαν· διὸ μετὰ βρεφῶν σὲ γονυπετοῦμεν· [para]ἐλέησον ἡμᾶς τοὺς ταπεινωθέντας, [para]θέλησον, σταυρώθητι καὶ σχίσον τὸ χειρόγραφον, ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 11 —Ὦ πλάσμα τῆς παλάμης μου», ὁ πλάστης ἀπεκρίνατο [para]τοῖς ταῦτα κραυγάζουσιν, «εἰδὼς ὡς οὐκ ἴσχυσε [para]νόμος σῶσαί σε ἐλήλυθα ἐγώ· οὐκ ἦν τοῦ νόμου σῶσαί σε ἐπειδήπερ οὐκ ἔπλασεν, ἀλλ' οὔτε προφητῶν, διότι καὶ οὗτοι πλάσμα ἐμὸν ὥσπερ καὶ σύ· [para]ἐμοὶ μόνῳ πρέπει τοῦ λῦσαί σε τοῦ χρέους τοῦ βαρυτάτου· πωλοῦμαι ὑπὲρ σοῦ καὶ ἐλευθερῶ σε, [para]σταυροῦμαι διὰ σὲ καὶ σὺ οὐ νεκροῦσαι· [para]θνήσκω καὶ διδάσκω σε βοᾶν· Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 12 Μὴ γὰρ ἀγγέλους ἔστερξα; Σὲ τὸν πτωχὸν ἐφίλησα, [para]τὴν δόξαν μου ἔκρυψα καὶ πένης ὁ πλούσιος [para]ἑκὼν γέγονα· πολὺ γάρ σε ποθῶ. Ἐπείνασα, ἐδίψησα διὰ σὲ καὶ ἐμόχθησα· ἐν ὄρεσι, κρημνοῖς καὶ νάπαις διῆλθον σὲ τὸν πλανώμενον ζητῶν· [para]ἀμνὸς ὠνομάσθην ἵν' ὅπως τῇ φωνῇ μου σε θέλξας ἄξω, ποιμήν, καὶ διὰ σὲ ψυχὴν θέλω θεῖναι [para]ἵνα σε τῆς

χειρὸς τοῦ λύκου ἁρπάσω· [para]πάντα πάσχω θέλων σε βοᾶν· Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 13 Ἀλλὰ μετὰ τὰ ῥήματα ἐνδείκνυται τὰ πράγματα· [para]τὴν πόλιν γὰρ ἔφθασε καὶ πάντας ἠρέθιζε [para]τοὺς ἐχθροὺς αὐτοῦ ὁ ὕμνος τῶν παίδων. Ἐπάρας δὲ τὰ ὄμματα, τῇ Σιὼν ἐνητένιζε καὶ θρῆνον ἐπ' αὐτῇ ὑφάνας ἐβόα· «Στέναξον, Ἱερουσαλήμ, [para]ὅτι εὗρες παῖδας πατέρων διδασκάλους τοὺς ὑϊούς σου· νεάζεις τῷ κακῷ καὶ τῇ πονηρίᾳ [para]καὶ πρὸς τὸ ἀγαθὸν τῷ γήρᾳ βαρύνει· [para]κρείττους σου οἱ κράζοντες ἐμοί· Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

book 14 Νῦν δὲ ἐν σοὶ ἐλεύσομαι καὶ ῥίψας σε ἀπώσομαι, [para]οὐχ ὅτι ἐμίσησα, ἀλλ' ὅτι μισήσασαν [para]σὲ κατέλαβον ἐμὲ καὶ τοὺς ἐμούς· σταυρόν μοι ἐτεκτόνευσαν ἀντὶ τίνος τὰ τέκνα σου; Ἀνθ' ὧν τὴν θάλασσαν καθάπερ χιτῶνα ἔρρηξα ῥάβδῳ πρὸ αὐτῶν; [para]Λατομοῦσι τάφον ἀνθ' ὧν αὐτοῖς παρέσχον σκέπην νεφέλην; Καὶ χαίρω ἐπειδὴ αὐτῶν χάριν ἦλθον, [para]καὶ στέργω τοῦ παθεῖν ποθῶν τὸν πεσόντα, [para]ἵνα οἱ ποθοῦντές με φασίν· Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 15 Οὕτω τὴν νωθροκάρδιον ὁ βλέπων τὰ ἐγκάρδια [para]ἐλέγξας, εἰσέρχεται σὺν πᾶσι τοῖς βρέφεσι [para]ἐν τῷ ἱερῷ ὡς ἱερεὺς τοῦ παντός· ἐν οἴκῳ τοῦ πατρὸς αὐτοῦ ὁ υἱὸς παρεγένετο καὶ ἔξω ἔβαλεν ὁμοῦ τοὺς πωλοῦντας καὶ ἀγοράζοντας, εἰπών· [para]«Μηδὲν μεινάτω ἐνταῦθα, μεταβαίνομεν γὰρ ἐντεῦθεν ἐγὼ καὶ ὁ πατὴρ ὁμοῦ καὶ τὸ πνεῦμα· [para]νῦν εὕραμεν αὐλὴν τῶν πράων τὴν γνώμην [para]τῶν πιστῶς κραζόντων μοι φωναῖς· Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book 16 Υἱὲ Θεοῦ πανάγιε, μετὰ τῶν ὑμνησάντων σε [para]ἡμᾶς συναρίθμησον καὶ δέξαι τὴν δέησιν [para]τῶν οἰκέτων σου ὡς τῶν παίδων ποτέ· ἐλέησον οὓς ἔπλασας, οὓς φιλῶν ἐπεδήμησας· εἰρήνην δώρησαι ταῖς σαῖς ἐκκλησίαις σαλευομέναις ὑπ' ἐχθρῶν, [para]καὶ ἐμοὶ τὴν λύσιν κατάπεμψον, σωτήρ, τῶν ἁμαρτιῶν μου· παράσχου μοι λαλεῖν ἃ θέλεις ὡς θέλεις· [para]μὴ νωθρόν μου τὸν νοῦν ἡ λύπη ποιήσῃ· [para]δεῖξόν με καλλίεργον βοᾶν· «Εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.»

book pro 1 Πάτερ ἐπουράνιε, φιλόστοργε, φιλάνθρωπε, [para]ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book pro 2 Δεσπότου χερσὶ πόδας νιπτόμενος Ἰούδας ὡς κλέπτης κρυφῇ γλῶσσαν ἠκόνησε δολίαν ὁ παράνομος, Χριστὲ ὁ Θεός· [para]ἀλλὰ τοιαύτης ἀπανθρωπίας λύτρωσαι τοὺς ἐν τῷ οἴκῳ τῆς Θεοτόκου ψάλλοντας· «Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.»

book 1 Τίς ἀκούσας οὐκ ἐνάρκησεν ἢ τίς θεωρήσας οὐκ ἐτρόμασε [para]τὸν Ἰησοῦν δόλῳ φιλούμενον, [para]τὸν Χριστὸν φθόνῳ πωλούμενον, τὸν Θεὸν γνώμῃ κρατούμενον; Ποία γῆ ἤνεγκε τὸ τόλμημα; Ποία δὲ θάλασσα ὑπέμεινεν ὁρῶσα τὸ ἀνοσιούργημα; Πῶς οὐρανὸς ὑπέστη, πῶς δὲ αἰθὴρ συνέστη, πῶς καὶ ὁ κόσμος ἔστη [para]συμφωνουμένου, πωλουμένου τότε, προδιδομένου τοῦ κριτοῦ; Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 2 Ὅτε δόλον ἐμελέτησεν, ὅτε σοι τὸν φόνον κατεσκεύασεν [para]ὁ φιληθεὶς καὶ ἀθετήσας σε, [para]ὁ κληθεὶς καὶ καταλείψας σε, ὁ στεφθεὶς καὶ ἐνυβρίσας σε, τότε σύ, εὔσπλαγχνε, μακρόθυμε, δεῖξαι τῷ φονευτῇ βουλόμενος τὴν ἄφατον φιλανθρωπίαν σου, ἔπλησας τὸν νιπτῆρα, ἔκλινας τὸν αὐχένα, γέγονας δοῦλος δούλων· [para]καὶ ἐπεδίδου σοι Ἰούδας πόδας ἵν' ἀποπλύνῃς, λυτρωτά. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 3 Ὕδασι πόδας ἀπέπλυνας τοὺς δραμόντας εἰς τὴν προδοσίαν σου, [para]καὶ μυστικῇ βρώσει ἐξέθρεψας [para]τὸν ἐχθρὸν τῆς εὐσπλαγχνίας σου καὶ γυμνὸν τῆς εὐλογίας σου· ὕψωσας τὸν πτωχὸν χαρίσμασιν, ηὔξησας τὸν οἰκτρὸν δωρήμασιν, ἐπλούτισας καὶ ἐμακάρισας· ὑποταγὴν δαιμόνων, ἀπαλλαγὴν δὲ πόνων εἶχεν ἐπὶ τῆς γλώττης, [para]καὶ ἀντὶ τούτων πάντων διεσχίσθη καὶ οὐ κατενύγη ὁ φονεύς. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 4 Τίς εἶδε πόδας νιπτόμενον καὶ λακτίζειν ἤδη ἐπειγόμενον; [para]Τίς ἤκουσε κτῆνος θαλπόμενον [para]καὶ βαλεῖν κατεπειγόμενον τὸν αὐτῷ ἐπικαθήμενον; Ἔλουεν, ἔτρεφεν ὁ Κύριος· ἔτρεχεν, ἔβρυχεν ὁ δόλιος ὡς μονιὸς ἀνημερώτατος· πεπληρωμένης φάτνης, ὁ ἀπηνὴς ἐξαίφνης φεύγει τὸν κεκτημένον [para]καὶ ὑποτίθησι τὸν νῶτον ὄντως ἵν’ ἐπιβῇ ὁ Σατανᾶς. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 5 Ἄδικε, ἄστοργε, ἄσπονδε, πειρατά, προδότα, πολυμήχανε, [para]τί γέγονεν, ὅτι ἠθέτησας; [para]Τί ἰδὼν οὕτως ἠφρόνησας; Τί παθὼν οὕτως ἐμίσησας; Οὐκ αὐτοῦ φίλον σε ὠνόμασεν; Οὐκ αὐτὸς ἀδελφόν σε κέκληκε, καίτοι εἰδὼς ὅτι δεδόλωσαι; Τὸ τῶν χρημάτων λῆμμα τὸ ἐν τῷ γλωσσοκόμῳ δέδωκε τῇ σῇ πίστει, [para]καὶ ἀσυνείδητος ἐν τούτοις πᾶσιν ἐφάνης ἄφνω πρὸς αὐτόν. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 6 Πέτρος τότε παρῃτήσατο, ὅτε ὁ μονογενὴς παρίστατο [para]νιπτοποδεῖν κατεπειγόμενος, [para]καί φησι· «Κύριε, κύριε, οὐ μὴ σὺ νίψῃς τοὺς πόδας μου.» Ὁ νιπτὴρ ἔκειτο καὶ ἐπέπληστο, ὁ σωτὴρ ἵστατο καὶ ἔζωστο ὁ λυτρωτὴς ὡς ἀργυρώνητος· αἱ τῶν ἀγγέλων τάξεις ἄνωθεν κατιδοῦσαι ἔκραζον θαμβηθεῖσαι, [para]καὶ ὁ ἀναίσχυντος οὐκ ἐνετράπη, ἀλλ’ ἐξετράπη κατ’ αὐτοῦ. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 7 Ἵσταντο φόβῳ οἱ πύρινοι καὶ ἐξίσταντο χοροὶ ἀόρατοι [para]ὁρῶντες τὸν ἀπερινόητον [para]γνωμικῶς κατακαμπτόμενον καὶ πηλῷ διακονούμενον. Γαβριὴλ ἔλεγε πτοούμενος· «Ἅγιοι ἄγγελοι, συνόμιλοι, κατίδετε καὶ καταπλάγητε· τείνει τὸν πόδα Πέτρος καὶ ὁ ἐκ παρθένου μήτρας δέχεται καὶ ἀποπλύνει· [para]καὶ οὐ τὸν Πέτρον μόνον νίπτει, ἀλλὰ καὶ τὸν Ἰούδαν μετ’ αὐτοῦ. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 8 Νίπτει τὴν πλίνθον ἡ θάλασσα, ἀποπλύνει τὴν πηλὸν ἡ ἄβυσσος [para]καὶ οὐκ ἀναιρεῖ τούτου τὴν σύστασιν [para]ἀλλὰ σφίγγει τὴν ὑπόστασιν καὶ ἀποσμήχει τὴν προαίρεσιν. Βλέπετε πόση τοῦ ποιήσαντος, ἴδετε ποταπὴ τοῦ πλάσαντος διάθεσις περὶ τὰ πλάσματα· κέκλινται καὶ εἱστήκει, τρέφονται καὶ παρέχει, νίπτονται καὶ ἀποσμήχει, [para]καὶ οὐ χωνεύονται γηΐνων πόδες ἐν ταῖς παλάμαις τοῦ πυρός. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.»

book 9 Οὕτω μὲν ἔφη ὁ ἄγγελος, ὅτε καὶ κατεῖδέν σε τὴν ἄμπελον [para]τὰ ἑαυτῆς κλήματα τρέφουσαν [para]καὶ εἰς γῆν πᾶσαν ἐκτείνουσαν καὶ εἰς ὕψος ἐπανάγουσαν· Πέτρος δέ, ἡ ἀρχὴ τῶν φίλων σου, ὁ κανὼν τῶν ἀκολουθούντων σοι, ὁ στρατηγὸς τῆς φαμιλίας σου, ἰδών σε ἐζωσμένον, ἔλεγεν ἀδημονῶν· «Σύ μου τοὺς πόδας νίπτεις; [para]Οὐ μή μου νίψῃς πόδας εἰς αἰῶνας, ἡ χεὶρ ἡ πλάσασα ἐμέ. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 10 Ὕπνος μοι ἔλθοι εἰς θάνατον ἐάν σε ἐάσω τὸν ἀθάνατον [para]καμφθῆναί μοι τῷ ὑπὸ θάνατον· [para]ὁ ἐχθρὸς ἐπιγελάσοι μοι ἐὰν σὺ τοῦτο τελέσῃς μοι. Οὐκ ἀρκεῖ ὅτι σὸς νενόμισμαι; Οὐ πολὺ ὅτι σοὶ λελόγισμαι καὶ πρῶτος τῶν φίλων σου κέκλημαι, ἀλλὰ καὶ πλύνεις πόδας τοῦ ὀστρακίνου σκεύους ὁ κεραμεὺς τοῦ κόσμου, [para]καὶ τὰ φθαρτά μου σκέλη καὶ τὰ ἴχνη σὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέλεις πλῦναι, λυτρωτά; Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.»

book 11 Ῥήμασι τούτοις χρησάμενος ὁ ἀπόστολος πρὸς τὸν διδάσκαλον· [para]«Ἐὰν μὴ νῦν νίψω σε, ἤκουσε, [para]μετ' ἐμοῦ μέρος οὐ δώσω σοι, ἀλλ' ἐχθρὸν ἀποκαλέσομαι.» Τοῦτο δὲ λέξαντος τοῦ πλάσαντος, φόβος καὶ θόρυβος ἐπέπεσε τῷ μαθητῇ, ὅθεν καὶ ἔφησε· «Κύριέ μου, εἰ πλύνεις, μή μου τοὺς πόδας μόνον, ἀλλὰ καὶ δέμας ὅλον· [para]καὶ ἐπὶ πλεῖον πλῦνόν με, εἰ θέλεις, ἵνα τῶν σῶν μὴ στερηθῶ. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.»

book 12 Ὢ πόσοις πόσα συνήπτετο καὶ Ἰούδας φίλος οὐκ ἐγίνετο. [para]Ὢ ποταποὶ λόγοι καὶ πράγματα [para]καὶ ὁ ἐχθρὸς οὐ κατηλλάσσετο, ὁ σκληρὸς οὐκ ἡπαλύνετο· ἅμα γὰρ τῷ φαγεῖν ὃ ἔφαγεν καὶ πιεῖν ὃ πιστῶς οὐκ ἔπιεν, ἐπῆρε τὴν πτέρναν, ὡς γέγραπται, καὶ ἐξελθὼν τῆς μάνδρας ὥρμησε πρὸς τοὺς θῆρας, καταλιπὼν τοὺς ἄρνας [para]καὶ τὸν γλυκύτατον μασθὸν ἐάσας ἦλθεν ἐπὶ θηλὴν πικράν. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 13 Μάτην πρώην ὑπεχώρησε τὸν δεινὸν Ἰούδαν ὁ διάβολος· [para]ἰδοὺ γὰρ νῦν οὗτος ἐχώρησε [para]πρὸς τὸν πρὶν ὑποχωρήσαντα καὶ ἔστιν ὅλως διάβολος. Μάτην ἦν φοβερὸς τοῖς πάθεσιν· ὤφθη γὰρ φθονερὸς ἐν ἅπασι καὶ τολμηρὸς κατὰ τοῦ πλάσαντος· μάτην αὐτοῦ λαλοῦντος ἔφευγον πᾶσαι νόσοι· εἶχε γὰρ ἤδη νόσον [para]τῆς ἀθεΐας καὶ φιλαργυρίας· ἐντὸς αὐτοῦ ἦν ἡ πληγή. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 14 Ἄρας τοὺς πόδας ὁ ἄνομος ηὐτομόλησε πρὸς τὸ παράνομον [para]καὶ φατριὰν φθάσας φονεύτριαν, τὸν Χριστὸν ὥσπερ ἀλλότριον παραδούς, γίνεται μέτριος. «Τί ἐμοὶ θέλετε δωρήσασθαι;» λέγει τοῖς θέλουσιν ὠνήσασθαι τὸ αἷμα τοῦ ζῶντος καὶ μένοντος. Ἄκουσον, γῆ, καὶ φρῖξον· θάλασσα, φεύγειν σπεῦσον· φόνος γὰρ συμφωνεῖται, [para]τοῦ ἀτιμήτου τίμημα λαλεῖται καὶ ζωοδότου ἡ σφαγή. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 15 Νῦν σου ἐφάνη τὸ ἄπληστον, νῦν ἐφανερώθη τὸ ἀκόρεστον, [para]ἀχόρταστε, ἄσωτε, ἄσπονδε, [para]ἀναιδέστατε καὶ λαίμαργε, ἀσυνείδητε, φιλάργυρε. «Τί ἐμοὶ θέλετε δωρήσασθαι;» λέγεις τοῖς θέλουσιν ὠνήσασθαι τὸ αἷμα τοῦ ζῶντος καὶ μένοντος· τί γὰρ καλὸν οὐκ εἶχες; τίνος δὲ οὐ μετεῖχες; τίνος ποτὲ ἀπεῖχες; [para]Μετὰ τῶν κάτω καὶ τὰ ἄνω εἶχες καὶ τὸν Θεόν σου προδιδεῖς; Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 16 Ὅλον τὸν πλοῦτον ἐβάσταζες, θησαυρὸς ὑπῆρχες ἀδαπάνητος· [para]πάντοθεν ἦς πάντοτε πλούσιος, [para]ἐν χερσὶν ἔχων τὰ χρήματα καὶ φρεσὶ φέρων τὸν πλάσαντα. Τί οὖν σοι γέγονεν, ὦ ἄθλιε, ὅτι νῦν ὡς πτωχὸς πεπόρευσαι πρὸς τοὺς οὐδὲν ἔχοντας δοῦναί σοι; Τί γὰρ καὶ δώσουσί σοι, τί προσενέγκωσί σοι ἀντὶ τοῦ πωλουμένου; [para]Τὸν οὐρανόν τε καὶ τὴν γῆν ἢ πάντα τὸν κόσμον αὐτὸν ἀντ' αὐτοῦ; Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 17 Ὕπαγε, ἄφρον, ἀνάνηψον, τὴν αὐθάδειάν σου ἀναχαίτισον, [para]τὴν τολμηρὰν γνώμην σου κώλυσον, [para]ταῖς φρεσί σου ἐπιτίμησον καί, μωροί, ποτὲ φρονήσατε· οὔτε γὰρ δύνασαι τιμήσασθαι οὔτ' αὐτοὶ ἱκανοὶ ὠνήσασθαι τὸν τῇ χειρὶ πάντα συνέχοντα. Ἐὰν δὲ καὶ πωλήσῃς καὶ μὴ αὐτὸς θελήσῃ, τίς ὁ τολμῶν κρατῆσαι; [para]Τίς ἐπενέγκῃ τούτῳ χεῖρας, ἐὰν μὴ συγχωρήσῃ ὡς Θεός; Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 18 Πένης Ἠλίας ἐτύγχανε καὶ ὡς εὔπορος πυρὶ ἀνάλωσε [para]τοὺς ἐπ' αὐτὸν τότε ὁρμήσαντας, [para]πεντηκόνταρχον καὶ ἕτερον, τοὺς αὐτῷ καταθαρρήσαντας· Ἠλιοὺ γέγονεν ἀκράτητος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Θεὸς Ἠλιοῦ καὶ κύριος τῷ ἀναιδεῖ εὐκαταφρόνητος. Ὢ τῆς παραπληξίας· δοῦλος ἦν ὁ Ἠλίας τοῦ νῦν πιπρασκομένου [para]καὶ οὐδ’ ὡς προφήτην ὁ προδότης ἔσχε τὸν ποιητὴν τῶν προφητῶν. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 19 Οὕτως δέ, ἄφρον, ἐμέθυες αὐθαδείᾳ σου καὶ οὐκ ἐνόησας [para]τὸν ὑπὸ σοῦ γνώμῃ πωλούμενον, κἂν τὰ σύμφωνα γνωρίσῃ σοι τίς ἐστιν ὁ συμφωνούμενος· Ἔλαβες χρύσινα τριάκοντα· ψήφισον, Ἰούδα, καὶ νόησον τίς προφητῶν οὕτω πεπώληται· ὁ Ἰωσὴφ ἐκεῖνος τοῦ Ἰησοῦ ἦν τύπος οὗ τὴν τιμὴν λαμβάνεις, [para]καὶ δι’ αὐτῆς καταλαμβάνεις Ἅιδην τὸν βρόχον ἔχων ἀγχόνην. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 20 Ἵλεως, ἵλεως, ἵλεως· ποταπὸν ὁ μαθητὴς ὠλίσθησε [para]καὶ ποταποῦ ὕψους ἀπέτυχε· [para]ποταπὸν πτῶμα κατέπεσε, ποταπὸν κτύπον ἐποίησε. Πρώην μὲν ἔπεσε διάβολος ἀστραπὴν δείξας τὴν κατάπτωσιν· αὐτὸν καὶ Ἰούδας ἐζήλωσε· τῷ γὰρ Χριστῷ ἀντάρας καὶ ἀνιῶν πρὸς κέντρα, τὰς βάσεις συνετρίβη [para]καὶ ἐν βαράθρῳ κατηνέχθη Ἅιδου, ἐκεῖ τὸ κέρδος πληρωθείς. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 21 Ἦλθεν οὖν τρέχων ὁ ἄνομος καὶ φιλεῖ ἐν δόλῳ τὸν φιλάνθρωπον [para]καὶ ἀναιρεῖ κατὰ διάνοιαν [para]τὸν βουλῇ πάθος ἑλόμενον καὶ ζωὴν πᾶσι δωρούμενον· πρόβατον τοῦ Χριστοῦ ἐμάνθανε, λύκος δὲ τῷ ποιμένι γέγονεν ὡς ἄγριος θὴρ ἐπερχόμενος. Φίλημα σὸν προσφέρεις; Φίλημα ποῖον, ἄφρον; Φίλημα προδοσίας· [para]καὶ οὐκ αἰσχύνῃ τὸν ἐχθρὸν ζηλώσας, αὐτοῦ μανθάνων τὰς βουλάς. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 22 Μεῖνον μικρόν, ὦ πανάθλιε, ἵνα ὄψῃ δίκην ἀμετάθετον· [para]τὸ συνειδός σου κατακρίνει σε, [para]ἵνα γνῷς ὅπερ ἐποίησας τῷ δεινῷ μόρῳ νεκρούμενος· δένδρον σοι γίνεται ὡς δήμιος ἄξιον τὸν μισθόν σοι φέροντα· καὶ ποῦ σοι τὸ χρῆμα, φιλόπλουτε; Ἀλλὰ καὶ τοῦτο δώσεις καὶ σεαυτὸν οὐ σώσεις μετανοῶν ἀκαίρως, [para]ὅτι προέδωκας ὃν εἶχες πλοῦτον τὸν ψυχικόν σου, τὸν Χριστόν. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, [para]ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book 23 Ἅγιε, ἅγιε, ἅγιε, ὁ Θεὸς τῶν πάντων, ὁ τρισάγιος, [para]τοὺς δούλους σου ῥῦσαι τοῦ πτώματος [para]καὶ τὸ πλάσμα σου ἀνάστησον τοῦ φυγεῖν τοιοῦτον κίνδυνον. Ταῦτα οὖν, ἀδελφοί, γινώσκοντες καὶ τὴν τοῦ πράτου πτῶσιν βλέποντες, τοὺς ἑαυτῶν πόδας στηρίξωμεν· στήσωμεν οὖν τὰς βάσεις ἐπὶ τὰς ἀναβάσεις τῶν ἐντολῶν τοῦ κτίστου [para]καὶ τὴν τοῦ Ἅιδου φύγωμεν πορείαν βοῶντες πρὸς τὸν λυτρωτήν· Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

book pro Ὁ ποιμὴν ὁ καλὸς ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων, σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book pro 1 Τῶν φοβερῶν κυμάτων ἐπιλησθεὶς καὶ τῷ ῥητῷ τῆς κόρης ἀλλοιωθείς, ὁ Πέτρος ἔλεγε· «Χριστὲ ὁ Θεός, [para]τῇ ζάλῃ βυθιζόμενος ἀξίως ἐδειλίασα καὶ λόγῳ ἐρωτώμενος ἀρνήσει ὑποπέπτωκα, ἀλλὰ δακρύων βοῶ σοι· [para]Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book pro 2 Ἄλλος βυθὸς ἐπὶ γῆς ἡ παιδίσκη· ἀλλὰ εὑρὼν ὕστερον κορυφαῖα, ἐπὶ σὲ τὸν λιμένα καταφεύγω· [para]Κύριε, τὰ δάκρυά [μου] εἰς πρεσβείαν κινήσω σοι, καὶ κράξω σοι διὰ τοῦτο· Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 1 Τὸν νοῦν ἀνυψώσωμεν, τὴν φρένα ὑφάψωμεν, τὸ πνεῦμα μὴ σβέσωμεν, τῇ ψυχῇ διαναστῶμεν καὶ σπουδάσωμεν σχεδὸν συμπαθεῖν τῷ ἀπαθεῖ· ἀφήσωμεν πάντα λογισμὸν πολυμέριμνον καὶ

προσκολληθῶμεν τῷ ἐν σταυρῷ· ἄγωμεν πάντες, εἰ δοκεῖ, ἅμα τῷ Πέτρῳ εἰς τὴν Καϊάφα αὐλὴν σὺν αὐτῷ. Βοήσωμεν Χριστῷ τὰς τοῦ Πέτρου πάλαι φωνάς· «Κἂν ἐν ξύλῳ ἀνέρχῃ, κἂν ἐν τάφῳ κατέρχῃ, μετὰ σοῦ πάσχομεν καὶ θνήξομεν καὶ κράξομεν·

book 1 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book 2 Οὐ μάτην ἐμνήσθημεν τοῦ Πέτρου, φιλόχριστοι, ἀλλ' ἵνα ζηλώσωμεν τὴν ἀγάπησιν τοῦ φίλου, οὐ τὴν ἄρνησιν τοῦ ὄντως δειλοῦ καὶ τὴν φυγήν. Τῷ φίλτρῳ γὰρ Πέτρος ὑπερζέσας τὸ πρότερον, τῷ φόβῳ ἐσβέσθη μετὰ μικρόν· ὅμως δεξάμενος αὐτοῦ τὴν προθυμίαν, τὴν ταλαιπωρίαν συνέγνω Χριστός, εἰδὼς τὴν ἀσθενῆ φύσιν ταύτην καὶ ταπεινήν, τὴν ἑκάστῳ ἀνέμῳ κλονουμένην καλάμην, τὴν ἀεὶ τρέμουσαν τὸν κίνδυνον καὶ κράζουσαν·

book 2 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 3 Ὑμεῖς οὖν, φιλόχριστοι, τοῦ Πέτρου ἀκούσαντες τὰ ὦτά μοι κλίνατε καὶ τοῖς τοῦ εὐαγγελίου ὑπακούσατε ῥητοῖς καὶ αὐτοῖς δότε τὸν νοῦν. Φησὶ γὰρ Ματθαῖος ἐν τῇ βίβλῳ 〈ἣν〉 ἔγραψε· Μετὰ τὸ δειπνῆσαι εἶπε Χριστός· «Τέκνα μου, φίλοι μαθηταί, τῇ νυκτὶ ταύτῃ ἀρνεῖσθέ με πάντες καὶ φεύγετέ με.» Καὶ πάντων ὁμαδὸν ἐκπλαγέντων, Πέτρος βοᾷ· «Εἰ καὶ πάντες ἀρνοῦνται, ἀλλ' ἐγὼ οὐκ ἀρνοῦμαι· μετὰ σοῦ ἔσομαι καὶ θνήξομαι καὶ κράξω σοι·

book 3 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 4 Τί λέγεις, διδάσκαλε; ὁ Πέτρος ἐβόησεν. Ἐγώ σε ἀρνήσωμαι; Ἐγὼ λίπω σε καὶ φύγω; Καὶ οὐ μνήσκομαι τῆς κλήσεώς σου καὶ τῆς τιμῆς; Ἀκμὴν ἐνθυμοῦμαι πῶς τοὺς πόδας μου ἔνιψας, καὶ λέγεις· 'Ἀρνεῖσαί με', λυτρωτά; Ἔτι λογίζομαι, σωτήρ, πῶς τὸν νιπτῆρα βαστάζων προσῆλθες τοῖς ἴχνεσί μου, ὁ φέρων τὴν ξηρὰν καὶ βαστάζων τὸν οὐρανόν· ταῖς χερσὶν αἷς ἐπλάσθην νῦν τοὺς πόδας ἐπλύθην, καὶ βοᾷς ὅτι σκανδαλίζομαι καὶ οὐ κράζω 〈σοι〉·

book 4 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου;

book 5 Ἀκμήν, ἀναμάρτητε, ἀκμήν, ἀτελεύτητε, τὸν νόστον τοῦ δείπνου σου ἐν τῷ στόματί μου ἔχω, καὶ πῶς δύναμαι ἀρνήσασθαί σου τὴν δωρεάν; Εἰ γένωμαι, οἴμοι, ὡς προδότης ὁ μύστης σου, καλὸν τὸ θανεῖν με ἢ γὰρ τὸ ζῆν· εἴπερ λανθάνω ἀκριβῶς τοῦ μυστηρίου οὗ οἶδα καὶ εἶδον καὶ πάλιν ὁρῶ, συμφέρει μοι τὰ νῦν πρὸς τὸν ᾅδην ζῶντα δραμεῖν· κολληθήτω ἡ γλῶσσα ἄρτι τῷ λάρυγγί μου, ἐάν σε ψεύσωμαι ἢ παύσωμαι τοῦ κράζειν σοι·

book 5 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book 6 Πρὸς ταῦτα τὰ ῥήματα ὁ πλάσας τὸν ἄνθρωπον τῷ Πέτρῳ ἀντέφησε· «Τί μοι λέγεις, φίλε Πέτρε; Οὐκ ἀρνεῖσαί με; Οὐ φεύγεις ἐμέ; Οὐκ ἀθετεῖς; Κἀγὼ τοῦτο θέλω, ἀλλ' ἡ πίστις σου ἄστατος καὶ οὐκ ἀντιβαίνεις τοῖς πειρασμοῖς· μέμνησαι πῶς παρὰ μικρὸν κατεποντίσθης, εἰ μὴ τὴν παλάμην ἐπέδωκά σοι Ἐπέζευσας μὲν γὰρ ἐν θαλάσσῃ ὥσπερ κἀγώ, ἀλλ' εὐθέως ἐσείσθης καὶ ταχέως ἐλήφθης· καὶ λοιπὸν ἔφθασά σε κράζοντα καὶ λέγοντα·

book 6 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμην σου.

book 7 Ἰδοὺ καὶ νῦν λέγω σοι ὅτι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ψεύσῃ με καὶ ὡς κύματα θαλάσσης περικλύζων καὶ βυθίζων τὸν νοῦν, τρὶς ἀπαρνῇ· καὶ τότε μὲν κράξας, νῦν δὲ κλαύσας, εὑρήσεις με οὐ χεῖρά σοι δόντα ὥσπερ τὸ πρίν· ταύτῃ γὰρ κάλαμον λαβών, ἄρχομαι γράφειν συγχώρησιν πᾶσι τοῖς ἐκ τοῦ Ἀδάμ· ἡ σάρξ μου, ἣν ὁρᾷς, ὥσπερ χάρτης γίνεταί μοι, καὶ τὸ αἷμά μου μέλαν ὅθεν βάπτω καὶ γράφω, δωρεὰν νέμων ἀδιάδοχον τοῖς κράζουσι·

book 7 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 8 —Νῦν οὖν, ἀτελεύτητε, ὁ Πέτρος ἀντέφησε, νῦν ὅτι ἐσήμανας τὸ ποσάκις σε ἀρνοῦμαι, ἐμφανίζω σοι κἀγὼ τὴν ἐμὴν γνώμην, σωτήρ. Εἰ γὰρ καὶ γινώσκεις πρὶν εἰπεῖν με, φιλάνθρωπε, ἀλλ' ὅμως δηλῶ σοι ἅπερ φρονῶ· ἐπὶ ἀγγέλων καὶ βροτῶν καὶ σοῦ τοῦ κτίστου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἄνω καὶ κάτω νῦν ὁμολογῶ· κἂν δέῃ με θανεῖν, οὐκ ἀρνοῦμαι σέ, λυτρωτά· μετὰ σοῦ θέλω ζῆσαι, μετὰ σὲ δὲ μὴ ζῆσαι· διὰ τί βλέπω γὰρ τὸν ἥλιον, μὴ κράζων σοι·

book 8 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμην σου;»

book 9 Ὁ Πέτρος μὲν πρόθυμος ὡς φίλος ἐπίσημος, ὁ πλάστης δὲ ἕτοιμος βοηθῆσαι πάλιν Πέτρῳ, ὡς εἰδὼς αὐτοῦ τὸ ὀλισθηρὸν καὶ τὸ σαθρόν. Τοιαῦτα οὖν λέξας καὶ ἀκούσας ὁ Κύριος ἀπήγετο θέλων πρὸς τὸ παθεῖν ὑπὸ ἀνόμων κρατηθείς, ὡς ἠβουλήθη, καὶ ὑπὸ Ἰούδα, ὡς οἶδεν, πραθείς· καὶ ἤχθη εἰς τὴν τοῦ Καϊάφα τότε αὐλήν· ἠκολούθει δὲ Πέτρος ἵνα ἴδῃ τὸ τέλος, καὶ ἰδὼν ἔπτηξεν, ἐτρόμασεν, ἐκραύγασεν·

book 9 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 10 Ὑπὸ διαθέσεως πολλῆς ὁ ἀπόστολος τῷ ὄχλῳ προσπλέκεται καὶ εἰσέρχεται σπουδαίως· καὶ γενόμενος ἐντὸς τῆς αὐλῆς, βλέπει ἐκεῖ τὸ πῦρ δεδεμένον καὶ τὸν χόρτον καθήμενον, Χριστὸν παρεστῶτα τῷ ἱερεῖ· καὶ μὴ βαστάσας τὸ κακόν, ἤδη δακρύει καὶ τύπτει τὸ στῆθος καὶ λέγει σιγῇ· «Δεδέσμευσαι, Χριστέ, καὶ ἀνέχει καὶ καρτερεῖς, καὶ ἐμπτύει τὴν ὄψιν δι᾽ ἣν κρύπτει τὰς ὄψεις Σεραφὶμ φρίττοντα καὶ τρέμοντα καὶ κράζοντα·

book 10 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 11 Ῥαπίζει, διδάσκαλε, καὶ ζῶ καὶ προσέχω σοι; Ὑβρίζει, φιλάνθρωπε, καὶ ὁρᾷ ἡ γῆ καὶ στέγει καὶ οὐ σχίζεται τοῦ καταπιεῖν τοὺς ἀπειθεῖς; Ἐμπαίζει καὶ βλέπει οὐρανὸς καὶ͜ οὐ͜κ εἰλίσσεται, καὶ͜ οὐ͜κ ἀγανακτοῦσιν οἱ ἐν αὐτῷ; Καὶ οὐ θυμοῦται Μιχαὴλ σοῦ ῥαπισθέντος, καὶ καίει καὶ φλέγει τοὺς ἐπὶ τῆς γῆς; Καὶ στέγει Γαβριὴλ καὶ οὐ φλέγει τοὺς τολμηρούς; Εἰ καὶ πᾶσαι δυνάμεις αἱ τῶν ἄνω σιγῶσιν, ἀλλ᾽ ἐγὼ πλήττομαι καὶ φύρομαι καὶ κράζω σοι·

book 11 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book 12 Ὡς ταῦτα δὲ ἔφησεν, ὁ Πέτρος ἡσύχασε καὶ ὑπὸ ἐκπλήξεως συσχεθεὶς οὐδὲν προσεῖπεν· ἀλλ᾽ ἐξαίφνης ὁ σιγήσας καλῶς ἔφη κακῶς, ἵνα ἀληθεύσῃ ὁ Χριστός, ἡ ἀλήθεια, καὶ γένηται ψεύστης πᾶς γηγενής. Τί οὖν ἐροῦμεν, ἀδελφοί; Ὅτι ὁ πλάστης ἵνα ἀληθεύσῃ, ἀρνεῖται Κηφᾶς; Μὴ γένοιτο ἱνὰ οὕτως εἴπω περὶ Χριστοῦ, ἀλλὰ οὕτως νοήσω ὅτι πάντα προβλέπει καὶ δηλοῖ καὶ προασφαλίζεται τοὺς κράζοντας·

book 12 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 13 Μικρὸν οὖν ἡσύχασεν ὁ Πέτρος, ὡς πρόειπον· ὀλίγον ἐπαύσατο ἀπὸ τῆς ἀδημονίας καὶ ἐκάθητο ἐντὸς τῆς αὐλῆς σύννους, στυγνός. Παιδίσκη δὲ μία τοῦτον περιεβλέπετο καὶ περιεκύκλου τὸν μαθητήν· ἄνω καὶ κάτω ἀκριβῶς κατανοοῦσα καὶ καταλαβοῦσα, βοᾷ πρὸς αὐτόν· «Καὶ σύ ποτε σὺν τῷ Γαλιλαίῳ ἦσθα σαφῶς.» Ἀπεκρίθη δὲ Πέτρος· «Οὐ γινώσκω ἃ λέγεις, ἀγνοῶ τοῦτον ὃν κηρύττουσιν οἱ κράζοντες·

book 13 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book 14 Ἀφῆκες, ἀπόστολε, ταχέως τὸ κράτημα, καὶ κόρη σε ἔρριψεν· ἀλλ᾽ ἀνάστηθι, ἐξάλλου καὶ ἀνάζωσαι τὴν πρώτην ἰσχύν, ὡς ἀθλητής· οὐκ ἔσχες τὴν πάλην πρός τινα δυνατώτερον, καὶ πῶς κατηνέχθης λόγῳ ψιλῷ; Κόρη προσῆλθέ σοι μικρά, ἥτις καὶ τάχα ψελλίζουσα εἶπεν ἃ εἶπεν πρὸς σέ, καὶ ταύτης ὡς βρυγμὸν δειλιάσας τὸν ψελλισμόν, ἀπεφήνω πρὸς ταύτην· «Οὐ γινώσκω ἃ λέγεις». Διὰ τί κόρη σε ἐπτόησε καὶ͜ οὐ͜κ ἔκραξας·

book 14 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου;

book 15 Νομίζων ὁ δίκαιος ὅτι τὸ κοράσιον τοῖς ἔσω προσβέβληται, τὴν αὐλὴν καταλιμπάνει καὶ προσκόψας τῷ πυλῶνι αὐτῆς πίπτει κἀκεῖ. Παιδίσκη γὰρ ἄλλη προσελθοῦσα, ὡς γέγραπται, τοῖς θερμαινομένοις οὕτω φησίν; ὅτι «καὶ οὗτος ὁ ἀνὴρ τῷ Ναζωραίῳ συνῆν καθ᾽ ἑκάστην, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆλός ἐστι.» Πρὸς ταῦτα δὲ Κηφᾶς ἀπεκρίθη θορυβηθείς· «Οὐ γινώσκω τὸν ἄνδρα, οὐκ ἐπίσταμαι τοῦτον· ἀγνοῶ ἄνθρωπον ὃν λέγουσιν οἱ κράζοντες·

book 15 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.»

book 16 Οὐκ οἶδας τὸν ἄνθρωπον, ὦ Πέτρε, ὡς ἔφησας; Οὐκ οἶδας τὸν ἄνθρωπον; Μή τι τοῦτο θέλεις λέγειν ὅτι ἄνθρωπον οὐκ οἶδας ψιλόν, ἀλλὰ θεόν; Μὴ ἄρα διδάξαι τοὺς ἀνόμους ἐσπούδασας ὅτι Θεὸς πέλει ὁ σταυρωθείς; Εἰ γὰρ καὶ ἔπαθεν σαρκὶ σάρκα ὁ φέρων, ἐκ τῆς ἀμιάντου ἀσπόρως τεχθείς, ἀλλ' οὖν ἐστὶ Θεὸς καὶ οὐ θνῄσκει θνῄσκων σαρκί· ὡς ὁρᾶται, κρατεῖται· ὡς δὲ μὴ θεωρεῖται, οὐδενὶ πρόσκειται εἰ μή τι δ' ἂν τοῖς κράζουσι·

book 16 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 17 Ὑμνοῦμέν σε, δέσποτα, ὅτι ἀγαθὸν ψαλμός· αἰνοῦμέν σε, Κύριε, ὅτι πάντα σὺ ὑπέστης, καὶ ὁ Πέτρος σου μηδὲν ὑποστὰς ψεύδεταί σε· αὐτὸς ἐμαστίζου καὶ ὁ Πέτρος ἠρνεῖτό σε, μηδὲν ὑπομείνας ὁ ἀθλητής· ἤδη γὰρ δεύτερον βληθεὶς ὑπὸ θηλείων, τὸ τρίτον ἡττᾶται ὑπ' ἄλλων ἀνδρῶν. Καὶ γὰρ μετὰ μικρὸν προσελθόντες ἄλλοι τινὲς ἐπιτίθενται Πέτρῳ, καὶ ἀρνεῖται μεθ' ὅρκων, καὶ εὐθὺς ὄρνις τοῦτον ἤλεγξε, καὶ ἔκραξε·

book 17 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 18 Ἀκούσας τοῦ ὄρνιθος ὁ Πέτρος φωνήσαντος, εὐθέως ἐκραύγασε κωκυτὸν μετὰ δακρύων· «Οἴμοι, οἴμοι, ποῦ ἀπέλθω; ποῦ στῶ; ποῦ δὲ φανῶ; τί λέξω; τί φράσω; τί ἀφήσω; τί λήψομαι; τί πράξω; τί πάθω; τί ὑποστῶ; ποίαν θρηνήσω μου πληγήν; πρώτην; δευτέραν; Τριπλῆ γὰρ ὀδύνη ἐπῆλθεν ἐμοί· τρισσῶς ὁ δολερὸς ἔβαλέ με τὸν ἀφελῆ· ἀφανῶς ἐτοξεύθην, φανερῶς κατεβλήθην· ποῦ τὸν νοῦν τοῦτον μετεώρισα καὶ͜ οὐ͜κ ἔκραξα·

book 18 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου;

book 19 Ἰσχύς μου καὶ ὕμνησις ὑπάρχεις, φιλάνθρωπε· μὴ ἐγκαταλίπῃς με.» Ταῦτα Πέτρος ἔφη κλαίων ὅτε ἤρχετο πρὸς τοὺς μαθητὰς τοῦ λυτρωτοῦ. Τὰς χεῖρας δὲ θήσας ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἐβόησεν· «Οἴμοι, δοῦλοι Χριστοῦ· ἤδη ἐπλήρωσα Χριστοῦ τὴν προφητείαν ἐπὶ τῇ ἀρνήσει ἐμοῦ τῇ τριπλῇ. Συγκλαύσατέ μοι οὖν καὶ θρηνοῦντες λέξατέ μοι· 'Ποῦ ὁ πόθος καὶ ζῆλος; Ποῦ ἡ πίστις καὶ νῆψις; Ποῦ ὁ νοῦς οὗτος ὃς ἐρέμβετο καὶ͜ οὐ͜κ ἔκραξε·

book 19 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου;'»

book 20 Νικᾶται ὁ εὔσπλαγχνος τοῦ Πέτρου τοῖς δάκρυσι καὶ πέμπει τὴν ἄφεσιν· τῷ ληστῇ γὰρ ὁμιλήσας ὑπαινίττεται τὸν Πέτρον ἐκεῖ ἐν τῷ σταυρῷ· «Ὦ φίλε ληστά μου, μετ' ἐμοῦ γενοῦ σήμερον, ἐπειδὴ ὁ Πέτρος ἔλιπέ με· ὅμως ἐκείνῳ τε καὶ σοὶ καὶ τοῖς ζητοῦσιν [para]ἀνοίγω τὰ σπλάγχνα, φιλάνθρωπος ὤν. Δακρύων, ὦ ληστά, 'Μνήσθητί μου', λέγεις ἐμοί, [para]καὶ ὁ Πέτρος δὲ κλαίων· 'Μὴ ἀφήσῃς με', κράζει· [para]δι' αὐτὸ σοὶ κἀκείνῳ λέγω σὺν τοῖς κράζουσι·

book 20 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 21 Οὐδεὶς ἀναμάρτητος, οὐδεὶς ἀκατάβλητος· μὴ ὀλιγωρήσητε, ἐγὼ μόνος δίχα μώμου· διὸ ἅπασιν ὑμῖν ἐφαπλῶ τὴν δωρεάν.» Ἀλλ' ἴσως ἐρεῖ τις· «Πόθεν τοῦτο, ὦ ἄνθρωπε, ὅτι ἀνεκλήθη Πέτρος πεσών;» Ἤδη δεικνύω ἀκριβῶς καὶ διὰ τίνος ἐπέμφθη τὸ δῶρον τῷ Πέτρῳ ποτέ· ἀγγέλου ἦν φωνὴ ὁμιλοῦντος ταῖς γυναιξίν· «Ὅταν εἴπητε πᾶσιν, εἴπατε καὶ τῷ Πέτρῳ· μὴ φοβοῦ, εἶπεν ὁ διδάσκαλος· ἀνάκραξον·

book 21 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 22 Συνάντησον, ἅγιε, καὶ δέξαι τὸν Κύριον πρὸς σὲ πορευόμενον ἐκ ταφῆς ὡς ἐκ παστάδος· δι' ἐμοῦ γὰρ τοῦ ἀγγέλου αὐτοῦ λέγει πρὸς σὲ τοιαῦτα εἰπάντος· Μὴ ἀπογνῷς τὴν ἄφεσιν, ἀλλ' εὔχου μὴ πίπτειν εἰς πειρασμόν.» Μὴ οὖν πλεκέτω ἡμῖν τις ὅτι τῷ Πέτρῳ οὐ συνεχωρήθη τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πταῖσμά ποτε· συγχώρησιν Χριστὸς θέλων δοῦναι ἦλθεν εἰς γῆν, συγχωρῆσαι θελήσας τῷ σταυρῷ προσηλώθη, συγχωρῶν θάνατον ὑπέταξε τοῖς κράζουσι·

book 22 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book 23 «Συγχώρησον, δέσποτα», τῷ πλάστῃ βοήσατε, ὑμεῖς οἱ νεόλεκτοι, ἐπειδὴ τῆς κολυμβήθρας ἀπογεύεσθε γλυκείας πηγῆς καὶ ἀγαθῆς· φωτίζεσθε μᾶλλον καὶ μὴ μόνον βαπτίζεσθε· μὴ δόλῳ τὸ δῶρον δέξασθε νῦν, μήποτε εἴπῃ ὁ Θεός· «Ὅτε εἰσῆλθον, ἐμίαναν οὗτοι τὴν γῆν τὴν ἐμήν.» Μὴ γένοιτο δὲ νῦν ἵνα οὕτως λέξῃς, Χριστέ, [para]ἀλλ' ἵν' ἔλθῃς ταχέως, ἵνα δέξῃ ἡδέως [para]σὺν ἡμῖν τούτους 〈τοὺς ἐν πίστει〉 σοι κραυγάζοντας·

book 23 Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

book pro Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· [para]αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ ξύλου καὶ ἔλεγεν· [para]«Εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις [para]ὁ υἱὸς καὶ Θεός μου.»

book 1 Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα [para]πρὸς σφαγὴν ἑλκόμενον ἠκολούθει 〈ἡ〉 Μαρία τρυχομένη [para]μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα· «Ποῦ πορεύῃ, τέκνον; Τίνος χάριν τὸν ταχὺν δρόμον τελέεις; Μὴ ἕτερος γάμος πάλιν ἔστιν ἐν Κανᾶ [para]κἀκεῖ νυνὶ σπεύδεις ἵν' ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; Συνέλθω σοι, τέκνον, ἢ μείνω σε μᾶλλον; [para]Δός μοι λόγον, Λόγε· μὴ σιγῶν παρέλθῃς με, ὁ ἁγνὴν τηρήσας με, ὁ υἱὸς καὶ Θεός μου.

book 2 Οὐκ ἤλπιζον, τέκνον, ἐν τούτοις ἰδεῖν σε, [para]οὐδ' ἐπίστευόν ποτε ἕως τούτου τοὺς ἀνόμους ἐκμανῆναι [para]καὶ ἐκτεῖναι ἐπὶ σὲ χεῖρας ἀδίκως· ἔτι γὰρ τὰ βρέφη τούτων κράζουσί σοι τὸ 'εὐλογημένοσ'· ἀκμὴν δὲ βαΐων πεπλησμένη ἡ ὁδὸς [para]μηνύει τοῖς πᾶσι τῶν ἀθέσμων τὰς πρὸς σὲ πανευφημίας. Καὶ νῦν τίνος χάριν ἐπράχθη τὸ χεῖρον; [para]Γνῶναι θέλω, οἴμοι, πῶς τὸ φῶς μου σβέννυται, [para]πῶς σταυρῷ προσπήγνυται ὁ υἱὸς καὶ Θεός μου.

book 3 Ὑπάγεις, ὦ τέκνον, πρὸς ἄδικον φόνον, [para]καὶ οὐδείς σοι συναλγεῖ· οὐ συνέρχεταί σοι Πέτρος ὁ εἰπών σοι· [para]'Οὐκ ἀρνοῦμαί σέ ποτε, κἂν ἀποθνῄσκω'· ἔλιπέ σε Θώμας ὁ βοήσας· 'Μετ' αὐτοῦ θάνωμεν πάντεσ'· οἱ ἄλλοι δὲ πάλιν, οἱ οἰκεῖοι καὶ υἱοί, οἱ μέλλοντες κρίνειν τὰς δώδεκα φυλάς, ποῦ εἰσιν ἄρτι; Οὐδεὶς ἐκ τῶν πάντων, ἀλλ' εἷς ὑπὲρ πάντων [para]θνῄσκεις, τέκνον, μόνος, ἀνθ' ὧν πάντας ἔσωσας, [para]ἀνθ' ὧν πᾶσιν ἤρεσας, ὁ υἱὸς καὶ Θεός μου.»

book 4 Τοιαῦτα Μαρίας ἐκ λύπης βαρείας [para]καὶ ἐκ θλίψεως πολλῆς κραυγαζούσης καὶ κλαιούσης, ἐπεστράφη [para]πρὸς αὐτὴν ὁ ἐξ αὐτῆς οὕτω βοήσας· «Τί δακρύεις, μήτηρ; Τί ταῖς ἄλλαις γυναιξὶ συναποφέρῃ; Μὴ πάθω; μὴ θάνω; Πῶς οὖν σώσω τὸν Ἀδάμ; [para]Μὴ τάφον οἰκήσω; Πῶς ἑλκύσω πρὸς ζωὴν τοὺς ἐν τῷ ᾅδῃ; Καὶ μήν, καθὼς οἶδας, ἀδίκως σταυροῦμαι· [para]τί οὖν κλαίεις, μήτηρ; Μᾶλλον οὕτω κραύγασον ὅτι 'Θέλων ἔπαθεν ὁ υἱὸς καὶ Θεός μου.'

book 5 Ἀπόθου οὖν, μῆτερ, ἀπόθου τὴν λύπην· [para]οὐ γὰρ πρέπει σοι θρηνεῖν, ὅτι κεχαριτωμένη ὠνομάσθης· [para]τὴν οὖν κλῆσιν τῷ κλαυθμῷ μὴ συγκαλύψῃς· μὴ ταῖς ἀσυνέτοις ὁμοιώσῃς ἑαυτήν, πάνσοφε κόρη· ἐν μέσῳ ὑπάρχεις τοῦ νυμφῶνος τοῦ ἐμοῦ· [para]μὴ οὖν ὥσπερ ἔξω ἱσταμένη τὴν ψυχὴν καταμαράνῃς· τοὺς ἐν τῷ νυμφῶνι ὡς δούλους σου φώνει· [para]πᾶς γὰρ τρέχων τρόμῳ ὑπακούσει σου, σεμνή, [para]ὅταν εἴπῃς· 'Ποῦ ἐστιν ὁ υἱὸς καὶ Θεός μου;'

book 6 Πικρὰν τὴν ἡμέραν τοῦ πάθους μὴ δείξῃς· [para]δι' αὐτὴν γὰρ ὁ γλυκὺς οὐρανόθεν νῦν κατῆλθον ὡς τὸ μάννα, [para]οὐκ ἐν ὄρει τῷ Σινᾷ, ἀλλ' ἐν γαστρί σου: ἔνδοθεν γὰρ ταύτης ἐτυρώθην, ὡς Δαυὶδ προανεφώνει· τὸ τετυρωμένον ὄρος νόησον, σεμνή· [para]ἐγὼ γὰρ ὑπάρχω, ὅτι λόγος ὢν ἐν σοὶ σὰρξ ἐγενόμην· ἐν ταύτῃ οὖν πάσχω, ἐν ταύτῃ καὶ σῴζω· [para]μὴ οὖν κλαύσῃς, μῆτερ, μᾶλλον οὕτω βόησον· [para]'Θέλων πάθος δέχεται ὁ υἱὸς καὶ Θεός μου.'

book 6bis [Ἐν τούτοις τοῖς λόγοις ἡ πάναγνος μήτηρ [para]τῷ ἀφράστως ἐξ αὐτῆς σαρκωθέντι καὶ τεχθέντι, ἐπὶ πλεῖον [para]τρυχωθεῖσα τὴν ψυχήν, οὕτως ἐβόα· «Τί μοι λέγεις, τέκνον· 'Μὴ ταῖς

ἄλλαις γυναιξὶ συναποφέρῃ;‘ Καὶ γὰρ ὥσπερ αὗται ἐν κοιλίᾳ ὑϊὸν [para]σὲ ἔσχον ἐν μήτρᾳ καὶ μαστοῖς σοι τοῖς ἐμοῖς γάλα παρέσχον. Πῶς οὖν θέλεις ἄρτι μὴ κλαύσω σε, τέκνον, [para]θάνατον ἀδίκως ὑποστῆναι σπεύδοντα, [para]τὸν νεκροὺς ἐγείροντα, ὁ υἱὸς καὶ Θεός μου;»]

book 7 —Ἰδού, φησί, τέκνον, ἐκ τῶν ὀφθαλμῶν μου [para]τὸν κλαυθμὸν ἀποσοβῶ, τὴν καρδίαν μου συντρίβω ἐπὶ πλεῖον, ἀλλ’ οὐ δύναται σιγᾶν ὁ λογισμός μου. Τί μοι λέγεις, σπλάγχνον· ‘Εἰ μὴ πάθω, ὁ Ἀδὰμ οὐχ ὑγιαίνει;‘ Καὶ μὴν ἄνευ πάθους ἐθεράπευσας πολλούς· [para]λεπρὸν γὰρ καθῆρας καὶ οὐκ ἤλγησας οὐδέν, ἀλλ’ ἠβουλήθης· παράλυτον σφίγξας οὐ κατεπονήθης· [para]πῆρον πάλιν λόγῳ ὀμματώσας, ἀγαθέ, [para]ἀπαθὴς μεμένηκας, ὁ υἱὸς καὶ Θεός μου.

book 8 Νεκροὺς ἀναστήσας νεκρὸς οὐκ ἐγένου [para]οὐδ’ ἐτέθης ἐν ταφῇ· πῶς οὖν λέγεις· ‘Εἰ μὴ πάθω, εἰ μὴ θάνω, [para]ὁ ταλαίπωρος Ἀδὰμ οὐχ ὑγιαίνει‘; Κέλευσον, σωτήρ μου, καὶ ἐγείρεται εὐθὺς κλίνην βαστάζων· εἰ δὲ καὶ ἐν τάφῳ κατεχώσθη ὁ Ἀδάμ, [para]ὡς Λάζαρον τάφου ἐξανέστησας φωνῇ, οὕτως καὶ τοῦτον· δουλεύει σοι πάντα ὡς πλάστη τῶν πάντων. [para]Τί οὖν τρέχεις, τέκνον; Μὴ ἐπείγου πρὸς σφαγήν, [para]μὴ φιλήσῃς θάνατον, ὁ υἱὸς καὶ Θεός μου.

book 9 —Οὐκ οἶδας, ὦ μῆτερ, οὐκ οἶδας ὃ λέγω· [para]διὸ ἄνοιξον τὸν νοῦν καὶ εἰσοίκισον τὸ ῥῆμα ὃ ἀκούεις [para]καὶ αὐτὴ καθ’ ἑαυτὴν νόει ἃ λέγω. Οὗτος ὃν προεῖπον ὁ ταλαίπωρος Ἀδάμ, ὁ ἀρρωστήσας οὐ μόνον τὸ σῶμα, ἀλλὰ γὰρ καὶ τὴν ψυχὴν [para]ἐνόσησε θέλων· οὐ γὰρ ἤκουσεν ἐμοῦ καὶ κινδυνεύει· γνωρίζεις ὃ λέγω· μὴ κλαύσῃς οὖν, μῆτερ, [para]μᾶλλον τοῦτο κράξον· ‘Τὸν Ἀδὰμ ἐλέησον καὶ τὴν Εὔαν οἴκτειρον, ὁ υἱὸς καὶ Θεός μου.‘

book 10 ‘Υπὸ ἀσωτίας καὶ ἀδηφαγίας [para]ἀρρωστήσας ὁ Ἀδὰμ κατηνέχθη ἕως ᾅδου κατωτάτου, [para]καὶ ἐκεῖ τὸν τῆς ψυχῆς πόνον δακρύει· Εὔα δὲ ἡ τοῦτον ἐκδιδάξασά ποτε τὴν ἀταξίαν σὺν τούτῳ στενάζει· σὺν αὐτῷ γὰρ ἀρρωστεῖ, [para]ἵνα μάθωσιν ἅμα τοῦ φυλάττειν ἰατροῦ παραγγελίαν. Συνῆκας κἂν ἄρτι; Ἐπέγνως ἃ εἶπον; [para]Πάλιν, μήτηρ, κράξον· Τῷ Ἀδὰμ εἰ συγχωρεῖς, [para]καὶ τῇ Εὔᾳ σύγγνωθι, ὁ υἱὸς καὶ Θεός μου.»

book 11 Ῥημάτων δὲ τούτων ὡς ἤκουσε τότε [para]ἡ ἀμώμητος ἀμνάς, ἀπεκρίθη πρὸς τὸν ἄρνα· «Κύριέ μου, [para]ἔτι ἅπαξ ἂν εἰπῶ, μὴ ὀργισθῇς μοι· λέξω σοι ὃ ἔχω, ἵνα μάθω παρὰ σοῦ πάντως ὃ θέλω. Ἂν πάθῃς, ἂν θάνῃς, ἀναλύσεις πρὸς ἐμέ; [para]Ἂν περιοδεύσῃς σὺν τῇ Εὔᾳ τὸν Ἀδάμ, βλέψω σε πάλιν; Αὐτὸ γὰρ φοβοῦμαι, μήπως ἐκ τοῦ τάφου [para]ἄνω δράμῃς, τέκνον, καὶ ζητοῦσά σε ἰδεῖν [para]κλαύσω, κράξω· Ποῦ ἐστιν ὁ υἱὸς καὶ Θεός μου;»

book 12 Ὡς ἤκουσε ταῦτα ὁ πάντα γινώσκων [para]πρὶν γενέσεως αὐτῶν, ἀπεκρίθη πρὸς Μαρίαν· «Θάρσει, μῆτερ, [para]ὅτι πρώτη με ὁρᾷς ἀπὸ τῶν τάφων· ἔρχομαί σοι δεῖξαι πόσων πόνων τὸν Ἀδὰμ ἐλυτρωσάμην καὶ πόσους ἱδρῶτας ἔσχον ἕνεκεν αὐτοῦ· [para]δηλώσω τοῖς φίλοις τὰ τεκμήρια δεικνὺς ἐν ταῖς χερσί μου· καὶ τότε θεάσῃ τὴν Εὔαν, ὦ μῆτερ, [para]ζῶσαν ὥσπερ πρώην, καὶ βοήσεις ἐν χαρᾷ· ‘Τοὺς γονεῖς μου ἔσωσεν ὁ υἱὸς καὶ Θεός μου.‘

book 13 Μικρὸν οὖν, ὦ μῆτερ, ἀνάσχου, καὶ βλέπεις [para]πῶς καθάπερ ἰατρὸς ἀποδύομαι καὶ φθάνω ὅπου κεῖνται [para]καὶ ἐκείνων τὰς πληγὰς περιοδεύω, τέμνων ἐν τῇ λόγχῃ τὰ πωρώματα αὐτῶν καὶ τὴν σκληρίαν· λαμβάνω καὶ ὄξος, καταστύφω τὴν πληγήν, τῇ μήλῃ τῶν ἥλων ἐρευνήσας τὴν νομὴν χλαίνῃ μοτώσω· καὶ δὴ τὸν σταυρόν μου ὡς νάρθηκα ἔχων, [para]τούτῳ χρῶμαι, μῆτερ, ἵνα ψάλλῃς συνετῶς· [para]‘Πάσχων πάθος ἔλυσεν ὁ υἱὸς καὶ Θεός μου.‘

book 14 Ἀπόθου οὖν, μῆτερ, τὴν λύπην ἀπόθου, [para]καὶ πορεύου ἐν χαρᾷ· ἐγὼ γάρ, δι’ ὃ κατῆλθον, ἤδη σπεύδω [para]ἐκτελέσαι τὴν βουλὴν τοῦ πέμψαντός με· τοῦτο γὰρ ἐκ πρώτης δεδογμένον ἦν ἐμοὶ καὶ τῷ πατρί μου, καὶ τῷ πνεύματί μου οὐκ ἀπήρεσέ ποτε [para]τὸ ἐνανθρωπῆσαι καὶ παθεῖν με διὰ τὸν παραπεσόντα. Δραμοῦσα, ὦ μῆτερ, ἀνάγγειλον πᾶσιν [para]ὅτι· ‘Πάσχων πλήττει τὸν μισοῦντα τὸν Ἀδὰμ καὶ νικήσας ἔρχεται ὁ υἱὸς καὶ Θεός μου.‘

book 15 —Νικῶμαι, ὦ τέκνον, νικῶμαι τῷ πόθῳ, [para]καὶ οὐ στέγω ἀληθῶς ἵν' ἐγὼ μὲν ἐν θαλάμῳ, σὺ δ' ἐν ξύλῳ, [para]ἵν' ἐγὼ ἐν οἰκιᾷ, σὺ δ' ἐν μνημείῳ. Ἄφες οὖν συνέλθω· θεραπεύει γὰρ ἐμὲ τὸ θεωρεῖν σε· κατίδω τὴν τόλμαν τῶν τιμώντων τὸν Μωσῆν· [para]αὐτὸν γὰρ ὡς δῆθεν ἐκδικοῦντες οἱ τυφλοὶ κτεῖναί σε ἦλθον· Μωϋσῆς δὲ τοῦτο τῷ Ἰσραὴλ εἶπεν [para]ὅτι 'Μέλλεις βλέπειν ἐπὶ ξύλου τὴν ζωήν.' [para]Ἡ ζωὴ δὲ τίς ἐστιν; Ὁ υἱὸς καὶ Θεός μου.

book 16 —Οὐκοῦν εἰ συνέρχῃ, μὴ κλαύσῃς, ὦ μῆτερ, [para]μηδὲ πάλιν πτοηθῇς, ἐὰν ἴδῃς σαλευθέντα τὰ στοιχεῖα· [para]τὸ γὰρ τόλμημα δονεῖ πᾶσαν τὴν κτίσιν. Πόλος ἐκτυφλοῦται καὶ οὐκ ἀνοίγει ὀφθαλμὸν ἕως ἂν εἴπω· ἡ γῆ σὺν θαλάσσῃ τότε σπεύσωσι φυγεῖν· [para]ναὸς τὸν χιτῶνα ῥήξει τότε κατὰ τῶν τοῦτο τολμώντων· τὰ ὄρη δονοῦνται, οἱ τάφοι κενοῦνται· [para]ὅταν ἴδῃς ταῦτα, ἐὰν πτήξῃς ὡς γυνή, [para]κράξον πρὸς μέ· Φεῖσαί μου, ὁ υἱὸς καὶ Θεός μου.»

book 17 Υἱὲ τῆς παρθένου, Θεὲ τῆς παρθένου, [para]καὶ τοῦ κόσμου ποιητά, σὸν τὸ πάθος, σὸν τὸ βάθος τῆς σοφίας· [para]σὺ ἐπίστασαι ὃ ἧς καὶ ὃ ἐγένου· σὺ παθεῖν θελήσας κατηξίωσας ἐλθεῖν ἀνθρώπους σῶσαι· σὺ τὰς ἁμαρτίας ἡμῶν ἦρας ὡς ἀμνός, [para]σὺ ταύτας νεκρώσας τῇ σφαγῇ σου, ὁ σωτήρ, ἔσωσας πάντας· σὺ εἶ ἐν τῷ πάσχειν καὶ ἐν τῷ μὴ πάσχειν, [para]σὺ εἶ θνῄσκων, σῴζων, σὺ παρέσχες τῇ σεμνῇ παρρησίαν κράζειν σοι· «Ὁ υἱὸς καὶ Θεός μου.»

book pro 1 Σήμερον ἐταράττετο τῆς γῆς τὰ θεμέλια, ὁ ἥλιος ἠλλοιοῦτο μὴ στέγων θεωρῆσαι· [para]ἐν σταυρῷ γὰρ περιέκειτο ὁ πάντων ζωοδότης, παράδεισος ἠνέῳκτο· τῇ πάλαι παραβάσει μόνος χορεύει ὁ Ἀδάμ.

book pro 2 Τῆς ἔχθρας ἐλύθη τὸ τύραννον, τῆς Εὔας ἐπαύθη τὸ δάκρυον διὰ τοῦ πάθους σου, φιλάνθρωπε, Χριστὲ ὁ Θεός· [para]ἐν αὐτῷ γὰρ ὁ θανὼν ἀνεκαίνισται, δι' αὐτοῦ δὲ ὁ λῃστὴς εἰσοικίζεται· μόνος χορεύει ὁ Ἀδάμ.

book 1 Ἔκστηθι σήμερον, οὐρανέ· δῦνον εἰς χάος, ὦ γῆ· μὴ τολμήσῃς, ἥλιε, σὸν δεσπότην κατιδεῖν ἐπὶ τοῦ ξύλου βουλήσει κρεμάμενον· ῥαγήτωσαν πέτραι, ἡ γὰρ πέτρα τῆς ζωῆς νῦν τοῖς ἥλοις τιτρώσκεται· σχισθήτω τοῦ ναοῦ τὸ καταπέτασμα, σώματος δεσποτικοῦ λόγχῃ νυσσομένου ὑπὸ ἀνόμων· [para]ἁπλῶς πᾶσα ἡ κτίσις τοῦ κτίστου τὸ πάθος φρίξῃ, στενάξῃ· μόνος χορεύει ὁ Ἀδάμ.

book 2 Εἵλου, σωτήρ μου, τὰ ἐμὰ ἵν' ἐγὼ λάβω τὰ σά· κατεδέξω τὸ παθεῖν ἵν' ἐγὼ νῦν τῶν παθῶν καταφρονήσω· σῷ θανάτῳ ἀνέζησα· ἐτέθης ἐν τάφῳ καὶ εἰς οἴκησιν ἐμοὶ ἐδωρήσω παράδεισον· εἰς βάθος κατελθὼν ἐμὲ ἀνύψωσας· πύλας Ἅιδου καθελὼν πύλας οὐρανίους ἠνέῳξάς μοι· [para]σαφῶς πάντα ὑπέστης διὰ τὸν πεσόντα, πάντα ἠνέσχου ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 3 Σὲ τὸν κρατοῦντα τῇ χειρὶ πάντα τὸν γῦρον τῆς γῆς συλλαβόντες ἄνομοι ἤγαγον νῦν εἰς αὐλὴν τοῦ Καϊάφα τὸν κόσμῳ ἀχώρητον. Καὶ μόνον σε εἶδον, οἱ μὴ βλέποντες νοΐ ἐκμανῶς ἀνεβόησαν· «Ὁ νόμον καὶ Μωσῆν ὑβρίζων ἤλυθεν· ὅστις οὖν τιμᾷ Μωσῆν καὶ σέβει τὸν νόμον, δείξῃ τὸν ζῆλον· [para]μηδεὶς ῥαθυμησάτω· ὁ γὰρ πλάνος ἥκει πάσχειν, ὡς ἔφη, ἵνα χορεύῃ ὁ Ἀδάμ.»

book 4 Ταῦτα μὲν κράζοντος τοῦ λαοῦ, ἔφησεν ὁ ἱερεύς· «Οὐ καλῶς εἶπον τὸ πρίν· Συμφέρει ἀπολέσθαι τοῦτον μόνον καὶ μὴ ὅλον τὸ ἔθνος;» Τίς εἶδεν ἀσπίδα ἀντὶ τοῦ ἰοῦ αὐτῆς γλυκὺ μέλι προφέρουσαν; Τίς ἐθεάσατο φλόγα δροσίζουσαν; Τίς ἀκήκοέ ποτε ψεῦδος ἀληθεῦον ὡς Καϊάφαν; [para]Μὴ θέλων προφητεύει ὅτι ὑπὲρ πάντων θνῄσκεις, σωτήρ μου, ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 5 Οὕτω μὲν ἔφη ὁ ἱερεύς, τοῦτο δὲ οὐ συνῆκεν· οὐ γὰρ εἴασεν αὐτῷ ὁ φθόνος, ἀλλ' ἠρέθισε πρὸς φόνον· φθόνῳ φόνος γὰρ ἕπεται· καὶ μάρτυς ὁ Ἄβελ ὑπὸ Κάϊν φθονηθείς, φονευθεὶς δὲ μετέπειτα· ὃ δὴ καὶ ὁ Χριστὸς ὑπομεμένηκε· βάσκανον λαὸν ποθῶν, εἰς ὀργὴν ἐκίνει στοργὴν

δεικνύων· [para]ἰάτρευε νοσοῦντας, καὶ ἀντ' εὐχαριστίας πάσχει, σταυροῦται ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 6 Πλήθει θαυμάτων ἀντιπαθῶν ὄχλος ὁ τῶν ἀνόμων «Ἆρον, σταύρωσον αὐτόν» ἐπεβόων παραστήσαντες Πιλάτῳ τὸν πάντα συστησάμενον· τὸν μέλλοντα κρίνειν βασιλεῖς τε καὶ πτωχοὺς κριτηρίῳ παρέπεμψαν· τὸν δίκαιον κριτὴν [κρίνει κα]τάκριτος καὶ τὸν ῥύστην ὡς λῃστὴν ἠπείλει φονεύειν ὁ ζῶν ἀδήλως· [para]αὐτὸς δὲ ἵνα πάθῃ σιγῶν τέως στέγει ἄλαλος στήκων, ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 7 Ἄφωνος ἵστατο ὁ βροντῶν, λόγου ἐκτὸς ὁ Λόγος· εἰ γὰρ ἔρρηξε φωνήν, οὐχ ἡττᾶτο, καὶ νικῶν οὐκ ἐσταυροῦτο καὶ Ἀδὰμ οὐκ ἐσῴζετο· διὸ ἵνα πάθῃ ὁ δρασσόμενος σοφοὺς σιωπήσας ἐνίκησε. Ὁρῶν δὲ ὁ κριτὴς τὸν μὴ φθεγγόμενον, ἀπορίᾳ συσχεθεὶς ἔφη· «Τί ποιήσω τῷ μὴ λαλοῦντι;» [para]Οἱ δέ· «Ἔνοχός ἐστιν ὃν ἡμεῖς αἰτοῦμεν· ὅθεν κωφεύει ἵνα χορεύῃ ὁ Ἀδάμ.»

book 8 «Θάνατον ὀφείλω νῦν ἐγώ,» ἔφησεν ὁ σωτήρ μου πρὸς τὸν ἄνομον λαόν —τὸν Πιλᾶτον οὐδὲ λόγου γὰρ ἠξίου, λογισάμενος ἄλογον, — «ἀνθ' ὧν Ἰαείρου τὸ θυγάτριόν ποτε λόγῳ μόνῳ ἀνέπραξα, ἀνθ' ὧν μονογενῆ τῆς χήρας ἤγειρα καὶ τὸν Λάζαρον φωνῇ τρέχοντα τὸν ἄπνουν ἔδειξα πᾶσι; [para]Μὴ τάχα διὰ ταῦτα, μᾶλλον δ' ἀντὶ τούτων πάσχω καὶ θνῄσκω ἵνα χορεύῃ ὁ Ἀδάμ;»

book 9 Ὅτε δὲ ἤκουσεν ὁ λαὸς τῶν μελιρρύτων λόγων, ὡς πικρίας ἐμπλησθεὶς ἀπεκρίθη· «Χάριν τούτων οὐ σταυροῦσαι, ἀλλ' ὡς λύων τὸ σάββατον. —Καὶ τί καλὸν ἄρα, ἐλεῆσαι ἀσθενεῖς ἢ τιμῆσαι τὸ σάββατον; Ἐλύσατε ὑμεῖς πολλάκις σάββατα, καὶ ἐκ κόλπων πατρικῶν οὐ παρεγενόμην χάριν σαββάτων· [para]ἠσθένησεν ἡ φύσις, καὶ βλέπων ἐξ ὕψους τάχος κατῆλθον ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 10 Σάββατον Ἅιδης οὐ δειλιᾷ, τοῦτο οὐ φεύγει νόσος, οὐκ ἰᾶται ἀσθενεῖς, εἰ μὴ μόνος ὁ δεσπότης τοῦ σαββάτου, ἐγὼ ὁ σταυρούμενος. Πολλῶν γὰρ σαββάτων φύλαξ γέγονε τυφλός, καὶ τῷ ζόφῳ συνέζευκτο· ἐτίμησε πολλὰ πολλάκις σάββατα ὁ παράλυτος νοσῶν ὀκτὼ καὶ τριάντα ἔτη τὸ πάρος, [para]ἀλλ' ὅμως οὐκ ἰάθη, κλίνης οὐκ ἠγέρθη ἕως οὗ ἦλθον ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 11 Ψόγον ἠκούσατε ἐκ πολλῶν τῶν παροικούντων κύκλῳ ὡς τηροῦντες σάββατα καὶ νοσοῦντες· τὰ γὰρ ἔθνη πάντως εἶπον· 'Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Τὰς νόσους σοβείτω ἀπ' αὐτῶν ὁ ὑπ' αὐτῶν διὰ νόμου τιμώμενος.' Τοιαῦτα λέγοντες καὶ οἱ ἐχθροὶ ὑμῶν ἐμυκτήρισαν ὑμᾶς ὀνειδίζοντες καὶ καταλαλοῦντες· [para]ἐγὼ δὲ πάντας σώσας τῷ σαββάτῳ πλέον κλέος παρέσχον, ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 12 Ἄδικος ἔδοξα δικαιῶν πόρνην μετανοοῦσαν τὴν τοὺς πόδας τοὺς ἐμοὺς διδασκάλους σωφροσύνης κεκτημένην, τὴν καλῶς μοι πιστεύσασαν, τὴν βρέξασαν ἴχνη ἃ οὐκ ἔβρεξε βυθὸς ψιλοῖς τότε τοῖς δάκρυσιν, τὴν μύρῳ κεφαλὴν ἐμὴν ἀλείψασαν ἣν ὁ Πρόδρομος θιγεῖν ἐφοβήθη ἕως οὗ ἐκελεύσθη, [para]τὴν ταῦτα προδηλοῦσαν ἃ νῦν ὑπομένω θέλων καὶ στέργων ἵνα χορεύῃ ὁ Ἀδάμ.»

book 13 Λέγοντος ταῦτα τοῦ Ἰησοῦ ἤκουσεν αἱμοβόρος ὁ ἀνήμερος λαός, καὶ ὡς λέων ὠρυᾶτο τοῦ ἁρπάσαι τὴν ψυχὴν τοῦ ἀμνοῦ Χριστοῦ. Πιλᾶτος δὲ τούτων τὴν βουλὴν ἀποπληρῶν σὲ τὸν πρᾶον ἐμάστιξεν· ἐπὶ τὸν νῶτόν σου οὕτως ἐτέκταινε, σὺ δὲ τούτου τὴν πλευρὰν βασανίζων ἔδειξας τὴν ἰσχύν σου· [para]γυνὴ γὰρ τούτου τότε ἐδήλου βοῶσα· «Σὸν κριτὴν κρίνεις ἵνα χορεύῃ ὁ Ἀδάμ.»

book 14 Μάστιγας φέρει ὁ λυτρωτής, δέσμιος ἦν ὁ λύτης, γυμνωθεὶς καὶ ἐκταθεὶς ἐπὶ στύλου ὁ ἐν στύλῳ πρὶν νεφέλης Μωϋσεῖ καὶ Ἀαρὼν λαλῶν· ὁ τῆς γῆς τοὺς στύλους στερεώσας, ὡς Δαυὶδ ἔφη, στύλῳ προσδέδεται· ὁ δείξας τῷ λαῷ ὁδὸν εἰς ἔρημον —πύρινος γὰρ πρὸ αὐτῶν ἐφαίνετο

ὁ στύλος—στύλῳ προσήφθη, [para]ἡ πέτρα ἐπὶ στύλου, καὶ λαξεύεταί μοι ἡ ἐκκλησία ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 15 Ὅμως μαστίξας τὸν ἰατρὸν νίπτεται τὰς παλάμας ὁ Πιλᾶτος ἐπ' αὐτῷ, διὰ τούτου προσδοκήσας ἀθῳοῦσθαι, ἀλλ' εὑρέθη ὑπεύθυνος· καὶ γὰρ φραγελλώσας παρεδίδου τῷ σταυρῷ καί· «Ἀθῷός εἰμι» φησί. Τίς ἤκουσέ ποτε φονέως λέγοντος τῇ μαχαίρᾳ ἑαυτοῦ· «Ἐν σοὶ ἀποκτείνας δίκας οὐ δώσω»; [para]Τῷ ξίφει τῶν ἀνόμων χρώμενος Πιλᾶτος σφάττει τὸν κτίστην ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 16 «Σταύρωσον», ἤκουσεν ὁ φονεὺς τῶν ἀσεβῶν κραζόντων, καὶ τὸ θέλημα αὐτῶν ἀπεπλήρου παραδοὺς οὐκ ἐξ ἀνάγκης τὸν βουλήσει σταυρούμενον. Ἀκούσας γὰρ ὅτι «ἔσῃ Καίσαρος ἐχθρός», ἐπτοήθη ὁ δείλαιος· τοῦ παντοκράτορος ἢ γὰρ τοῦ Καίσαρος θέλει εἶναι δυσμενής, τῆς Ζωῆς τὴν ζωὴν νῦν προτιμήσας· [para]ἀθῷος οὖν οὐκ ἔσται ὁ διὰ τῶν ἀνόμων κτείνας τὸν ζῶντα ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 17 Ῥίψας τὸ ἔγκλημα ἐπ' αὐτοὺς κτείνει Χριστὸν δι' αὐτῶν, ὑπουργοὺς αὐτοὺς εὑρὼν τοὺς εἰπόντας 〈ὡσ〉 «τὸ αἷμα αὐτοῦ ἔσται ἐπ' αὐτοὺς σὺν τοῖς τέκνοισιν.» Υἱοῖς μὴ τεχθεῖσιν οἱ πατέρες τῆς ἀρᾶς τὸν χιτῶνα ηὐτρέπισαν, τοῖς γόνοις τῇ πληγῇ πληγὴν προσέθηκαν δίκην ἕλκοντες κακῶν εἰς τὰς γενεὰς αὐτῶν εἰς αἰῶνα· [para]ἡμεῖς δὲ τοῦ σωτῆρος τὸ αἷμα λαβόντες εὕρομεν λύτρον ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 18 Ὤλετο δίψῃ ὁ γηγενής, καύσωνι κατεφλέχθη ἐν ἐρήμῳ πλανηθείς, ἐν ἀνύδρῳ, καὶ ἰάσασθαι τὴν δίψαν οὐχ εὗρεν ὁ δύστηνος· διὸ ὁ σωτήρ μου, ἡ πηγὴ τῶν ἀγαθῶν, ζωῆς νάματα ἔβλυσε βοῶν· «Διὰ τῆς σῆς πλευρᾶς ἐδίψησας· πίε τῆς ἐμῆς πλευρᾶς καὶ οὐ μὴ διψήσεις εἰς τὸν αἰῶνα· [para]διπλοῦν ταύτης τὸ ῥεῖθρον· λούει καὶ ποτίζει τοὺς ῥυπωθέντας ἵνα χορεύῃ ὁ Ἀδάμ.»

book 19 Μήτις οὖν τοῦ Χριστοῦ τὴν πλευρὰν εἴπῃ ψιλοῦ ἀνθρώπου· ἄνθρωπος γὰρ ὁ Χριστὸς καὶ Θεὸς ἦν, οὐ σχιζόμενος εἰς δύο· εἷς ἐστιν ἐξ ἑνὸς πατρός· καὶ πάσχων αὐτὸς ἦν καὶ μὴ πάσχων ὁ αὐτός, θνῄσκων καὶ μὴ νεκρούμενος· θεότητι γὰρ ζῶν, νεκροῦται σώματι· οὗ καὶ τύπος ὁ πατὴρ Ἰσαὰκ ἐγένετο ἐν τῷ ὄρει· [para]ἐσφάγη ἐν ἀρνίῳ καὶ ζῶν κατηνέχθη ὡς ὁ σωτήρ μου, ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 20 Ἄλλος δὲ τύπος τοῦ Ἰησοῦ γέγονεν ὁ προφήτης Ἰωνᾶς ἐν κοιλιᾷ τοῦ κήτους· κατεπόθη, οὐκ ἐπέφθη, ὡς ἐν τάφῳ ὁ Κύριος· ἐκεῖνος ἐξῆλθεν ἐκ τοῦ κήτους μετὰ τρεῖς, ὡς Χριστὸς ἐκ τοῦ μνήματος· ἐκεῖνος Νινευὶ κηρύξας ἔσωσε, πᾶσαν δὲ τὴν γῆν Χριστὸς ἐλυτρώσατο καὶ τὴν οἰκουμένην· [para]τὰ πάντα ἐν προφήταις ἡμῖν προδηλώσας ἦλθε πληρῶσαι ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 21 Νίκην παρέχων τοῖς ταπεινοῖς, δίκην τροπαίου φέρων ἐπὶ ὤμων τὸν σταυρὸν ἐξῆλθε σταυρωθῆναι καὶ σταυρῶσαι τὸν ἡμᾶς κατατρώσαντα. Πληρώσας γὰρ πάντα ἃ ὠφείλαμεν ἡμεῖς, καὶ πρὸς θάνατον ἔτρεχε· ῥαπίσμασί ποτε μορφὴν ὑπέθηκεν ἣν οὐ φέρουσιν ἰδεῖν Σεραφίμ· καλύπτουσι γὰρ τὰς ὄψεις· [para]αἰσχύνης διαπτύων, ἐνεδύθη θέλων χλαίνην εἰς χλεύην ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 22 Ὄξος ἐπότισαν τὴν πηγὴν τῶν γλυκερῶν ναμάτων καὶ χωλὴν ἐπέδωκαν τῷ τὸ μάννα ὑετίσαντι καὶ νᾶμα ἐκ τῆς πέτρας πηγάσαντι· καλάμῳ τὴν κάραν τυπτηθείς, τὴν τῶν ἐχθρῶν ἐξορίαν ὑπέγραφε· γυμνὸς ἐπὶ σταυροῦ ταθεὶς ἀπέδυσε τῆς ζωῆς τοὺς δυσμενεῖς, νεκροῖς τε καὶ ζῶσι γέλωτα δείξας· [para]τοῦ ξύλου κατηνέχθη, σινδόνι εἰλήθη, τάφῳ ἐδόθη ἵνα χορεύῃ ὁ Ἀδάμ.

book 23 Ὕμνησον τοῦτον, ὁ γηγενής, αἴνεσον τὸν παθόντα καὶ θανόντα διὰ σέ, ὃν καὶ ζῶντα μετ' ὀλίγον θεωρήσας τῆς ψυχῆς ἔνδον εἴσδεξαι· τῶν τάφων γὰρ μέλλει ἐξανίστασθαι Χριστὸς καὶ καινίζειν σε, ἄνθρωπε· ψυχὴν οὖν καθαρὰν αὐτῷ εὐτρέπισον, ἵνα ταύτην οὐρανὸν κατοικῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιήσῃ ὁ βασιλεύς σου· [para]μικρὸν ὅσον καὶ ἥξει καὶ χαρᾶς ἐμπλήσει τοὺς λυπηθέντας ἵνα χορεύῃ ὁ Ἀδάμ.

book pro Ψυχή μου, ψυχή μου, ἀνάστα· τί καθεύδεις; [para]Τὸ τέλος ἐγγίζει καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν.

book 1 Τὸ τοῦ Χριστοῦ ἰατρεῖον βλέπων ἀνεῳγμένον καὶ τὴν ἐκ τούτου τῷ Ἀδὰμ πηγάζουσαν ὑγείαν, [para]ἔπαθεν, ἐπλήγη ὁ διάβολος, καὶ ὡς κινδυνεύων ὠδύρετο, καὶ τοῖς αὐτοῦ φίλοις ἀνεβόησε· «Τί ποιήσω τῷ υἱῷ τῆς Μαριάμ; [para]Κτείνει με ὁ Βηθλεεμίτης, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν.

book 2 Ὁ κόσμος ὅλος ἐπλήσθη τῶν αὐτοῦ ἰαμάτων, κἀγὼ τὰ ἔνδοθεν πονῶ, καὶ μάλιστα ἀκούων [para]ὅτι καὶ δωρεὰν ἰατρεύθησαν. Ὁ μὲν γὰρ τὴν λέπραν ἀπέθετο, ὁ δὲ καὶ τὰς κόρας ἐκομίσατο, ἄλλος κλίνην ἐπὶ ὤμοισι λαβὼν χορεύει βοῶν· ‘Ἤγειρέ με ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.‘

book 3 Ὑμεῖς οὖν, φίλοι τῆς ζάλης καὶ ἐχθροὶ τῆς γαλήνης, τί συμβουλεύετέ μοι νῦν ποιῆσαι τῷ τοιούτῳ; [para]Δότε λογισμὸν τῇ διανοίᾳ μου· καὶ γὰρ συνεχύθην, ἀπόλωλα, οὐδὲν ἐνθυμοῦμαι, οὐ γὰρ δύναμαι· κατεπλάγην, ἠμαυρώθη μου ὁ νοῦς· ἐξαίφνης 〈γὰρ〉 ἐθάμβησέ με ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.»

book 4 Τοιαῦτα τότε λαλήσας πρὸς τοὺς αὐτοῦ ὁ πλάνος, εὐθὺς ἀκούει παρ’ αὐτῶν· «Βελίαρ, μὴ δειλία· [para]θάρσησον, κραταίωσον τὰς φρένας σου· τῶν πρώτων καμάτων μνημόνευε· τὰ ἐν παραδείσῳ ἀνακαίνισον· τοῖς τοῦ Κάϊν ἐὰν πάλιν κολληθῇς, ὡς Ἄβελ ἀνελεῖται δόλῳ ὁ πανταχοῦ 〈παρὼν καὶ τὰ πάντα πληρῶν.〉

book 5 Ἀκμήν εἰσιν ἐν τῷ κόσμῳ τῆς σπορᾶς τοῦ φονέως καὶ ἱερεῖς καὶ γραμματεῖς, Ἰούδας καὶ Καϊάφας· [para]τί ὀλιγωρεῖς ὡς ἀπερίστατος; Ἡρώδης σου φίλος διάπυρος· Πιλᾶτος δὲ πλέον θεραπεύει σε· τὰς ἀρχαίας ὑπουργίας σου εὑρών, μὴ κλαῖε βοῶν· ‘Ἔλυσέ με ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.‘

book 6 Πολλῶν σου γέμει δραμάτων πᾶσα ἡ οἰκουμένη· εἰς γενεὰν καὶ γενεὰν λαλεῖται ἡ ἰσχύς σου· [para]πῶς οὖν νῦν σαυτὸν ἐταλαιπώρησας; Οἱ κατακλυσθέντες 〈τοῖς〉 ὕδασιν 〈καὶ〉 οἱ ἐμπρησθέντες σὲ γνωρίζουσιν· ὡς οὖν πάντες ἀπεγεύσαντο τῶν σῶν, [para]καὶ οὗτος αὐτῶν ἀπολαύσει ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν〉.»

book 7 Εὐθὺς δὲ τούτων ἀκούσας ὁ διάβολος ἥσθη καὶ χαίρων ἔφη τοῖς αὐτοῦ· «Εὐφράνθην, ὦ φίλοι, [para]ὅτι τοῖς ἐμοῖς με ἐστηρίξατε· διὸ θαρσαλέως πορεύομαι καὶ τοῖς Ἰουδαίοις συμβάλλομαι, ἵν’ ἐκείνους ἐξαρτήσας τοῖς ἐμοῖς [para]διδάξω βοᾶν· ‘Σταυρωθήτω ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.‘

book 8 Ἰδοὺ δὴ τῶν Ἰουδαίων τὸ συνέδριον βλέπω καθ’ ἑαυτὸ ἀδολεσχοῦν καὶ ἀπησχολημένον· [para]τάχα ἃ λογίζομαι βουλεύονται. Ἐγγίσας οὖν εἴπω· ‘Ἀνδρίζεσθε, ὅτι τὴν βουλήν μου προλαμβάνετε· ἐπειδὴ οὖν σπουδαιότεροί ἐστε, τί λέγετε νῦν ἵνα πάθῃ ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν;‘

book 9 Νὺξ τῇ νυκτὶ ἀναγγέλλει γνῶσιν 〈τὴν〉 ζοφοφόρον· τῷ Σατανᾷ τὰ ἑαυτῶν δηλοῦσιν Ἰουδαῖοι [para]λέγοντες· «Ἀπόθου τὴν φροντίδα σου· ἃ εἶχες τελέσαι, ἐτελέσαμεν· μηδέν σοι μελήσῃ, ἀμερίμνησον· παρεδόθη καὶ ἠρνήθη Ἰησοῦς, [para]ἐδέθη, ἐδόθη Πιλάτῳ ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.

book 10 —Οὐχ ὡς ῥαθύμοις προσέχων ἦλθον, ὦ Ἰουδαῖοι· καὶ γὰρ γινώσκω τὴν ὑμῶν σπουδὴν τὴν περὶ ταῦτα· [para]μέμνημαι τῶν πρώτων ὧν ἐπράξατε, ὡς μάννα φαγόντες ἠρνήσασθε καὶ γάλα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιόντες ἐψεύσασθε· οἱ οὖν μόσχον προτιμήσαντες Θεοῦ, τί θέλετε 〈νῦν〉 ἵνα πάθῃ ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν;

book 11 Ὑπὲρ ὑμῶν τῷ στρατῷ μου ἐγὼ ἀπολογοῦμαι ὅτι ἡμέτεροί ἐστε ἐξ ὅλης διανοίας· [para]μόνον δὲ τῷ στόματι μισεῖτέ με· καὶ χαίρω ἐν τούτῳ τῷ σχήματι· πολλοὺς γὰρ ἐκ τούτου συναρπάζετε, ἵν’ ἐγὼ μὲν ἐν τοῖς λόγοις μισηθῶ, ἐκεῖνος δὲ καὶ ἐν τοῖς ἔργοις ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.

book 12 Ῥητὰ τοῦ νόμου Μωσέως βλέπω ὅτι κρατεῖτε, ἀλλὰ μὴ σφίγξητε αὐτὰ ἐντὸς τῆς διανοίας· [para]γλώσσῃ καὶ μὴ γνώμῃ περιφέρετε· χερσὶ τὰ βιβλία βαστάζετε, φρεσὶ δὲ μηδ’ ὅλως αὐτῶν θίγετε· ἀναγνώστας καὶ μὴ γνώστας τῶν γραφῶν [para]καλείτω ὑμᾶς καὶ ἡγείσθω ὁ πανταχοῦ 〈παρὼν καὶ τὰ πάντα πληρῶν.〉 »

book 13 Ὡς οὖν ἐστήριξε τούτοις τοὺς ἀνόμους ὁ πλάνος καὶ τὸν θεμέλιον αὐτῶν ἐνέθηκε τῇ ψάμμῳ, [para]ἔδραμε σαλεῦσαι καὶ τὸν Θάνατον· πρὸς ὃν ἐλθὼν εἶπεν· «Ἀνάστηθι καὶ οἷς ἀπαγγέλλω ἐπευφράνθητι· παρεδόθη καὶ ἠρνήθη Ἰησοῦς, [para]ἐδέθη, ἐδόθη Πιλάτῳ ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.

book 14 —Μετὰ πολλῆς ἡδονῆς μοι λέγεις τοῦτο, ὦ δαῖμον· ἐγὼ δὲ μόνον εἶδόν σε ὀδύνης ἐνεπλήσθην, [para]φόβῳ ἐνθυμούμενος τὰ δεύτερα. Ὁ γὰρ σιωπήσας ὡς κρίνεται φιμῶσαί με ἔχει ἐν τῷ θάπτεσθαι· εἰ Πιλάτῳ οὐκ ἐλάλησεν οὐδέν, τὰ κάτω σαλεῦσαι σπουδάζει ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.»

book 15 Ἀκούσας ταῦτα ὁ δαίμων γέλωτος ἐνεπλήσθη, καὶ τῷ Θανάτῳ ὡς δειλῷ ἐμβλέψας ἀπεκρίθη· [para]«Ἤδη σε καὶ ἄτονον καὶ ἄθλιον ἐκ τῶν τοῦ Λαζάρου ἐπίσταμαι καὶ ἐκ τῶν ἄλλων πάντων ὧν ἀφῄρησαι, ὅτι τρέμεις καὶ τὴν φήμην Ἰησοῦ, [para]καὶ δοῦλόν σε ἀχρεῖον ἔχει ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν〉.

book 16 —Νῦν ὀνειδίζων με λέγεις ὅπερ λέγεις, ὦ δράκον· ἐγὼ δὲ πλέον οἶδά σε φοβούμενον καὶ τρέμω, [para]οἶδα καὶ δονούμενον καὶ τρέμοντα. Οὐκ ἐκ τῶν μνημάτων σὲ ἀπήλασεν; Οὐ τῆς Χαναναίας ἀπεδίωξε; Μετὰ ταῦτα τοῦ ἀλάλου καὶ κωφοῦ [para]ἀλλότριον ἐποίησέ σε ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν〉.

book 17 —Οὐκ ἀγνοῶ ὅπερ λέγεις· ἔγνων καὶ παρὰ γνώμην ὅτι ἀήττητος Χριστὸς ἐν φύσει νικωμένῃ· [para]ὅμως δὲ τῆς πάλης οὐκ ἀφίσταμαι· ἠρξάμην γὰρ ἤδη τοῦ σκάμματος· ἐὰν οὖν ἐκφύγω, καταισχύνομαι. Ἀνδριζέσθω Ἰουδαίων ὁ αὐχὴν [para]ὃν πάλαι καὶ νῦν οὐ κατέγνυ ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν〉.

book 18 Ὑπάγω οὖν πρὸς ἐκείνους τοὺς τὰ πάντα τολμῶντας, καὶ τὴν αὐθάδειαν αὐτῶν φορῶν ὡς θωρακεῖον [para]τῷ Βηθλεεμίτῃ ἀντιτάσσομαι· ἀεὶ Βηθλεὲμ μοι ἀντίκειται, τὸ γέννημα ταύτης ἀεὶ βλάπτει με· ἐκεῖθεν γὰρ Δαβὶδ καὶ ὁ ἐκ Δαβὶδ [para]ἔφυγε καὶ ἐφυγάδευσέ με ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν.〉 »

book 19 Ἀπερχομένου δὲ ἤδη τοῦ πικροῦ πρὸς τοὺς χείρω, ἐπῆρεν ἄνω τὴν φωνὴν ὁ Θάνατος καὶ εἶπε· [para]«Βλέπε μοι τί πράττεις, πολυμήχανε· ἐμοὶ τῷ Θανάτῳ μὴ πρόσεχε· οὐ γὰρ κοινωνῶ σοι τοῦ τολμήματος· ἐὰν νεύσῃ, προσεγγίζω τῷ σταυρῷ· εἰ μὴ γὰρ θελήσει, οὐ θνῄσκει ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.»

book 20 Ἰδὼν δὲ ταῦτα ὁ δράκων, τοῦ Θανάτου τὸν φόβον, τοῖς Ἰουδαίοις προσελθών, εὑρίσκει ἃ ἐζήτει· [para]ἦραν γὰρ αὐτὸν καὶ ἐθεράπευσαν κραυγάζοντες· «Δεῦρο καὶ θεώρησον τὸν σὲ καὶ τὸν κόσμον θορυβήσαντα· μετὰ ὕβρεις, μετὰ μάστιγας πολλάς, [para]ὡς σάλπιγξ ἐν τῷ ξύλῳ κεῖται ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.

book 21

Νέον δὲ ἄλλο ἂν μάθῃς, πλέον ἔχεις γελάσαι· εἷς τῶν λῃστῶν τῶν μετ’ αὐτοῦ δικαίως σταυρωθέντων [para]κράζει αὐτῷ· ‘Μνήσθητί μου, Κύριε.‘» Ἀκούσας δὲ ταῦτα ἐστύγνασε καὶ κάμψας τὴν κάραν ἐκραύγασεν· «Εἰ ἐν ξύλῳ μαθητὰς χειροτονεῖ, [para]ἐν τάφῳ παιδευτὰς καθίσει ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα 〈πληρῶν.〉

book 22 Οὐκοῦν οὐδὲν ἠδικήθη Ἰησοῦς ἐκ τοῦ πάθους, ἐγὼ δὲ μᾶλλον ἑαυτῷ ἐπλήθυνα τοὺς γόους· [para]Θάνατε, καλῶς μοι οὐ συνῄνεσας· κάλλιον δὲ πράξεις, ἐὰν φείσῃ μου καὶ λάβῃς με κάτω καὶ παιδεύσῃς με· οὐ γὰρ φέρω τὴν αἰσχύνην τὴν πολλὴν [para]ἣν ἔδωκέ μοι ἐκ τοῦ ξύλου ὁ πανταχοῦ 〈παρὼν καὶ τὰ πάντα πληρῶν.〉»

book 23 Σωτὴρ ἁπάντων ἀνθρώπων, μάλιστα πιστευόντων, ὅτι βουλῇ ἐσταυρώθης καὶ γνώμῃ ἐνεκρώθης [para]λέγουσι μὴ θέλοντες οἱ ἄνομοι· λῃστῶν 〈γὰρ〉 τὰ σκέλη κατεάξαντες, τὰ σὰ οὐ κατέαξαν, ἵνα μάθωσιν ὅτι ἄκων οὐκ ἐγένου ἐν νεκροῖς, ἑκὼν δὲ ἀφῆκες τὸ πνεῦμα, ὁ πανταχοῦ 〈παρὼν καὶ〉 τὰ πάντα πληρῶν.

book pro 1 Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε, παράδοξος δέσις, τὸ ξύλον τοῦ σταυροῦ· [para]θανάτου τὸ κέντρον καὶ ᾄδου τὸ νῖκος ἐνήλωτο· ἐπέστης δέ, σωτήρ μου, βοῶν τοῖς ἐν ᾄδῃ· «Εἰσάγεσθε πάλιν εἰς τὸν παράδεισον.»

book pro 2 Ὡς ἀληθῶς λύτρον ἀντὶ πολλῶν προσηλωθεὶς τῷ τύπῳ τοῦ σταυροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξηγοράσω ἡμᾶς· [para]τῷ τιμίῳ γὰρ φιλανθρώπως αἵματι τὰς ψυχὰς ἡμῶν ἐκ θανάτου ἥρπασας, συνεισενέγκας ἡμᾶς πάλιν εἰς τὸν παράδεισον.

book pro 3 Τὰ οὐράνια καὶ τὰ ἐπίγεια συγχαίρουσι δικαίως τῷ Ἀδὰμ [para]ὅτι κέκληται πάλιν εἰς τὸν παράδεισον.

book 1 Τρεῖς σταυροὺς ἐπήξατο ἐν Γολγοθᾶ ὁ Πιλᾶτος, [para]δύο τοῖς λῃστεύσασι καὶ ἕνα τῷ ζωοδότῃ· [para]ὃν εἶδεν ὁ Ἅιδης καὶ εἶπε τοῖς κάτω· «Ὦ λειτουργοί μου καὶ δυνάμεις μου, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; Ζυλίνη με λόγχη ἐκέντησεν ἄφνω καὶ διαρρήσσομαι· [para]τὰ ἔνδον πονῶ, τὴν κοιλίαν μου ἀλγῶ· [para]τὰ αἰσθητήριά μου· μαιμάσσει τὸ πνεῦμά μου, καὶ ἀναγκάζομαι ἐξερεύξασθαι τὸν Ἀδὰμ καὶ τοὺς Ἀδὰμ ξύλῳ δοθέντας μοι·

book 1 ξύλον τούτους εἰσάγει πάλιν εἰς τὸν παράδεισον.»

book 2 Ὅτε τούτων ἤκουσεν ὁ δολιόβουλος ὄφις, ἔδραμε συρόμενος καὶ κράζει· «Ἅιδη, τί ἔχεις; Τί μάτην στενάζεις; Τί λόγους προσφέρεις; Τοῦτο τὸ ξύλον ὅπερ ἔφριξας τῷ ἐκ Μαρίας ἄνω ἐτεκτόνευσα· ἐγὼ Ἰουδαίοις ὑπέδειξα τοῦτο πρὸς τὸ συμφέρον ἡμῖν· [para]ἔστι γὰρ σταυρὸς ᾧ προσήλωσαν Χριστόν· [para]ξύλῳ γὰρ θέλω ἀνελεῖν τὸν Ἀδὰμ τὸν δεύτερον. Μὴ οὖν ταράξῃ σε, οὐχ ἁρπάσει σε·

book 2 μεῖνον ἔχων οὓς κρατεῖς; ὧν γὰρ δεσπόζομεν οὐδὲ εἷς ἀποφεύγει πάλιν εἰς τὸν παράδεισον.

book 3 —Ὕπαγε, ἀνάνηψον, Βελίαρ, κράζει ὁ Ἅιδης· [para]δράμε, ἀποκάλυψον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε [para]τοῦ ξύλου τὴν ῥίζαν ἐντὸς τῆς ψυχῆς μου· κάτω κατῆλθεν εἰς τὰ βάθη μου ἵν’ ἀνασπάσῃ τὸν Ἀδὰμ ὡς σίδηρον. Τὴν τούτου εἰκόνα ποτὲ Ἐλισσαῖος προεζωγράφησεν [para]ἐκ τοῦ ποταμοῦ τὴν ἀξίνην ἀνελών· [para]τῷ ἐλαφρῷ τὸ βαρὺ ὁ προφήτης εἵλκυσε, προοιμιάζων σοι καὶ διδάσκων σε ὅτι ξύλῳ ὁ Ἀδὰμ μέλλει ἀνάγεσθαι ἀπὸ ταλαιπωρίας πάλιν εἰς τὸν παράδεισον.

book 4 —Τίς τοιαύτην ἔννοιαν ὑπέθετό σοι, ὦ Ἅιδη; [para]Πόθεν ἐδειλίασας ἐν φόβῳ οὗ οὐκ ἦν φόβος, [para]ἐκ ξύλου ἀτίμου, ξηροῦ καὶ ἀκάρπου, τοῦ γενομένου πρὸς ἀναίρεσιν τῶν κακουργούντων καὶ χαιρόντων αἵμασι; Πιλᾶτος γὰρ τοῦτο ἐφεῦρε, πεισθείς μου τοῖς συμβουλεύμασι, [para]καὶ τρέμεις αὐτό, καὶ ἡγεῖσαι δυνατόν; Τὸ τιμωρὸν πανταχοῦ παρὰ σοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σωτήριον; Τίς ὁ πλανήσας σε; Τίς δ' ὁ πείσας σε ὅτι ξύλῳ ὁ πεσὼν ξύλῳ ἀνίσταται καὶ καλεῖται οἰκῆσαι πάλιν εἰς τὸν παράδεισον;

book 5 —Ἄφρων ἄφνω γέγονας, ὁ πρώην φρόνιμος ὄφις· [para]πᾶσα ἡ σοφία σου διὰ σταυροῦ κατεπόθη [para]καὶ ἐν τῇ παγίδι τῇ σῇ ἐζωγρεύθης· ἆρον τὸ ὄμμα καὶ θεώρησον ὅτι εἰς βόθρον ὃν εἰργάσω ἔπεσας. Ἰδοὺ γὰρ τὸ ξύλον ἐκεῖνο, ὃ λέγεις ξηρὸν καὶ ἄκαρπον, [para]βλαστάνει καρπὸν οὗ γευσάμενος λῃστὴς [para]τῶν ἀγαθῶν τῆς Ἐδὲμ κληρονόμος γέγονεν· ὑπὲρ τὴν ῥάβδον γὰρ τὴν ἐξάξασαν ἐξ Αἰγύπτου τὸν λαὸν τοῦτο ἐνήργησε· τὸν Ἀδὰμ γὰρ εἰσάγει πάλιν εἰς τὸν παράδεισον.

book 6 —Παῦσαι, Ἅιδη ἄθλιε, δειλῶν ἀπόσχου ῥημάτων· [para]οὗτοι γὰρ οἱ λόγοι σου τοὺς λογισμούς σου δηλοῦσι· [para]σταυρὸν ἐφοβήθης καὶ τὸν σταυρωθέντα, ὧν οὐδὲ εἷς με παρεσάλευσε· τῆς γὰρ βουλῆς μου δράματα ὑπάρχουσιν· θελήσω δὲ πάλιν καὶ μνῆμα ἀνοίξω καὶ ἐντυμβεύσω Χριστόν, [para]ἵν' οὕτως ἔχῃς τὴν δειλίαν σου διπλῆν, [para]ἀπὸ τοῦ τάφου αὐτοῦ ὡς ἐκ τοῦ σταυροῦ αὐτοῦ· ἐγὼ δὲ βλέπων σε ἐγγελάσω σε·

book 6 θαπτομένου γὰρ Χριστοῦ, ἔρχομαι λέγων σοι· 'Τὸν Ἀδὰμ τίς εἰσάγει πάλιν εἰς τὸν παράδεισον;'»

book 7 Ἔκραξε δὲ ἄθροον πρὸς τὸν διάβολον Ἅιδης· [para]πῆρος τῷ μὴ βλέποντι, τυφλὸς τυφλῷ λέγει· «Βλέψον, [para]ἐν σκότει πορεύει, ψηλάφα μὴ πέσῃς· νόει ὃ λέγω, βαρυκάρδιε, ὅτι ὃ πράττεις ἔσβεσε τὸν ἥλιον. Αὐτὸ γὰρ τὸ ξύλον εἰς ὃ ἐγκαυχᾶσαι τὸ πᾶν ἐσάλευσεν, [para]ἐκλόνησε γῆν, ἐκάλυψεν οὐρανόν, ἔρρηξε πέτρας ὁμοῦ καὶ τὸ καταπέτασμα, καὶ τοὺς ἐν μνήμασιν ἐξανέστησε, καὶ βοῶσιν οἱ νεκροί· "Ἅιδη, κατάλαβε·

book 7 ὁ Ἀδὰμ γὰρ ὑπάγει πάλιν εἰς τὸν παράδεισον.'

book 8 —Ἴσχυσε πτοῆσαί σε τοῦ Ναζωραίου τὸ ξύλον;» [para]ἔφη ὁ διάβολος πρὸς τὸν ὀλέθριον Ἅιδην. [para]«Σταυρῷ ἐνεκρώθης ὁ πάντας νεκρώσας; Ὅλως εἰ ξύλον σε ἐπτόησε, ἔδει σε φρῖξαι τοῦ Ἀμὰν τὴν σταύρωσιν κἀκεῖνον τὸν πάσσαλον ᾧπερ ἀνεῖλε τὸν Σισάρα Ἰαὴλ [para]καὶ πέντε σταυροὺς οἷς προσήλωσέ ποτε [para]τοὺς τυραννοῦντας αὐτῷ Ἰησοῦς ὁ τοῦ Ναυῆ· περισσοτέρως δὲ πτοησάτω σε τὸ φυτὸν τὸ ἐν Ἐδέμ, ὅτι ἐξήγαγε τὸν Ἀδὰμ καὶ οὐκ εἰσάγει πάλιν εἰς τὸν παράδεισον.

book 9 —Νῦν καιρὸς ἀνοῖξαί σοι τὰς ἀκοάς σου, Βελίαρ· [para]νῦν ἡ ὥρα δείξει σοι τὴν τοῦ σταυροῦ δυναστείαν [para]καὶ τοῦ σταυρωθέντος πολλὴν ἐξουσίαν. Σοὶ μὲν μωρία ὁ σταυρός ἐστι, πάσῃ δὲ κτίσει θρόνος τεθεώρηται ἐν ᾧ Ἰησοῦς ἡλωμένος, καθάπερ ἐπικαθήμενος, ἀκούει λῃστοῦ ἐκβοῶντος πρὸς αὐτόν· [para]'Κύριε, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου.' Καὶ ἀποκρίνεται ὡς ἐκ βήματος ὅτι· 'Σήμερον, πτωχέ, συμβασιλεύσεις μοι· μετ' ἐμοῦ γὰρ εἰσέρχῃ πάλιν εἰς τὸν παράδεισον.'»

book 10 Ὅτε τούτων ἤκουσεν ὁ πολυμήχανος δράκων, [para]ὥρμησε τρυχόμενος καὶ ἅπερ ἤκουσεν εἶδε, [para]λῃστὴν μαρτυροῦντα Χριστῷ μαρτυροῦντι· ὅθεν πρὸς ταῦτα ἐκπληττόμενος, τύπτει τὸ στῆθος καὶ διαλογίζεται· «Λῃστῇ ὁμιλεῖ, καὶ τοῖς κατηγοροῦσιν οὐκ ἀποκρίνεται· [para]Πιλᾶτόν ποτε οὐδὲ λόγου ἀξιῶν, [para]νῦν προσφωνεῖ τῷ φονεῖ λέγων· 'Δεῦρο τρύφησον.' Τί τὸ γενόμενον; Τί ἑώρακεν ἐν σταυρῷ πρὸς τὸν λῃστήν, ἔργα ἢ ῥήματα, διὰ ποῖον λαμβάνει τοῦτον εἰς τὸν παράδεισον;»

book 11 Ὕψωσε δὲ δεύτερον φωνὴν ἰδίαν ὁ δαίμων [para]κράζων· «Ἅιδη, δέξαι με, πρὸς σὲ ἡ ἀποστροφή μου· [para]τὰ σὰ γὰρ ὑπέστην τοῖς σοῖς μὴ πιστεύσας. Εἶδον τὸ ξύλον ὅπερ ἔφριξας πεφοινιγμένον αἵματι καὶ ὕδατι καὶ ἔφριξα, οὐκ ἐκ τοῦ αἵματος λέγω, ἀλλ' ἐκ τοῦ ὕδατος· [para]τὸ μὲν γὰρ δηλοῖ τὴν σφαγὴν τοῦ Ἰησοῦ, [para]τὸ δὲ τὴν τούτου ζωήν· ἡ ζωὴ γὰρ ἔβλυσεν ἐκ τῆς πλευρᾶς αὐτοῦ· οὐχ ὁ πρῶτος γάρ, ἀλλ' ὁ δεύτερος Ἀδὰμ Εὔαν ἐβλάστησε, τὴν μητέρα τῶν ζώντων, πάλιν εἰς τὸν παράδεισον.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 12 Ῥήμασι χρησάμενος τοιούτοις ὁ παμπανοῦργος [para]μόλις ὡμολόγησε συμπεπτωκέναι τῷ Ἅιδῃ· [para]ἀμέλει γοῦν ἅμα θρηνοῦσι τὸ πτῶμα· «Τί, φησί, τοῦτο ὃ ὑπέστημεν; Πόθεν τῷ ξύλῳ τούτῳ ἐνεπέσαμεν; Εἰς ὄλεθρον ἡμῶν ἡ τούτου φυτεία ἐνερριζώθη τῇ γῇ· [para]στελέχη πικρὰ ἐγκεντρίσαντες αὐτῷ, [para]τὸν ἐν αὐτῷ γλυκασμὸν οὐ μετεποιήσαμεν. —Οἴμοι συνόμιλε. —Οἴμοι σύντροφε· ὡς ἐπέσαμεν ὁμοῦ, οὕτω πενθήσωμεν· ὁ Ἀδὰμ γὰρ ὑπάγει πάλιν εἰς τὸν παράδεισον.

book 13 Ὢ πῶς οὐκ ἐμνήσθημεν τῶν τύπων τούτου τοῦ ξύλου· [para]πάλαι γὰρ ἐδείχθησαν πολυμερῶς, πολυτρόπως, [para]ἐν τοῖς σῳζομένοις καὶ ἀπολλυμένοις. Ζύλῳ ὁ Νῶε διεσῴζετο, κόσμος δὲ ὅλος ἀπειθήσας ὤλετο· Μωσῆς δι’ αὐτοῦ ἐδοξάσθη, τὴν ῥάβδον καθάπερ σκῆπτρον λαβών, [para]ἡ Αἴγυπτος δὲ ταῖς πληγαῖς ταῖς ἐξ αὐτοῦ [para]ὥσπερ βαθείαις πηγαῖς ἐμπεσοῦσα πνίγεται. Ἃ νῦν γὰρ ἔπραξε, πάλαι ἔδειξεν ἐν εἰκόνι ὁ σταυρός· τί οὖν οὐ κλαίομεν;

book 13 Ὁ Ἀδὰμ γὰρ ὑπάγει πάλιν εἰς τὸν παράδεισον.

book 14 —Μεῖνον, Ἅιδη ἄθλιε», στενάζων ἔφη ὁ δαίμων. [para]«Σίγησον, καρτέρησον, ἐπίθες στόματι χεῖραν· [para]φωνῆς γὰρ ἀκούω χαρὰν μηνυούσης· ἦχός μοι ἦλθεν ἀγαθάγγελος, κτύπος ῥημάτων ὥσπερ φύλλων τοῦ σταυροῦ· Χριστὸς γάρ, ὡς μέλλων νεκροῦσθαι, ἐβόα τὸ ‘Πάτερ, ἄφες αὐτοῖσ‘· [para]ἀλλ’ ἔθλιψέ με τὸ μετέπειτα εἰπὼν [para]ὅτι ‘Οὐκ οἴδασι τί ποιοῦσιν οἱ ἄνομοι.‘ Ἡμεῖς δὲ οἴδαμεν ὅτι κύριος δόξης ἐστὶν ὁ παθὼν καὶ ὅτι βούλεται τὸν Ἀδὰμ εἰσενέγκαι πάλιν εἰς τὸν παράδεισον.

book 15 —Ἆρα ὅπερ ἔδειξε τῷ Μωϋσῇ ὁ δεσπότης [para]ξύλον ὃ ἐγλύκανε ποτὲ τὸ ὕδωρ εἰς Μέρραν, ἐδίδαξε τί ἦν καὶ τίνος ἡ ῥίζα; τότε οὐκ εἶπεν· οὐ γὰρ ἤθελε· νῦν δὲ τοῖς πᾶσι τοῦτο ἐφανέρωσεν. Ἰδοὺ γὰρ τὰ πάντα ἡδύνθη, ἡμεῖς δὲ παρεπικράνθημεν· [para]ἐκ ῥίζης ἡμῶν ἀνεβλάστησε σταυρὸς [para]ὃς ἐνεβλήθη τῇ γῇ καὶ γλυκεῖα γέγονεν· ἡ ἀνατείλασα τὰς ἀκάνθας πρὶν νῦν ὡς ἄμπελος Σωρὴχ κλάδους ἐξέτεινε μεταφυτευομένους πάλιν εἰς τὸν παράδεισον.

book 16 —Νῦν οὖν, Ἅιδη, στέναξον, καὶ συμφωνῶ σοι τοῖς γόοις· [para]κλαύσωμεν θεώμενοι ὃ ἐφυτεύσαμεν δένδρον [para]μεταβεβλημένον εἰς ἅγιον πρέμνον, οὗ ὑποκάτω κατεσκήνωσαν καὶ ἐπὶ κλάδοις τούτου ἐννοσσεύουσι λῃσταί, φονευταὶ καὶ τελῶναι καὶ πόρναι, ἵνα τρυγήσωσι [para]καρπὸν γλυκασμοῦ ἀπὸ τοῦ δῆθεν ξηροῦ· [para]ὡς γὰρ φυτῷ τῆς ζωῆς τῷ σταυρῷ προσπλέκονται, ἐπερειδόμενοι καὶ νηχόμενοι ἐκπερῶσι δι’ αὐτοῦ καὶ προσορμίζονται, ὡς εἰς εὔδιον κόλπον, πάλιν εἰς τὸν παράδεισον.

book 17 —Ὄμοσον οὖν, τύραννε, λοιπὸν μηδένα σταυρῶσαι. [para]—Στῆσον καὶ σύ, Τάρταρε, βουλὴν μηδένα νεκρῶσαι· [para]ἐλάβομεν πεῖραν, συστείλωμεν χεῖραν· γένηται ἡμῖν ὃ ὑπέστημεν πρὸς ἐπιστήμην εἰς τὰ ἐπερχόμενα· μηδεὶς ἐξ ἡμῶν τοῦ λοιποῦ τυραννήσῃ κατὰ τοῦ γένους Ἀδὰμ [para]ἐσφράγισται γὰρ τῷ σταυρῷ ὡς θησαυρὸς [para]ἔχων ἐν σκεύει φθαρτῷ μαργαρίτην ἄσυλον, ὃν ἐπὶ τοῦ σταυροῦ ἀπεσύλησεν εὐφυέστατος λῃστής· κλέψας καθήλωτο καὶ λῃστεύσας ἐκλήθη πάλιν εἰς τὸν παράδεισον.»

book 18 Ὕψιστε καὶ ἔνδοξε Θεὲ πατέρων καὶ νέων, [para]γέγονε τιμὴ ἡμῶν ἡ ἑκουσία σου ὕβρις· [para]ἐν γὰρ τῷ σταυρῷ σου καυχώμεθα πάντες· τούτῳ τὰς φρένας προσηλώσωμεν, ἵν’ ἐπὶ τούτῳ ὄργανα κρεμάσωμεν καὶ ᾄσωμεν σοί, τῷ τῶν ὅλων κυρίῳ, ἐκ τῶν ᾠδῶν τῆς Σιών. [para]Ἡ ναῦς ἐκ Θαρσὶς ἀπεκόμιζέ ποτε [para]τῷ Σολομῶντι χρυσὸν ἐν καιρῷ, ὡς γέγραπται· ἡμῖν τὸ ξύλον σου ἀποδίδωσι καθ’ ἡμέραν καὶ καιρὸν πλοῦτον ἀτίμητον·

book 18 τοὺς γὰρ πάντας εἰσάγει πάλιν εἰς τὸν παράδεισον.

book pro Τὸ σεβάσμιον ξύλον προσκυνοῦντες [para]τοῦ τιμίου σταυροῦ σου, Χριστὲ ὁ Θεός, [para]δυσωποῦμέν σε, Κύριε, τὸν ἐν αὐτῷ προσηλωθέντα· κινδύνων ἐλευθέρωσον τὸ γένος τῶν ἀνθρώπων διὰ τῆς Θεοτόκου δι’ ἧς Ἀδὰμ ἀνεκλήθη πάλιν ἐν τῷ παραδείσῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1 Τὸ τρισμακάριστον ξύλον, τὸ δῶρον τῆς ζωῆς ἡμῶν, ἐν μέσῳ τοῦ παραδείσου ἐφύτευσεν ὁ ὕψιστος, [para]ἵνα τούτῳ προσεγγίζων τῆς αἰωνίου καὶ ἀθανάτου ὁ Ἀδὰμ τύχῃ ζωῆς. Ἀλλ' ἐκεῖνος μὲν οὐκ ἐσπούδασε γνωρίσαι τὴν ζωὴν αὐτοῦ, καὶ ταύτης διήμαρτε καὶ τὸν θάνατον ἔδηξε· λῃστὴς δὲ ἰδὼν τοῦτο ἐν Ἐδὲμ τὸ φυτὸν ἐν τῷ Γολγοθᾷ πῶς μετεφυτεύθη καλῶς, [para]τὴν ζωὴν ἐγνώρισε τὴν ἐν αὐτῷ καὶ λέγει πρὸς ἑαυτόν·

book 1 «Τοῦτό ἐστιν ὅπερ πρώην ὁ πατήρ μου ἀπώλεσεν [para]ἐν τῷ παραδείσῳ.»

book 2 Ὅτε γὰρ οὗτος ὑψώθη ἐν ξύλῳ ὁ κατάκριτος καὶ πίστει ἐδικαιώθη καὶ ταύτην ὡμολόγησε, [para]διηνοίχθη τῆς καρδίας αὐτοῦ τὸ ὄμμα, καὶ ἐθεώρει τὴν τρυφὴν τὴν ἐν Ἐδέμ· ἐν 〈τῷ〉 μέσῳ δὲ ἐθεάσατο τὸν τύπον ἐξαστράπτοντα ὃν ἔβλεπεν ἔχοντα τὸν σταυρὸν ὃν ἐπήξαντο· ἰσόμετρος γὰρ πάσης ἡλικίας ἐστὶν ἀνθρώπων θνητῶν, τοῦτο τὸ φυτὸν τῆς ζωῆς· [para]τὴν αὐτὴν δὲ ἔβλεπε λάμπειν ζωὴν ἐν ἀμφοτέροις φυτοῖς καὶ στενάζει ὅτι ταύτης ὁ Ἀδὰμ ἀπωλίσθησεν [para]ἐν τῷ παραδείσῳ.

book 3 Ὑπὸ χαρᾶς τε καὶ λύπης κατείχετο κρεμάμενος· τὴν μὲν ζωὴν ἐθεώρει ἐν ξύλῳ καὶ εὐφραίνετο, [para]τὸν Ἀδὰμ δ' εἰς ἀρρωστίαν ὁρῶν συμπάσχει, καταφρονήσας τῆς πληγῆς τῆς ἑαυτοῦ. Ἀλλὰ γνοὺς Χριστὸς τὴν διάνοιαν τοῦ ὁμολογητοῦ αὐτοῦ· «Μὴ στέναζε, ἔλεγε, τὸν Ἀδὰμ τὸν προπάτορα· ἐγὼ γάρ εἰμι δεύτερος Ἀδὰμ ἀληθὴς καὶ ἦλθον ἑκὼν σῶσαι τὸν Ἀδὰμ τὸν ἐμόν· [para]ἐγὼ τούτῳ δέδωκα πᾶσαν τρυφὴν σὺν τῷ ξύλῳ τῆς ζωῆς, ἀλλ' ἐκεῖνος στασιάσας τὴν κατάραν ἐκτήσατο ἐν τῷ παραδείσῳ.

book 4 Τούτου οὖν χάριν κατῆλθον ἐξ ὕψους ὡς φιλάνθρωπος, ἵνα τὸ γένος ἐκείνου λυτρώσωμαι ὡς εὔσπλαγχνος, [para]καὶ κατάρα ἐγενόμην ἵνα κατάρας ἐλευθερώσω τὸν Ἀδὰμ καὶ τοὺς αὐτοῦ· διὰ ξύλου δὲ ἡ παράβασις εἰσήχθη τῷ προπάτορι δι' οὗ ὥσπερ ἄνομος παραδείσου ἐκβέβληται, εἰσέρχεται δὲ πάλιν διὰ ξύλου ζωῆς· εἰσέρχου δὲ σὺ πρῶτος μετ' αὐτοῦ ἐν αὐτῷ· [para]ἐν νομῇ γενόμενος κάλει βροτοὺς καὶ προσδέχου τοὺς πιστούς·

book 4 σήμερον γὰρ εἰσελεύσῃ μετ' ἐμοῦ εὐφραινόμενος [para]ἐν τῷ παραδείσῳ.

book 5 Ὅτε δὲ τοῦ παραδείσου ὠθίσθη ὁ πρωτόπλαστος, τὰ Χερουβὶμ προσετάγη φυλάττειν τὴν ὁδὸν αὐτοῦ· [para]ἀλλὰ λάβε τὸν σταυρόν μου ἐπὶ τῶν ὤμων, καὶ οὕτως ἔρχου ἐν Ἐδὲμ μετὰ σπουδῆς· εἰ μὴ ἴδῃ σε ἀποφέροντα τοῦ τίτλου τὰ θεσπίσματα, ῥομφαία συγκαύσει σε τῆς φλογὸς ἡ φυλάττουσα. Τὸ πρόγραμμα δὲ τοῦτο τοῦ σταυροῦ τοῦ ἐμοῦ βαστάζων, λῃστά, βάδιζε πρὸς τὰ Χερουβίμ, [para]καὶ γνωρίσει σύμβολον τὸ τῆς ζωῆς καὶ δώσει σοι ἐν χερσὶν ἐξουσίαν τοῦ ἀνοίγειν καὶ εἰσάγειν τοὺς φίλους μου ἐν τῷ παραδείσῳ.»

book 6 Ταῦτα λῃστὴς ἐπακούσας ἐπ' ὤμων ἐπεφέρετο, ὡς εἶπεν ὁ πανοικτίρμων, τὸ γνώρισμα τῆς χάριτος, [para]καὶ βαδίζων ἀνευφήμει σταυροῦ τὸ δῶρον καὶ ψάλλων ἔλεγεν ἀεὶ ᾆσμα καινόν· «Σὺ ψυχῶν ἀκάρπων ἐγκέντρισμα, σὺ ἄροτρον γεγένησαι, γεώργιον κάλλιστον καθαρίζον διάνοιαν, σὺ ῥίζα καλὴ τῆς ἀναστάσεώς μου ζωῆς, σὺ ῥάβδος πληγῆς τύπτουσα ἐχθρὸν τοῦ Ἀδάμ, [para]σὺ τὰς θύρας ἤνοιξας τὰς τῆς τρυφῆς ἃς ἀπέκλεισέ ποτε ἡ ἁμαρτία ἥνπερ τότε 〈ὁ〉 Ἀδὰμ ἐπλημμέλησεν [para]ἐν τῷ παραδείσῳ.

book 7 Ὅλην ζωὴν ἐχαρίσω, ὦ ξύλον τρισμακάριστον, ἐμοὶ καὶ πᾶσιν ἀνθρώποις τοῖς ἔχουσι τὴν χάριν σου· [para]σὺ ὑπάρχεις βακτηρία χειραγωγοῦσα πρὸς τὴν ζωὴν ἁμαρτωλοὺς στέργοντάς σε· ἀπεδείχθης δὲ λικμητήριον σκορπίζον εἰς τὴν ἅλωνα ἐντέχνως τὸ ἄχυρον εἰς τὸ πῦρ ἐμβαλλόμενον ἵνα ὁ καρπὸς εἰς τὰς ἀποθήκας τεθῇ· ἐγένου ζυγός, δάμαστρον Ἑβραίων δεινῶν· [para]τοῦ δὲ σκάφους γέγονας τῆς ἐν Χριστῷ ἐκκλησίας τῆς σεμνῆς θεία κώπη τοὺς δικαίους καὶ πιστοὺς ἀπευθύνουσα [para]ἐν τῷ παραδείσῳ.

book 8 Εὔκαιρον εὕρηκα δρόμον τῆς ἐξομολογήσεως καὶ ἀνυμνήσω σε, ξύλον βαστάσαν τὴν ζωὴν ἡμῶν· [para]σὺ εἶ τίτλος εὐνομίας τῶν οἰκημάτων, τῆς εὐσεβείας τῶν πιστῶν φύλαξ καλός, σὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βωμὸς ἐγένου θειότατος, καλὸν θυσιαστήριον τὸ αἷμα δεξάμενον τῆς θυσίας τὸ ἄχραντον, σὺ δόρυ φρικτὸν πλῆττον τῶν δαιμόνων ἰσχύν, σὺ κέρας ἁγνὸν φύον ἐν προβάτοις Χριστοῦ· [para]σὺ κρανίῳ ἤγγισας τῷ τοῦ Ἀδὰμ καὶ ἐμβέβληκας χαράν·

book 8 καὶ ἐγὼ δὲ πεποιθώς σοι ἐν σπουδῇ ἀπελεύσομαι ἐν τῷ παραδείσῳ.

book 9 Πατρίδα βλέπω ἁγίαν ἣν εἶχεν ὁ προπάτωρ μου· φωτὸς γὰρ εὗρον χορείαν τῷ σκότει μὴ ἐμπίπτουσαν· [para]εἰ τὰ ἔξωθεν τοιαῦτα, μεγάλα ὄντως ὑπάρχει ἔνδον τῆς τρυφῆς τὰ ἀγαθά· ὀφθαλμὸς γὰρ οὐχ ἑώρακεν, ἀλλὰ οὐδὲ οὖς ἤκουσε, καρδία οὐκ ἔγνωκεν ἃ ἡτοίμασε Κύριος τοῖς φίλοις αὐτοῦ τοῖς συσταυρουμένοις αὐτῷ, οἷς πρῶτος ἐγὼ ἤνοιξα ζωῆς τὴν ὁδόν· [para]τοῦ σταυροῦ τὸ σύμβολον παρέλαβον πρὸς ἀσφάλειαν ζωῆς·

book 9 ὁ γὰρ στέργων τὴν σφραγῖδα τοῦ σταυροῦ εἰσελεύσεται [para]ἐν τῷ παραδείσῳ.

book 10 Οὐ δειλιῶ τὴν φλογίνην ῥομφαίαν τὴν φυλάττουσαν· τοῦ γὰρ σταυροῦ τὴν σφραγῖδα βαστάζω καὶ τεθάρρηκα.» [para]Ταῦτα λέγων, προσεγγίζει τῷ παραδείσῳ καὶ ἐμφανίζει ἑαυτὸν τοῖς Χερουβὶμ καὶ κραυγάζει· «Φύλαξ πιστότατε, κλειδοῦχε ἀσφαλέστατε, τετράμορφε ἅγιε, Χερουβὶμ πολυόμματε, σφραγῖδα Χριστοῦ ἦλθον ἐμφανίσαι ὑμῖν πεμφθεῖσαν παρ' αὐτοῦ σήμερον ἐκ γῆς Ἰσραήλ. [para]Τὸ οὖν γράμμα σκόπησον καθ' ἑαυτὸν καὶ παράδος τὰς νομὰς τοῦ πατρός μου τὰς ἀρχαίας, ἃς κρατῶν ἐπευφραίνετο ἐν τῷ παραδείσῳ.

book 11 Σφραγῖδα δέχου βεβαίαν καὶ θεῖα ἐγχαράγματα, ὑπογραφὴν βασιλέως Θεοῦ τοῦ πανοικτίρμονος.» [para]Ταῦτα λέγων ἐπεδίδου τοῦ βασιλέως τὰ διατάγματα Χριστοῦ μετὰ σπουδῆς· Χερουβὶμ δὲ ὑποδεξάμενα ἐγνώριζε τὰ γράμματα ἐκλάμποντα χάριτι πορφυρίδος τοῦ αἵματος· ἐτέρπετο δὲ πῶς ὑπηγορεύθη καλῶς· λαβὸν γὰρ εὐθὺς εὕρισκε λόγους τοὺς σοφούς, [para]ἀναγνοὺς τὴν δύναμιν τὴν ἐν αὐτοῖς φθεγγομένην τῷ λῃστῇ ὅτι «Σήμερον εἰσέρχῃ μετ' ἐμοῦ εὐφραινόμενος [para]ἐν τῷ παραδείσῳ.»

book 12 «Ἔρχου, λῃστά, τοῦ πατρός σου παράλαβε τὰ δίκαια, τὰ Χερουβὶμ ἀπεκρίθη· ἐγνώρισα τὸ θέσπισμα [para]βασιλέως τοῦ μεγάλου· ἰδοὺ τὰ σκεύη τοῦ παραδείσου ἐν χερσὶ δίδωμι νῦν· τὰς νομὰς δὲ σὺ παραλάμβανε πατρίδος τῆς ἀρχαίας σου, τὴν κτῆσιν ἀνάλαβε τὴν πατρῴαν, τὴν ἄφθαρτον· τὴν δήμευσιν γὰρ ἔλυσε νυνὶ ὁ σταυρὸς ὃν ἦλθες κρατῶν, ἄρτι ἐμφανίσας ἐμοί· [para]ἐν αὐτῷ συνέζευκται ἡ παρὰ σοῦ ἱκεσία πρὸς Χριστὸν καὶ ἡ ψῆφος ἡ διδοῦσα τὴν νομήν σοι ἀσάλευτον ἐν τῷ παραδείσῳ.

book 13 Σοῦ οὖν τὰ νῦν κλειδουχοῦντος ἀφίσταμαι γηθόμενος· οὐ γὰρ ἐμοὶ ὡς δεσπότῃ παράδεισος ἐκδέδοται· [para]ἡ νομὴ γὰρ ἐχαρίσθη τοῦ παραδείσου τῷ πρωτοπλάστῳ ἐξ ἀρχῆς παρὰ Θεοῦ· ἐδημεύθη δὲ ἐκ προστάξεως καὶ ἐν φθορᾷ ἐξώριστο καὶ φύλαξ προβέβλημαι ὧν ἐκεῖνος ἐκέκτητο. Χωρία γάρ μοι ἕτερά ἐστι νοητὰ σὺν τοῖς Σεραφίμ, ἀφιερωμένα, φρικτά· [para]σὺ δὲ τὴν ἀνάκλησιν τὴν τοῦ Ἀδὰμ ἐνεφάνισας ἐμοί, ἀλλὰ δέχου τῶν δικαίων ὧν Ἀδὰμ πρὸ σοῦ κέκτητο [para]ἐν τῷ παραδείσῳ.»

book 14 Τούτων λῃστὴς ἐπακούσας παράδεισον παρέλαβε, καὶ τὴν σφραγῖδα κατέχων ἐγένετο δριμύτερος [para]τῆς ῥομφαίας τῆς φλογίνης τῷ διαβόλῳ θεασαμένῳ τὸν λῃστὴν ἐν τῇ τρυφῇ· ὀδυρόμενος γὰρ ἐβόησε· «Δεινὸν ἐμοὶ συμβέβηκε· λῃστὴς δεδικαίωται καὶ παράδεισον ἤνοιξεν· ἐν ὅσῳ ἐγὼ Πέτρον ὑποκλέψαι ζητῶ, ὁ κλέπτης ἐγὼ ἤδη ὑπεκλάπην λῃστήν· [para]ὡς γελῶ μαινόμενον τὸν μαθητήν, τὸν προδότην τοῦ Χριστοῦ, ὑπὸ τούτου ἐγελάσθην τοῦ δραμόντος ἐκ πίστεως [para]ἐν τῷ παραδείσῳ.

book 15 Ἱστάμην τοὺς ἀποστόλους πανούργως τεχναζόμενος· αὐτοῖς γὰρ ὡς πολεμίοις τὰ βέλη μου ηὐτρέπιζον· [para]ἐγυμνώθην δὲ τοῦ φίλου ἐν ὅσῳ θέλω ἑτέρους δοῦναι τῷ λῃστῇ συλλειτουργούς. Τὸν Ἰούδαν εἰ ἐθεώρησα παράδεισον λαμβάνοντα, μή τι ὧς ἂν ἤνεγκα ἐπ'

ἐκείνῳ τὸ ἄλγημα; Οὐκ ἦν γὰρ ἐμός, ἀλλὰ τοῦ Χριστοῦ μαθητής· λῃστὴς δὲ ἐμὸς γέγονε πιστὸς μαθητὴς [para]καὶ ἀφείς με ἔδραμε πρὸς Ἰησοῦν καὶ ἐμίσησε 〈ν ἐ〉 μέ·

book 15 τὸ δὲ χεῖρον, διὰ ξύλου καὶ κλειδοῦχος ἐγένετο ἐν τῷ παραδείσῳ.

book 16 Νῦν οὖν ἐγὼ εὐτρεπίσω τὸν πόλεμον βαρύτερον καὶ τὴν ὁδὸν ἀποκλείσω τὴν ἐπὶ τὸν παράδεισον, [para]ἵνα δείξω τῷ κλειδούχῳ ὅτι εἰς μάτην κατεπιστεύθη κλειδουχεῖν τὰ ἐν Ἐδέμ.» Ταῦτα λέγων τρέχει μαινόμενος, καὶ πρῶτον μὲν ἠρέθιζεν Ἑβραίους βδελύττεσθαι τὸ τῆς πίστεως κήρυγμα, τοὺς δὲ βασιλεῖς γόητας καὶ τυράννους τῆς γῆς ὀξύνει σφοδρῶς κατὰ τοῦ σταυροῦ τῆς ζωῆς· [para]διωγμοὺς ἐκίνησε κατὰ Χριστοῦ καὶ τῶν δούλων τῶν αὐτοῦ, ὑποπτεύων ὡς ἐπέχει τοὺς θνητοὺς εἰσπορεύεσθαι [para]ἐν τῷ παραδείσῳ.

book 17 Ῥαίνων τὸ αἷμα τῶν πράων ἡττᾶτο ὁ παμπόνηρος· διώξας τοὺς ἀποστόλους, ὁμοῦ τε καὶ τοὺς μάρτυρας, [para]αἰσχυνόμενος ἐπένθει ὁρῶν τὴν τούτων τῶν ἀθλοφόρων τοῦ Χριστοῦ ὑπομονήν. Ἱκανὰ δὲ ἔτη ἐτάραξεν ἀνόμοις συμφραξάμενος τυράννοις καὶ ἄρχουσι, βασιλεῦσι καὶ δόγμασι, ποτὲ ἀφανῶς, ποτὲ δὲ πάλιν ἐμφανῶς· οὐδέποτε δὲ ἥττης ἀνεχώρει ἐκτός· [para]τῶν ἁγίων ἔβλεπε τὴν ἀρετὴν καὶ ἐθρήνει τὴν ὁδὸν τῶν τρεχόντων διὰ νίκης πρὸς λῃστὴν τὸν πιστότατον [para]ἐν τῷ παραδείσῳ.

book 18 Ὡς πάντας γὰρ τοὺς αἰῶνας διέπων ἐν χρηστότητι, ἐν τῇ βουλῇ τῇ πανσόφῳ ἐξήγειρεν ὁ εὔσπλαγχνος [para]Κωνσταντῖνον βασιλέα ἀπὸ τοῦ γένους τοῦ Ἀβραὰμ καὶ τοῦ Δαυὶδ ὄντα πιστόν· ἐμιμήσατο τὸν προπάτορα καὶ ἔδειξε συγγένειαν βεβαίαν καὶ ἔπαυσεν ἐκκλησίας τὸν πόλεμον· δέκα καὶ ὀκτὼ καὶ τριακοσίους λαβὼν ὁπλίτας πιστούς, πόλεμον νικᾷ Ἀβραάμ· [para]ἐν τοσούτοις ἔπαυσε καὶ ὁ πιστὸς καὶ ἀνδρεῖος βασιλεὺς τὰς αἱρέσεις τὰς ἀθέους οὐκ ἐώσας πορεύεσθαι [para]ἐν τῷ παραδείσῳ.

book 19 Μεγάλα ὄντως τὰ ἔργα Χριστοῦ καὶ ἀδιήγητα, ἀπίστοις καὶ ἀναξίοις οὐκ ἀποκαλυπτόμενα, [para]ἀλλ᾽ ἀξίοις καὶ δικαίοις· ὅπερ συνέβη ἐπὶ Ἑλένῃ τῇ μητρὶ τούτου ποτέ· ὡς ἀξία γὰρ ἐπεθύμησε τὸ ξύλον τῆς ζωῆς ἡμῶν τῷ χρόνῳ κρυπτόμενον ἐξευρεῖν ἡ φιλόθεος, καὶ τρέχει σπουδῇ ὅπου ἐσταυρώθη Χριστός, λιποῦσα ταχὺ τὰς ἐν βασιλείοις αὐλάς, [para]καὶ τὸν ὄκνον ἔρριψεν ἀφ᾽ ἑαυτῆς καὶ τὸν πόνον τῆς ὁδοῦ·

book 19 τὸν γὰρ λύχνον ἐπεπόθει ἐξευρεῖν τὸν εἰσάγοντα ἐν τῷ παραδείσῳ.

book 20 Αὐτῆς τὴν πρόθεσιν βλέπων ὁ πάντας ἐκδεχόμενος, ὡς περὶ ὥραν μὲν πρώτην καὶ μέχρι ἑνδεκάτης δὲ [para]οὐκ ὀκνήσας ἐξιέναι καὶ προσκαλεῖσθαι τοὺς ἐκλεκτοὺς καὶ τοὺς κλητοὺς πρὸς τὴν ζωήν, ὥσπερ Παῦλον πρώην ἐζήτησε καὶ εὗρε καὶ ἐκάλεσε καὶ ἔδειξε κήρυκα ἑαυτοῦ καὶ ἀπόστολον, οὕτως ἐκλεκτὸν ἔκρινεν Ἰούδαν ποτὲ ὃς εὗρε σταυρὸν καὶ μετωνομάσθη καλῶς· [para]τοῦ προδότου ὄνομα εἶχε τὸ πρίν, ἀλλ᾽ ἐνήλλαξεν αὐτό, ἐπειδήπερ οὐ προδότης ἀνεδείχθη, ἀλλ᾽ ἔφθασεν [para]ἐν τῷ παραδείσῳ.

book 21 Νῦν πίστιν τῆς φιλοθέου ἐδέξατο ὁ Κύριος, τὸν ὑπουργὸν ἀναδείξας σπουδαῖον καὶ πιστότατον, [para]τὸν ποτὲ μὲν Ἰουδαίων, μετὰ δὲ ταῦτα ποιμένα κάλλιστον λαῶν χριστιανῶν. Φερωνύμως γὰρ καὶ ὠνόμασται Κυριακὸς ὁ ἅγιος ἀνδρείαν ζωσάμενος καὶ σταυρὸν ἐξευράμενος. Ἠρεύνησε δὲ ποῖός ἐστιν ὁ τοῦ Χριστοῦ· ὁ θάνατος δὲ ἤλεγχε καὶ νῦν τὴν ζωήν· [para]ὡς ἐν τάφῳ πρότερον ἐπὶ Χριστοῦ, οὕτως νῦν ὑποχωρεῖ ὅτε εἶδε πρὸ τῆς κλίνης τὴν ζωὴν τὴν ἀπάγουσαν ἐν τῷ παραδείσῳ.

book 22 Ὅμως ἵνα τέλειον ᾖ τὸ δώρημα τῆς χάριτος, τοὺς ἥλους ἀνακαλύπτει Χριστὸς ὁ βασιλεὺς ἡμῶν, [para]οὓς εὑροῦσα ἡ ὁσία ὡς μαργαρίτας περιεπτύξατο αὐτοὺς σὺν τῷ σταυρῷ. Καὶ τοὺς ἥλους μὲν σαλιβάριον ποιήσασα ἐπλήρωσε προφήτου τὸ κήρυγμα Ζαχαρίου κραυγάζοντος ὡς «ἔσται ποτὲ ἅγιον τὸ τοῦ χαλινοῦ» εἰς νίκην ἀεὶ τῶν πεπιστευκότων αὐτῷ· [para]τὸν σταυρὸν 〈δὲ〉 δέδωκε ταῖς γενεαῖς εἰς ἀσφάλειαν ζωῆς·

book 22 οἱ γὰρ τούτῳ πεποιθότες μετὰ δόξης εἰσέρχονται [para]ἐν τῷ παραδείσῳ.

book 23 Ὑπὸ σταυροῦ σκεπασθέντες σκιρτῶμεν ἀγαλλόμενοι· ἁμαρτωλοί, νήψωμεν οὖν, παράδεισος ἠνέῳκται, [para]ὁ λῃστὴς δὲ φύλαξ ἐστὶ τοῦ παραδείσου ὃν ἐξελέξατο Χριστὸς ἐν τῷ σταυρῷ. Μὴ τὸν ἄκλειστον ἀποκλείσωμεν· φιλόχριστος καθέστηκε ληστὴς συμπαθέστατος ξενοδόχος φιλόστοργος. Τιμῶμεν σταυρὸν φύλακα ζωῆς τῆς ἡμῶν· ζωῆς γάρ ἐστι πρόξενος τῆς τῶν οὐρανῶν· [para]οὗτος πάντας ῥύεται τοῦ πονηροῦ καὶ τῆς τούτου προσβολῆς·

book 23 οἱ εἰς τοῦτον σφραγισθέντες εἰσελθῆναι πιστεύουσιν ἐν τῷ παραδείσῳ.

book 24 Υἱὸς Μαρίας ἐγένου, υἱὲ Θεοῦ, σωτὴρ ἡμῶν, καὶ τῷ σταυρῷ προσηλώθης Θεὸς ὑπάρχων ἔνσαρκος, [para]ἵνα σώσῃς τοὺς ἐν θλίψει καὶ ἐλεήσῃς ἁμαρτωλοὺς ὡς δυνατὸς καὶ ἀγαθός. Σὺ παράσχου πᾶσι κατάνυξιν τοῖς ἐπὶ σοὶ ἐλπίζουσι προθύμως δουλεύειν σοι ἐν ψαλμοῖς καὶ δεήσεσι· μετὰ τοῦ ληστοῦ κράζομέν σοι ὡς ἐν σταυρῷ· «Μνήσθητι ἡμῶν ἐν τῇ βασιλείᾳ τῇ σῇ· [para]τοῦ χοροῦ ἀξίωσον πάντας ἡμᾶς τῶν ἁγίων σου, Χριστέ, ὡς λαβόντας τὴν σφραγῖδα τοῦ σταυροῦ σου εἰς ἕνωσιν ἐν τῷ παραδείσῳ.»

book pro 1 Εἰ καὶ ἐκ τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, [para]γυναιξὶ μυροφόροις τὸ χαῖρε φθεγξάμενος καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book pro 2 Καταλαβοῦσαι γυναῖκες τὸ μνῆμά σου [para]καὶ μὴ εὑροῦσαι τὸ ἄχραντον σῶμά σου [para]ἐλεεινὰ δακρύουσαι ἔλεγον· [para]«Ἆρα ἐκλάπη ὁ συληθεὶς ἐκ τῆς αἱμόρρου τὴν ἴασιν; Ἆρα ἠγέρθη ὁ προειπὼν καὶ πρὸ τοῦ πάθους τὴν ἔγερσιν; Ἀληθῶς ἀνέστη Χριστὸς ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 1 Τὸν πρὸ ἡλίου ἥλιον δύναντά ποτε ἐν τάφῳ [para]προέφθασαν πρὸς ὄρθρον ἐκζητοῦσαι ὡς ἡμέραν, [para]μυροφόροι κόραι καὶ πρὸς ἀλλήλας ἐβόων· «Ὦ φίλαι, δεῦτε, τοῖς ἀρώμασιν ὑπαλείψωμεν σῶμα ζωηφόρον καὶ τεθαμμένον, [para]σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ κειμένην ἐν τῷ μνήματι. Ἄγωμεν, σπεύσωμεν ὥσπερ οἱ μάγοι, [para]καὶ προσκυνήσωμεν καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα τῷ μὴ ἐν σπαργάνοις, [para]ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ· καὶ κλαύσωμεν καὶ κράζωμεν· ‘Ὦ δέσποτα, ἐξεγέρθητι, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.’»

book 2 Ὅτε δὲ ταῦτα ἑαυταῖς ἔφησαν αἱ θεοφόροι, [para]ἐσκόπησαν καὶ ἄλλο ὅ ἐστι σοφίας πλήρης καί φησιν ἀλλήλαις· «Γυναῖκες, τί ἀπατᾶσθε; Πάντως γάρ, ὅτι ἐν τῷ τάφῳ πέλει ὁ Κύριος. Ἆρα ἕως ἄρτι εἶχε κρατεῖσθαι [para]ὁ ἡνιοχεύων τὴν τῶν κινουμένων πνοήν; Ἀκμὴν νεκρὸς κατάκειται; Ἄπιστον, ἄστατον τοῦτο τὸ ῥῆμα· [para]διὸ συνήσωμεν καὶ οὕτω πράξωμεν· ἀπέλθῃ Μαρία καὶ ἴδῃ τὸν τάφον [para]καὶ οἷς ἂν εἴπῃ ἀκολουθῶμεν· πολλάκις γάρ, ὡς πρόειπεν, ἐγήγερται ὁ ἀθάνατος, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 3 Ὑπὸ δὲ τούτου τοῦ σκοποῦ αἱ συνεταὶ ῥυθμηθεῖσαι [para]προέπεμψαν, ὡς οἶμαι, τὴν Μαγδαληνὴν Μαρίαν ἐπὶ τὸ μνημεῖον, ὡς λέγει ὁ Θεολόγος. Ἦν δὲ σκοτία, ἀλλ' ἐκείνην πόθος κατέλαμπεν· ὅθεν καὶ κατεῖδε τὸν μέγαν λίθον [para]ἐκκεκυλισμένον ἀπὸ τῆς θύρας τῆς ταφῆς καὶ εἶπεν ὑποστρέψασα· «Μαθηταί, μάθετε τοῦτο ὃ εἶδον [para]καὶ μή με κρύψητε, ἐὰν νοήσητε· ὁ λίθος οὐκέτι καλύπτει τὸν τάφον· [para]μὴ ἄρα ἦραν τὸν Κύριόν μου; Οἱ φρουροὶ γὰρ οὐ φαίνονται, ἀλλ' ἔφυγον· μὴ ἐγήγερται [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν;»

book 4 Τούτων ὡς ἤκουσε Κηφᾶς καὶ ὁ υἱὸς Ζεβεδαίου, [para]ἐξέδραμον εὐθέως ὡς ἐρίζοντες ἀλλήλοις, [para]καὶ τοῦ Πέτρου πρῶτος εὑρέθη ὁ Ἰωάννης· ὅμως καὶ φθάσας οὐκ εἰσῆλθεν ἔνδον τοῦ μνήματος, ἀλλὰ ἀναμένει τὸν κορυφαῖον, [para]ἵνα ὡς ποιμένι ἀκολουθήσῃ ὁ ἀμνός· καὶ ὄντως οὕτως ἔπρεπε. Πέτρῳ γὰρ εἴρηται· «Πέτρε, φιλεῖς με; Καὶ τὰ ἀρνία μου ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέλεις ποίμαινε»· τῷ Πέτρῳ ἐρρέθη· «Μακάριε Σίμων, [para]τὰς κλεῖς σοι δώσω τῆς βασιλείας»· Τῷ Πέτρῳ πρὶν ὑπέταξε τὰ κύματα ἃ ἐπέζευσεν [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 5 Ἀλλ᾽ ὡς προεῖπον πρὸ μικροῦ, Πέτρος τε καὶ Ἰωάννης [para]κατέλαβον τὸ μνῆμα δι᾽ ὃ εἶπεν ἡ Μαρία, [para]καὶ εἰσῆλθον ἔνδον· τὸν Κύριον δὲ οὐχ εὗρον. Ὅθεν πρὸς ταῦτα πτοηθέντες εἶπον οἱ ἅγιοι· «Ἆρα τίνος χάριν ἡμῖν οὐκ ὤφθη; [para]Μὴ τὴν παρρησίαν ἡμῶν ἡγήσατο πολλήν; Πολὺ γὰρ ἐτολμήσαμεν· ἔδει γὰρ ἔξωθεν ἡμᾶς σταθῆναι [para]καὶ περιβλέψασθαι τὰ ἐν τῷ μνήματι· ὁ τάφος γὰρ οὗτος οὐκέτι ὡς τάφος, [para]ἀλλ᾽ ὄντως θρόνος Θεοῦ ὑπάρχει· ἐν τούτῳ γὰρ ἐγένετο καὶ ᾤκησεν ὡς εὐδόκησεν ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 6 Περιετράπη οὖν ἡμῖν ἡ παρρησία εἰς τόλμαν [para]καὶ μᾶλλον ἐλογίσθη καταφρόνησις τὸ θάρσος· [para]διὰ τοῦτο τάχα οὐκ ὤφθη ὡς ἀναξίοις.» Ταῦτα λαλούντων τῶν γνησίων φίλων τοῦ πλάσαντος, εἶπεν ἡ Μαρία ἀκολουθοῦσα· [para]«Μύσται τοῦ Κυρίου καὶ ὄντως θερμοὶ ἐρασταί, μὴ ὥς ὑπολαμβάνητε, ἀλλ᾽ ὑπομείνατε, μὴ ἀθυμεῖτε· [para]τὸ γὰρ γενόμενον οἰκονομία ἦν ἵνα αἱ γυναῖκες ὡς πρῶται πεσοῦσαι [para]ἴδωσι πρῶται τὸν ἀναστάντα· ἡμῖν θέλει χαρίσασθαι τὸ ‘χαίρετε‘ ταῖς πενθήσασιν ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 7 Ἐπειδὴ οὕτως ἑαυτὴν ἐπληροφόρει Μαρία, [para]παρέμεινε τῷ τάφῳ ἀπελθόντων τῶν ἁγίων· [para]ἀκμὴν γὰρ ἐδόκει ὅτι ἐπήρθη τὸ σῶμα· ὅθεν ἐβόα οὐχὶ ῥήμασιν, ἀλλὰ δάκρυσιν· «Οἴμοι, Ἰησοῦ μου, ποῦ σε μετῆραν; [para]Πῶς δὲ κατεδέξω κεκηλιδωμέναις χερσὶν βαστάζεσθαι, ἀμώμητε; ‘Ἅγιος, ἅγιος, ἅγιοσ‘ κράζει [para]τὰ ἑξαπτέρυγα καὶ πολυόμματα· καὶ τούτων οἱ ὦμοι μόλις φέρουσί σε, [para]καὶ πλάνων χεῖρες ἐβάστασάν σε· ὁ Πρόδρομος βαπτίζων σε ἐκραύγαζε· ‘Σύ με βάπτισον, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.‘

book 8 Ἰδοὺ τριήμερος νεκρὸς πέλεις, ὁ πάντα καινίζων· [para]ὁ Λάζαρον ἐγείρας μετὰ τέσσαρας ἡμέρας [para]καὶ δρομαῖον δείξας τὸν κηριαῖς δεδεμένον, κεῖσαι ἐν τάφῳ, καὶ ὡς εἴθε ᾔδειν ποῦ τέθαψαι, ἵνα ὡς ἡ πόρνη δάκρυσι βρέξω [para]μὴ μόνον τοὺς πόδας, ἀλλὰ καὶ ὅλον ἀληθῶς τὸ σῶμα καὶ τὸ μνῆμά σου, λέγουσα· ‘Δέσποτα, ὡς τὸν τῆς χήρας [para]υἱὸν ἀνέστησας, σαυτὸν ἀνάστησον· ὁ τὴν Ἰαείρου παιδίσκην ζωώσας, [para]τί ἔτι μένεις ἐν τῷ μνημείῳ; Ἀνάστηθι, ἐπίστηθι, ἐμφάνηθι τοῖς ζητοῦσί σε, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.‘»

book 9 Νενικημένην τῷ κλαυθμῷ καὶ ἡττημένην τῷ πόθῳ [para]ἰδὼν ὁ πάντα βλέπων τὴν Μαγδαληνὴν Μαρίαν, [para]ἐσπλαγχνίσθη τότε καὶ ὤφθη λέγων τῇ κόρῃ· «Γύναι, τί κλαίεις; Τίνα θέλεις ἔνδον τοῦ μνήματος;» Εἶτα ἡ Μαρία στραφεῖσα εἶπε· [para]«Κλαίω ὅτι ἦραν τὸν κύριόν μου τῆς ταφῆς καὶ͜ οὐκ οἶδα ποῦ κατάκειται. Πάντως δὲ σόν ἐστι τοῦτο τὸ ἔργον· εἰ μὴ πλανῶμαι γάρ, ὁ κηπουρὸς εἶ σύ·

book 9 λοιπὸν εἰ ἐπῆρες τὸ σῶμα, εἰπέ μοι, [para]κἀγὼ λαμβάνω τὸν λυτρωτήν μου· ἐμὸς πέλει διδάσκαλος καὶ κύριος ὁ ἐμός ἐστιν [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 10 Ὁ τὰς καρδίας ἐρευνῶν καὶ τοὺς νεφροὺς ἐμβατεύων, [para]εἰδὼς ὅτι γνωρίζει τὴν φωνὴν αὐτοῦ Μαρία, [para]ὡς ποιμὴν ἐφώνει τὴν μηκωμένην ἀμνάδα λέγων· «Μαρία». Ἡ δ᾽ εὐθέως εἶπε γνωρίσασα· «Ὄντως ὁ καλός μου ποιμὴν φωνεῖ με [para]ἵνα τοῖς ἐννέα καὶ ἐνενήκοντα ἀμνοῖς λοιπὸν συναριθμήσῃ με· βλέπω γὰρ ὄπισθεν τοῦ με καλοῦντος [para]ἁγίων σώματα, δικαίων τάγματα· διὸ οὔτε λέγω· ‘Τίς εἶ ὁ καλῶν με;‘·

book 10 σαφῶς γὰρ ἔγνων τίς ὁ καλῶν με· αὐτός ἐστιν, ὡς πρόειπον, ὁ κύριος ὁ ἐμός, ἔστιν [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 11 Ὑπὸ δὲ πόθου τοῦ θερμοῦ καὶ τῆς ἐμπύρου ἀγάπης [para]ἡ κόρη κατεπείχθη καὶ κρατῆσαι ἠβουλήθη [para]τὸν ἀπεριγράπτως τὴν κτίσιν πᾶσαν πληροῦντα· ὅμως ὁ πλάστης τὴν σπουδὴν αὐτῆς οὐκ ἐμέμψατο, ἀλλ᾽ ἐπὶ τὰ θεῖα αὐτὴν ἀνάγει [para]λέγων· «Μή μου ἅπτου· ἢ μόνον βροτόν με νοεῖς; Θεός εἰμι, μὴ ἅπτου μου. Ὦ σεμνή, πέτασον ἄνω τὸ ὄμμα [para]καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατανόησον τὰ ἐπουράνια· ἐκεῖ ζήτησόν με· καὶ γὰρ ἀναβαίνω πρὸς τὸν πατέρα ὃν οὐκ ἀφῆκα· αὐτοῦ πέλω ὁμόχρονος καὶ σύνθρονος καὶ ὁμότιμος, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 12 Ῥητορευέτω δὲ λοιπὸν ταῦτα ἡ γλῶσσά σου, γύναι, [para]καὶ διερμηνευέτω τοῖς υἱοῖς τῆς βασιλείας [para]τοῖς καραδοκοῦσι τὴν ἔγερσίν μου τοῦ ζῶντος. Σπεῦσον, Μαρία, καὶ τοὺς μαθητάς μου συνάθροισον· σάλπιγγί σοι χρῶμαι μεγαλοφώνῳ· [para]ἤχησον εἰρήνην εἰς τὰς ἐμφόβους ἀκοὰς τῶν κεκρυμμένων φίλων μου, ἔγειρον ἅπαντας ὥσπερ ἐξ ὕπνου, [para]ἵν' ὑπαντήσωσι καὶ δᾷδας ἅψωσιν· εἰπέ· "Ὁ νυμφίος ἠγέρθη τοῦ τάφου [para]καὶ οὐδὲν ἀφῆκεν ἐντὸς τοῦ τάφου· ἀπώσασθε, ἀπόστολοι, τὴν νέκρωσιν, ὅτι ἐγήγερται ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.'»

book 13 Ὡς οὖν ἀκήκοε σαφῶς ὅλων τῶν λόγων τοῦ Λόγου, [para]ὑπέστρεψεν ἡ κόρη καί φησι ταῖς ὁμοτρόποις· [para]«Θαυμαστά, γυναῖκες, ἃ εἶδον καὶ διηγοῦμαι· μή τις οὖν δόξῃ ὡς ληρήματά μου τὰ ῥήματα· οὐ γὰρ ἐφαντάσθην, ἀλλ' ἐνεπνεύσθην· [para]πέπλησμαι τῆς θέας καὶ τῆς ὁμιλίας Χριστοῦ, καὶ πῶς καὶ πότε μάθετε. Ὅτε με ἔλιπον οἱ περὶ Πέτρον, [para]ἱστάμην κλαίουσα ἐγγὺς τοῦ μνήματος· ἐδόκουν γὰρ ὅτι ἐπήρθη τοῦ τάφου [para]τὸ θεῖον σῶμα τοῦ ἀθανάτου· ἀλλ' εὐθέως οἰκτείρας μου τὰ δάκρυα, ἐπεφάνη μοι [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 14 Μετεποιήθη ἄθροον εἰς εὐφροσύνην ἡ λύπη [para]καὶ γέγονέ μοι πάντα ἱλαρὰ καὶ γεγηθότα· [para]οὐκ ὀκνῶ δὲ λέγειν· "Ὥσπερ Μωσῆς ἐδοξάσθην'· εἶδον γάρ, εἶδον, οὐκ ἐν ὄρει, ἀλλ' ἐν τῷ μνήματι, οὐχ ὑπὸ νεφέλην, ἀλλ' ὑπὸ σῶμα, [para]τὸν τῶν ἀσωμάτων δεσπότην καὶ τῶν νεφελῶν τὸν πρὶν καὶ νῦν καὶ πάντοτε λέγοντα· 'Μαριάμ, σπεῦσον καὶ φράσον [para]τοῖς ἀγαπῶσί με ὅτι ἐγήγερμαι· ὡς κάρφος ἐλαίας λαβοῦσά με γλώσσῃ, τοῖς ἐκ τοῦ Νῶε εὐαγγελίζου σημαίνουσα ὡς πέπαυται ὁ θάνατος καὶ ἐγήγερται ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.'»

book 15 Ἀκούσας τούτων ὁ χορὸς τῶν εὐσεβῶν νεανίδων [para]συμφώνως ἀπεκρίθη τῇ Μαγδαληνῇ Μαρίᾳ· [para]«Ἀληθὲς ὃ εἶπας καὶ συναινοῦμέν σοι πᾶσαι· οὐκ ἀπιστοῦμεν, ἀλλὰ τοῦτο μόνον θαυμάζομεν ὅτι ἕως ἄρτι ἦν ἐν τῷ τάφῳ [para]καὶ συναριθμεῖσθαι τοῖς τεθνεῶσιν ἡ ζωὴ ἠνείχετο τριήμερον· ὅτι γὰρ ἤμελλεν ἐκ τῶν χθονίων ἐλθεῖν ἠλπίζομεν· διὸ ἐλέγομεν· 'Τοῦ κήτους οἰκέτην ἐξήγαγε τότε, [para]καὶ πῶς κρατεῖται ὑπὸ θανάτου; Εἰ τοῦ θηρὸς ἀνήρπασεν, ἀνίσταται καὶ ἐκ μνήματος [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.'

book 16 Νῦν οὖν μὴ νόμιζε, σεμνή, ὅτι χωλεύει ἃ λέγεις· [para]ὀρθῶς ἡμῖν ἐφθέγξω καὶ οὐδὲν ἐν τούτοις σκάζον· [para]ἀληθὴς ὁ λόγος καὶ προσηνής σου ὁ τρόπος· ὅμως, Μαρία, κοινωνῆσαί σοι βουλευόμεθα ἵνα μὴ ἓν μέλος ἡμῶν τρυφήσῃ, [para]μείνῃ δὲ τὰ ἄλλα νεκρὰ καὶ ἄγευστα ζωῆς ἐκείνης ἧς ἀπήλαυσας· γένωνται ἅμα σοι στόματα πλεῖστα [para]ἐπισφραγίζοντα τὴν μαρτυρίαν σου· ἀπέλθωμεν πᾶσαι ἐπὶ τὸ μνημεῖον [para]καὶ βεβαιοῦμεν τὴν ὀπτασίαν· κοινὸν ἔστω, συνόμιλε, τὸ καύχημα ὃ παρέσχε σοι ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 17 Οὕτω λαλῶν ὁ σύλλογος τῶν θεοφόρων θηλείων [para]ἐξήρχετο τὴν πόλιν μετὰ τῆς διηγουμένης [para]καὶ ἰδὼν τὸν τάφον ἀπὸ μακρόθεν ἐβόα· «Ἴδε ὁ τόπος, μᾶλλον δὲ ὁ κόλπος ὁ ἄχραντος· ἴδε ὁ βαστάσας τὸν βασιλέα, [para]ἴδε ὁ χωρήσας ὃν οὐ χωροῦσιν οὐρανοί, χωροῦσι δὲ οἱ ἅγιοι. Αἶνός σοι, ὕμνος σοι, ἅγιε τάφε, [para]μικρὲ καὶ μέγιστε, πτωχὲ καὶ πλούσιε, ζωῆς ταμιεῖον, εἰρήνης δοχεῖον, [para]χαρᾶς σημεῖον, Χριστοῦ μνημεῖον· ἑνὸς μνῆμα, τοῦ κόσμου δὲ τὸ καύχημα, ὡς ηὐδόκησεν ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 18 Ὑμνολογήσασαι λοιπὸν τοῦ ζωοδότου τὸν τάφον, [para]ἐστράφησαν καὶ εἶδον τὸν καθήμενον τῷ λίθῳ [para]καὶ ἀπὸ τοῦ φόβου εἰς τὰ ὀπίσω ἀπῆλθον, εὐλαβηθεῖσαι, κάτω κλίνασαι καὶ τὰ πρόσωπα καὶ μετὰ δειλίας λαλοῦσαι ταῦτα· [para]«Τί τοῦτο τὸ εἶδος ἐστίν, ἢ τίνος ἡ μορφή; Τίς πέφυκεν ὃν βλέπομεν; ἄγγελος; ἄνθρωπος; ἄνωθεν ἦλθεν [para]ἢ τάχα κάτωθεν ἡμῖν

ἀνέτειλεν; Πῦρ πέλει, φῶς πέμπει, ἀστράπτει, αὐγάζει· [para]φύγωμεν, κόραι, μὴ φλογισθῶμεν· ὄμβρε θεῖε, οὐράνιε, ἐπίσταξον ταῖς διψῶσί σε, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 19 Ψυχαγωγήσουσιν ἡμᾶς νῦν ὡς σταγόνες οἱ λόγοι [para]τοῦ στόματός σου, Λόγε, ἡ χαρὰ τῶν θλιβομένων, [para]ἡ ζωὴ τῶν πάντων, μὴ νεκρωθῶμεν τῷ φόβῳ.» Ταῦτα, ὡς οἶμαι, ἐλιτάνευον αἱ θεόπνευστοι· ὅθεν ἐμειλίχθη ὁ ἐν τῷ λίθῳ [para]καὶ πρὸς τὰς γυναῖκας φησί· «Μὴ φοβεῖσθε ὑμεῖς, ἀλλ’ οὗτοι οἱ φυλάσσοντες· φρίξουσι, πτήξουσι καὶ νεκρωθῶσιν [para]ἀπὸ τοῦ φόβου μου, ἵνα καὶ μάθωσιν ὅτι τῶν ἀγγέλων δεσπότης ὑπάρχει [para]ὃν νῦν φρουροῦσιν, ἀλλ’ οὐ κρατοῦσιν· ἀνέστη γὰρ ὁ Κύριος καὶ οὐκ ἔγνωσαν πῶς ἐγήγερται [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book 20 Ἀθανατίσθητε λοιπόν, θήλειαι, μὴ νεκρωθῆτε· [para]τὸν κτίστην τῶν ἀγγέλων ἐζητεῖτε θεωρῆσαι, [para]καὶ ἑνὸς ἀγγέλου τὴν ὄψιν τί δειλιᾶτε; Δοῦλος ὑπάρχω τοῦ τὸν τάφον τοῦτον οἰκήσαντος, τάξιν ὑπηρέτου καὶ φύσιν ἔχω· [para]ἅπερ προσετάχθην ἐπέστην κηρῦξαι ὑμῖν· ‘Ἐγήγερται ὁ Κύριος, ἔτριψε τὰς χαλκᾶς πύλας τοῦ ᾅδου [para]καὶ σιδηροῦς μοχλοὺς αὐτοῦ συνέθλασε, καὶ τῇ προφητείᾳ ἐπέθηκε πέρας, [para]καὶ τῶν ἁγίων ὕψωσε κέρας.‘ Δεῦτε, κόραι, καὶ ἴδετε ποῦ ἔκειτο ὁ ἀθάνατος, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 21 Λαβοῦσαι θάρσος ἄμεμπτον ἐκ τῆς φωνῆς τοῦ ἀγγέλου, [para]φρονίμως αἱ γυναῖκες ἀπεκρίθησαν πρὸς τοῦτον· [para]«Ἀληθῶς ἀνέστη ὁ Κύριος, καθὼς ἔφης· ἔδειξας ἡμῖν καὶ τῷ ῥήματι καὶ τῷ σχήματι ὅτιπερ ἀνέστη ὁ ἐλεήμων· [para]εἰ μὴ γὰρ ἀνέστη καὶ ἐπορεύθη τῆς ταφῆς, οὐκ ἂν αὐτὸς ἐκάθισας· πότε γὰρ στρατηγός, τοῦ βασιλέως [para]παρόντος, κάθηται ἢ διαλέγεται; Εἰ δὲ καὶ τελεῖται ἐν γῇ τὰ τοιαῦτα, [para]ἀλλ’ ἐν ὑψίστοις οὐκ ἔστι ταῦτα, ὅπου θρόνος ἀθέατος καὶ ἄφραστος ὁ καθήμενος, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

book 22 Μίξασαι φόβῳ τὴν χαρὰν καὶ εὐφροσύνην τῇ λύπῃ [para]ὑπέστρεψαν τοῦ τάφου, ὡς διδάσκει τὸ βιβλίον, [para]πρὸς τοὺς ἀποστόλους καὶ ἔλεγον αἱ γυναῖκες· «Τί ἀθυμεῖτε; Τί τὰ πρόσωπα συγκαλύπτετε; Ἄνω τὰς καρδίας· Χριστὸς ἀνέστη. [para]Στήσατε χορείας καὶ εἴπατε ἅμα ἡμῖν· ‘Ἐγήγερται ὁ Κύριος‘· ἔλαμψεν ὁ τεχθεὶς πρὸ ἑωσφόρου· [para]μὴ οὖν στυγνάσητε, ἀλλ’ ἀναθάλλετε· τὸ ἔαρ ἐφάνη· ἀνθήσατε, κλῶνες, [para]καρποφορίαν, μὴ δυσφορίαν· πάντες χεῖρας κροτήσωμεν καὶ εἴπωμεν· ‘Ἐξεγήγερται ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.‘»·

book 23 Οἱ δὲ ἀκούσαντες σαφῶς καὶ εὐφρανθέντες τῷ λόγῳ [para]ἐξέστησαν εὐθέως καί φησι πρὸς τὰς γυναῖκας· [para]«Πόθεν τοῦτο, κόραι, ἐμάθετε ὃ λαλεῖτε; Ἄγγελος εἶπεν; —Ναί, φησίν, καὶ εἶπε καὶ ἔδειξε, καὶ ὁ τῶν ἀγγέλων Θεὸς καὶ πλάστης [para]ὤφθη τῇ Μαρίᾳ καὶ ἔφη· ‘Λέξον τοῖς ἐμοῖς· ἐγήγερται ὁ Κύριος.‘ Δεῦτε οὖν, ὡς κριοὶ καὶ ὡς ἀρνία [para]προβάτων ἅπαντες σκιρτῶντες εἴπωμεν· ‘Ποιμὴν ἡμῶν, δεῦρο, συνάγαγε ἡμᾶς [para]τοὺς σκορπισθέντας ὑπὸ δειλίας· ἐπάτησας τὸν θάνατον, ἐπίστηθι τοῖς ποθοῦσί σε, [para]ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.‘»

book 24 Συναναστήτω σοι, σωτήρ, ἡ νεκρωθεῖσα ψυχή μου, [para]μὴ φθείρῃ ταύτην λύπη καὶ λοιπὸν εἰς λήθην ἔλθῃ [para]τῶν ᾀσμάτων τούτων τῶν ταύτην ἁγιαζόντων· ναί, ἐλεήμων, ἱκετεύω σε μὴ παρίδῃς με τὸν ταῖς πλημμελείαις κατεστιγμένον· [para]ἐν γὰρ ἀνομίαις καὶ 〈ἐν〉 ἁμαρτίαις ἐμὲ ἐκίσσησεν ἡ μήτηρ μου, Πάτερ μου ἅγιε καὶ φιλοικτίρμον, [para]ἁγιασθήτω σου ἀεὶ τὸ ὄνομα ἐν τῷ στόματί μου καὶ τοῖς χείλεσί μου, [para]ἐν τῇ φωνῇ μου καὶ τῇ ᾠδῇ μου· δός μοι χάριν κηρύττοντι τοὺς ὕμνους σου, ὅτι δύνασαι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

book pro Κατεπόθη ὁ θάνατος εἰς νῖκος τῇ ἐκ νεκρῶν ἐγέρσει σου, Χριστὲ ὁ Θεός· [para]διὸ οἱ τῷ πάθει σου ἐγκαυχώμενοι, ἀεὶ ἑορτάζοντες εὐφραινόμεθα καὶ ἀγαλλιῶντες βοῶμεν· «Ἀνέστη ὁ Κύριος.»

book 1

Τὴν ζωὴν τῇ ταφῇ, τῷ θανάτῳ Θεὸν καὶ τῷ ᾅδῃ τὸν ᾅδην σκυλεύσαντα [para]παρέδωκέ ποτε τῶν ἀνόμων λαός, ὡς θνητὸν τοὺς θνητοὺς ἀθανατίσαντα, ὡς δὲ νεκρὸν τοὺς νεκροὺς ἀναστήσαντα ῥήματι· φύλακας ἔθεντο μνήματι τοῦ πάντα φέροντος νεύματι. Ὢ ἀφροσύνης τῶν ἀνόμων· εἰ νεκρός, μὴ πτοοῦ· εἰ δὲ ζῇ, παραιτοῦ καὶ βόα σὺν ἡμῖν· «Ἀνέστη ὁ Κύριος.»

book 2 Ὅτε μετὰ σταυρὸν κατετέθη ταφῇ ὑπὸ τοῦ Ἰωσὴφ ὁ Θεὸς Ἰωσήφ, [para]ὁ ἐκ λάκκου ποτὲ σώσας τὸν Ἰωσὴφ ὁρατῶς ὡς θνητὸς ἐφυλάττετο, ἀλλ’ ἀοράτως τοὺς φύλακας φόβῳ ἐνέκρωσε· λίθος ἦν ἐπὶ τοῦ μνήματος, πέτρα δὲ ἔνδον τοῦ μνήματος· γέγοναν λίθοι οἱ τηροῦντες θεωροῦντες τὸν ἄγγελον λίθῳ καθήμενον λέγοντα· «Ἀνέστη ὁ Κύριος.»

book 3 Ὑπὸ τῶν πονηρῶν λογισμῶν οἱ κριταὶ τῶν ἀνόμων συνείχοντο λέγοντες· [para]«Ἰδοὺ κεῖται εἰς γῆν ὁ δονήσας τὴν γῆν, [ὁ] παντὶ λαλητὸς καὶ περιβόητος· οὗ πᾶσα γαῖα τὰ ἔργα ἐθαύμασε, τέθνηκε. Νήψωμεν οὖν μὴ τὰ ἔσχατα χεί[ρω] τῶν πρώτων γενήσεται, μή ποτε κλέψωσι τὸ σῶμα τὸ αὐτοῦ [οἱ] αὐτοῦ καὶ ψευδόμενοι πᾶσι κηρύξωσιν· ‘Ἀνέστη ὁ Κύριος.‘

book 4 Κουστωδίαν ἡμεῖς αἰτησόμεθα νῦν τὸν [Πιλᾶτον, καὶ] δώσει φυλάττοντας. [para]Καὶ ζῶν γὰρ καὶ θανὼν φ[οβε]ρὸς Ἰησοῦς· ἐν τῇ ζωῇ αὐτοῦ σάββατον ἔλυσεν, ἐ[ὰν δὲ νῦν] ἐκ νεκρῶν ἀναστῇ, νόμος λέλυται· κεῖται νεκρὸς [καὶ ἐλ]πίζεται, δέδεται καὶ προσδοκᾶται ζῆν· οἱ μαθηταὶ [τού]του γὰρ πάντες ‘Μετὰ τρίτην, φησί, τὸν διδάσκαλον [βλέ]ποντες λέγομεν· Ἀνέστη ὁ Κύριος.‘

book 5 Ὑπὸ σοῦ καὶ ἡμεῖς καὶ οἱ ἀλλογενεῖς, ὦ Πιλᾶτε, σαφῶς ἰθυνόμεθα· [para]διὰ τοῦτο οἱ σοὶ σοὶ προσφεύγομεν· δι[ὰ σοῦ] στήτω τοῦ ἔθνους τὰ δίκαια· μὴ καταλύσῃ θνητὸς [Θεοῦ] νόμον δεόμεθα.» Τί ἀφρονεῖτε, παράνομοι; Νόμου [Πιλᾶ]τος προΐσταται· Πόσῳ Πιλάτου Χριστὸς κρείττων; Ὃς καὶ [νό]μον στηρίζει καὶ χάριν παρέχει τοῖς κράζουσιν· «Ἀνέστη ὁ Κύριος.»

book 6 «Ῥῆμα ἔστιν αὐτοῦ πρὸς τοὺς φίλους αὐτοῦ ὅτι ‘μετὰ τὰς τρεῖς ἀναστήσομαι· [para]κἂν γὰρ θάνω—φησίν—, τὸν θάνατον πατῶ.‘ Οὐχ ὅτι τοῦτο γίνεται φοβούμεθα, ἀλλ’ ὅτι κλέπτε[ται] ὑπὸ τινῶν λογιζόμεθα· ὅτι γὰρ οὐκ ἀναστήσεται ἀνέγνωμεν καὶ ἐπέγνωμεν· ‘Πνεῦμα̱ ἐ̱ξελθὸν οὐκ ἐπιστρέφει‘, εἰ μὴ εἴπῃ Θεός· εἰ δὲ οὗτος Θεός ἐστιν, εἴπωμεν· ‘Ἀνέστη ὁ Κύριος.‘»

book 7 Ὁ Πιλᾶτος ἀκούσας φησὶ πρὸς αὐτούς· «Πλήρης γέλωτος ὑμῶν τὰ ῥήματα· [para]Τίς γὰρ κλέπτει νεκρόν; Τί δὲ κέρδος νεκροῦ; Ὁ φιλῶν φίλον φιλεῖ μέχρι μνήματος, μετὰ δὲ τὴν ταφὴν μάτην τὸ φίλτρον ἐνδείκνυται· κεῖται νεκρὸς μὴ κινούμενος· τί ὠφελεῖτε τὸν κείμενον; Θάψαντες ἄφετε τὸν νέκυν· οὐ γὰρ κλέπτεται οὐδέ, ἂν μὴ ἀναστῇ, ἐκβοήσωσιν· ‘Ἀνέστη ὁ Κύριος.‘

book 8 Ὑπ’ ἐμοῦ μαστιχθείς, ὑφ’ ὑμῶν σταυρωθείς, ὑπὸ τοῦ Ἰωσὴφ ἐν 〈τῷ〉 τάφῳ τεθείς, [para]σαφής ἐστι νεκρός, ἀψευδὴς δὲ θνητός· ὥσπερ οὖν πάντων βλεπόντων ἀπέθανεν, οὕτω καὶ πάντων βλεπόντων ἀνέλθη̱ ἐ̱κ̱ τοῦ μνήματος. Κλέπτουσι τοῦτον, ὡς λέγετε, καὶ λέγουσιν ὅ[τι̱ ἐ̱γ̱ή]γερται; Μὴ καὶ τὰ ὄμματα τυφλοῦσιν; Εἰ ἅπερ 〈εἶπε〉 [βλ]έπομεν, ταῦτα πιστεύοντες εἴπωμεν· ‘Ἀνέστη ὁ Κύριος.‘

book 9 [Ῥαψῳδεῖ]ν μοι δοκεῖ πᾶς τοιαῦτα λαλῶν, ὅτι κλέπτεται ἢ καὶ ἐγείρεται· [para]καὶ τοῦτο γὰρ ψευδές, καὶ τοῦτο ἀσαφές· εἰ δὲ τοῦτο [ὑμᾶς] θεραπεύει τὰ νῦν, τοῦ φυλαχθῆναι τὸ μνῆμα τοὺς φύλακας λάβετε· βλέπετε δὲ μὴ οἱ φύλακες πάλιν πλα[νώ]μενοι εἴπωσιν· ‘Ὄντως Θεοῦ υἱὸς ἦν οὗτοσ‘, ὡς ποτὲ ἐν σταυρῷ, καὶ νῦν ἐν τῷ μνημείῳ βοήσωσιν· ‘Ἀνέστη ὁ Κύριος.‘»

book 10 [Ὡς] δὲ ταῦτα αὐτοῖς ὁ Πιλᾶτός φησιν· «Ἔχετε κουστωδίαν, πορεύεσθε, [para]τὸ συμφέρον ὑμῖν ποιήσατε νυνί.» Ὦ Πιλᾶτε, [νῦν π]λῦνον τὰς φρένας σου ὡς καὶ τὰς χεῖράς ποτε, καὶ εἰπέ· «Ἀθῷός εἰμι.» Ἢ τάχα τότε τὸ ὅραμα τῆς γυναικός σε κα[τ]έπληξε; Τί οὖν ποιήσεις, ἂν ἀκούσῃς οὐρανίων, γηΐνων, βοώντων μετὰ τὴν ἀνάστασιν· «Ἀνέστη ὁ Κύριος»;

book 11

»[Μή], φησίν, νυσταγμὸν τοῖς βλεφάροις ὑμῶν νῦν παράσχητε, ἀλλ’ ὑπομείνατε», [para]οἱ ἄνομοι πρὸς τοὺς στρατιώτας ποτέ· »[κο]πιάσατε μικρὸν ἀγρυπνήσαντες ἵνα εἰς τέλος νε[κ]ρὸς Ἰησοῦς λογισθήσεται· τοῦ γὰρ Πιλάτου τὸ θέλημα ποιεῖτε, [ἂν] τοῦτο δράσητε· ἔσται δ’ ὑμῖν κέρδος ὁ κόπος καὶ ἡμῖν [κ]λέος, ὅτι μετὰ τὴν φθορὰν οὐδεὶς λέγει σαφῶς· ‘Ἀνέστη ὁ Κύριος.‘

book 12 [Ἀ]νωφέλητον δὲ τὸ ἐπίταγμα νῦν μὴ λογίσησθε· καὶ γὰρ σπου[δά]ζομεν [para]θεραπεῦσαι ὑμᾶς μετὰ κόπον ὑμῶν· τῷ Ἰούδα [ἐ]δόθη τριάκοντα, λάβετε νῦν καὶ ὑμεῖς ἐν διπλῷ τὰ τρι[άκον]τα. Τοῦτό ἐστιν ὅπερ εἴπομεν, ζῶν καὶ θανὼν ἐπιζή[μιος]· ὅμως μὴ κάμωμεν εἰς μάτην· μὴ χρυσὸς ἀφ’ ἡμῶν [καὶ] Χριστὸς καθ’ ἡμῶν καὶ οἱ λέγοντες· ‘Ἀνέστη ὁ Κύριος.‘»

book 13 [Νευ]ρωθέντες εὐθὺς τῇ ματαίᾳ βουλῇ τῶν ἀνόμων τὸ μνῆμα κατέλαβον, [para]καὶ ἐφρούρει Χριστὸν βασιλέα στρατός. Στρατιῶται τοῦ μνήματος ἔξωθεν, καὶ ἔνδον πόλεμος ἦν τοῦ Χριστοῦ πρὸς τὸν θάνατον, τοῦ μὲν τὸ κράτος ἁρπάζοντος, τοῦ δὲ τοῦ κράτους ἐκπίπτοντος, τοῦ μὲν ἁρπάζοντος τοὺς κάτω, τοῦ δὲ τοῖς κατωτέρω βοῶντος· «[–] κράζωμεν· ‘Ἀνέστη ὁ Κύριος.‘»

book 14 Οὕτω δὲ νικωμένου θανάτου ποτὲ καὶ τοῦ ᾅ[δου θορύ]βους κινήσαντος, [para]οἱ φύλακές φησι· «Τίς νῦν ἡ ταραχή; [Πρώτη] νύξ, καὶ ἠρεμοῦσαν οἱ ἔνδοθεν· δευτέρα δέ, καὶ ἡσύχ[αζον]· τρίτην σαλεύονται· κλαίουσιν ἅμα καὶ χαίρουσιν, [ὀδύ]ρονται καὶ ἀγάλλονται· ‘οἴμοι οἴμοι‘ πρὸς ἀλλήλους· ἀλλήλοις δὲ ἄλλοι γηθόμενοι ‘εὖ‘ οὕτω λέγουσιν, ‘ἀνέστη ὁ Κύριοσ‘.

book 15 Ὑπὸ φόβου πολλοῦ ἐσαλεύθη ἡ γῆ καὶ ὁ λίθος δὲ ἤρθη τοῦ μνήματος· [para]μὴ πολλάκις ὃν πρὶν ἐφυλάττομεν ἐν σταυρῷ καὶ ἐφρίξαμεν ἅπαντες, οὗτος καὶ νῦν τὸν Ἀδὰμ ἀναστήσας ἐγείρεται; Τότε τὰς πέτρας διέρρηξε, νῦ[ν δὲ] τὸν λίθον ἐσάλευσε· μᾶλλον αὐτός ἐστιν ὁ τότε καταπ[έτα]σμα σχίσας καὶ μνῆμα ἀνοίξας· ὑπνούντων ἡμῶν ἀνέστη ὁ Κύριος.

book 16 Ἀναστάντες ἡμεῖς ἐρευνήσωμεν νῦν τὸ μνημεῖον, ὦ φίλοι, καὶ ἴδωμεν· [para]ὁ λίθος γὰρ εἰκὸς μετετέθη σεισμῷ. Εἰ ὁ νεκρὸς ἔνδοθεν κεῖται, σιγήσωμεν· εἰ δ’ ἀφανὴς ὁ θανών, σὺν [τοῖς] κάτω δακρύσωμεν· τότε γὰρ Θάνατος ἔκλαιε, καὶ [Ἅιδης] μᾶλλον ὠδύρετο, ὅτε ἡμεῖς συνεζητοῦμεν· ‘Τίς ὁ λέγων· οὐαί, καὶ τίς κράζει τό· εὖ, καὶ τίνων αἱ φωναί· ἀνέστη ὁ Κύριος;‘

book 17 —Ἰδοὺ ἔνδον οὐδείς· ἐν τῷ λίθῳ δὲ τίς ὃν ὁρῶ ἢ δοκῶ ἢ φαντάζομαι; [para]—Τάχα νύξ σε πλανᾷ; —Φίλε, νύξ με πλανᾷ; —Σὺν ἡμῖν κατακλίθητι καὶ ὕπνωσον· πνεῦμά ἐστι τὸ φαντάζον σε· σίγα, καθεύδησον. —Μᾶλλον δὲ νῦν ἀγρυπνήσωμεν τῇδε κἀκεῖσε προσέχοντες, μή τις θηρᾷ ἡμῶν τὸν ὕπνον καὶ ἐλθὼν κλέψει τοῦτον, καὶ τίς δυσωπήσει τοὺς [κράζοντας· ‘Ἀνέστη ὁ Κύριοσ]‘;

book 18 Νὺξ παρῆλθε λοιπόν, εἰ παρῆλθε σαφῶς, καὶ ὃ εἶπας, ὦ φίλε, τὸ πρὶν ἀληθές, [para]καὶ ὁ τότε θανὼν νῦν πέλει φαεινός· οὗτος ἐντὸς τὸν λίθον ἐσάλευσεν, οὗτος ἐφόβησεν ἡμᾶς τοῖς λόγοις· ἔστι γὰρ φρικτός· φῶς φορεῖ, φῶς πέμπει, φῶς ἐστι· τάχα φωτὸς υἱός ἐστι καὶ τοῦ φωτὸς δὲ ὑπηρέτης, [–] τὰ ῥήματα ταῖς γυναιξὶν ἃ ἐβόησεν· ‘Ἀνέστη ὁ Κύριοσ‘.»

book 19 Ὁ [μὲν λάκ]κος αὐτῶν, τὸ δὲ κέρδος ἡμῶν· τῶν ἀνόμων τὸ α[ἶσχος], τὸ καῦχος δ’ ἡμῶν· [para]ἐκείνοις ἡ πληγή, ἡμῶν δὲ [ἡ ζωή]· καὶ γὰρ ὄντως ἀνέστη ὁ Κύριος. Εἰ καὶ οἱ τηροῦντες τὸ [μνῆμα] ἀργύριον ἔλαβον ἵνα σιγήσωσι θέλοντες, οἱ λίθοι μᾶλλον κράξουσιν ὅτι ἄνευ χειρῶν λίθος ὁ ἐξ ὄρους τμη[θείς], ὡς ποτὲ ἐκ γαστρός, καὶ νῦν ἐκ τῆς ταφῆς ἀνέστη ὁ Κύριος.

book 20 [Σύ, σωτήρ], ἐκ γαστρὸς ἦλθες ἄνευ σπορᾶς τῇ παρθένῳ τὰ τῆς παρθενίας λιπών, [para]ὡς νῦν τὰ τῆς ταφῆς ἀνεῖλες τῇ ταφῇ· ὡς σινδόνα Ἰωσὴφ καταλείψας ταφῇ, ἔλαβες δὲ τῆς ταφῆς τὸν γεννήσαντα τὸν Ἰωσήφ. Ἦλθεν Ἀδάμ σοι ἑπόμενος, Εὔα δέ σοι ἠκολούθησε· τῇ Μαριὰμ Εὔα δουλεύει, σὲ [δὲ] πᾶσα ἡ γῆ προσκυνεῖ ἐπινίκιον ᾄδουσα· «Ἀνέστη ὁ Κύριος.»

book pro

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸν σταυρόν σου προσκυνῶ, Χριστὲ ὁ Θεός, [para]καὶ τὴν ταφήν σου δοξάζω, ἀθάνατε, [para]καὶ τὴν ἀνάστασίν σου ἑορτάζων κραυγάζω σοι· «Ἀνέστη ὁ Κύριος.»

book 1 Τὴν ὁδόν σου, σωτήρ μου, τὴν εἰς Ἅιδην οὐδεὶς ἔγνω σαφῶς, [εἰ] μὴ ὁ Ἅιδης· [para]ἠδυνήθη γὰρ ἀφ’ ὧν εἶδεν, ἀφ’ ὧν ἔπαθεν, μαθεῖν σου τὴν δύναμιν· αὐτὸν οὖν πρῶτον θέλω ἐρωτῆσαι [ὅ τι] γέγονε, [para]καὶ τότε μετὰ τοῦτον τοὺς φυλάξαντας τὸ μνῆμά σου τίς ὁ κλέψας τὸ σῶμά σου. Εἰ γὰρ καὶ ἔγνων ἀκριβῶς πῶς ἀνέστης, ἀτελεύτητε, [para]μαθὼν ἐκ τῶν φίλων σου, ὅμως καὶ ἐκ τῶν μισούντων σε [para]ἐπείγομαι πιστώσασθαι τοὺς λόγους τῶν κραζόντων· «Ἀνέστη ὁ Κύριος.»

book 2 [Ὁ] φιλῶν γὰρ ὡς φίλον μεγαλύνει· ὁ μισῶν καὶ μὴ θέλων ἀληθεύει, [para]καθὼς γέγραπται· «Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ τῶν μισούντων ἡμᾶς.» Εἰπὲ οὖν πρῶτος, Ἅιδη, ὁ ἀεὶ ἐχθρὸς τοῦ γένους μου, [para]πῶς εἶχες ἐν τῷ τάφῳ τὸν ποθήσαντα τὸ γένος μου; Τίς σοι οὗτος λελόγιστο; Πάντως ὡς πάντες οἱ ἐκ γῆς ἐλογίσθη σοι, ταλαίπωρε, [para]λοιπὸν δὲ καὶ ἄπορε· οὓς γὰρ εἶχες ἀπώλεσας, [para]καὶ ὃν κατέχειν ἔλεγες οὐχ εὗρες· ἀληθῶς γὰρ ἀνέστη ὁ Κύριος.

book 3 «Ὑπ’ ἐμοῦ θέλεις, ἄνερ, διδαχθῆναι πῶς ἐμοὶ κατεπέβη ὁ φονεύς μου; [para]Διαλέλυμαι καὶ οὐκ ἰσχύω σοι [ἐρεύξα]σθαι· ἀκμὴν γὰρ τεθάμβημαι αὐτὸν νομίζων [βλέ]πειν τὸν καιρὸν ἐκεῖνον, ἄνθρωπε, [para]ἐν ᾧ κατανοήσας [ἐθεώ]ρουν σαλευόμενον τοῦ κειμένου τὸ λείψανον· καὶ με[τ’ ὀ]λίγον δυνατῶς ἐξαλλόμενον ἀνίστατο [para]καὶ χεῖρα[ς ἃς] ἔδησα τῷ λαιμῷ μου ἐπέθηκε, [para]καὶ πάντας οὓς κατέπιον ἐξέμεσα βοῶντας· ‘Ἀνέστη ὁ Κύριος.‘

book 4 Τί δὲ κλαίω νεκροὺς οὓς ἀφῃρέθην; Ἐμαυτὸν θρηνῳ[δῶ] πῶς ἐχλευάσθην· [para]καὶ οὐκ ἤρκεσε τοῦτο μόνον εἰς αἰσχύνην μου, ἀλλ’ ὅτι καὶ ἐμπαίζομαι· λίχνον γὰρ καὶ παμφάγον οἱ φυγόντες με καλοῦσί με, [para]καὶ ῥήμασι τοιούτοις παροξύνουσί με λέγοντες ‘Τί γὰρ χαίνεις ὑπέρμετρα; Τί τῷ λαιμῷ σου ἐνωθεῖς εἴ τι δήποτε ὡς δήποτε, [para]ἀκόρεστε, ἄπληστε; Τί ἠπείχθης πρὸς ἔδεσμα [para]ταράσσων τὴν γ[αστέ]ρα σου; Ἰδοὺ γάρ σε κενώσας ἀνέστη ὁ Κύριος.‘

book 5 Ἀλλ’ εἰ δέχονται, ἔχω ἀντιλέγειν· καὶ τίς ἄρα οὐκ εἶχε πλανηθῆναι [para]θεωρῶν αὐτὸν τῇ σινδόνι ἐνειλούμενον καὶ τάφῳ [δι]δόμενον; Τίς οὕτως ἦν κτηνώδης μὴ νοῆσαι ὅτι τέθνηκεν, [para]ὁπότε σμῆγμα σμύρνης καὶ ἀλόης ἐπεχρίετο πρὸς ἐμὲ πορευόμενος; Τίς εἶπε πάλιν μὴ νεκρὸν βλέπων λίθον ἐπικείμενον [para]οὗ ἦν οὗτος κείμενος; Τίς τοιοῦτον ἐνόησεν [para]ἢ τ[ίς] ποτε ἐπήλπιζε βοῆσαι περὶ τούτου· ‘Ἀνέστη ὁ Κύριοσ‘;

book 6 Παρ’ ἐμοὶ οὖν οὐδὲν ὧν ἐγκαλοῦσι· πρὸς ἐμὲ γὰρ αὐτὸς ἑκὼν κατῆλθε, [para]καὶ τὰ πρῶτα μὲν ὠδυνώμην, τελευτ[αῖ]ον δὲ οὐκ οἶδα τί πέπονθα· τὸ ἄνθος τὸ γλυκάζον ἐμοὶ γέγονε τιθύμαλλος [para]καὶ ὅλος μου ὁ φάρυγξ ἐπικράνθη ἐκ τῆς γεύσεως, καὶ οὓς εἶχον ἀπέπτυσα. Οὐδεὶς τοιοῦτον κατ’ ἐμοῦ ἐνενόησεν ἢ ἔπραξεν [para]ὡς οὗτος ἐποίησε· βασιλέων ἐδέσποζον [para]καὶ προφητῶν ἐκράτησα καὶ τούτων τῶν κραζόντων·

book 6 ‘Ἀνέστη ὁ Κύριος.‘

book 7 Ἰδοὺ πέλω δεσμώτης ὁ δεσπότης καὶ δουλεύω ὁ πρώην βασιλεύων, [para]καὶ γεγένημαι ὁ ἐπίφοβος ἐπίληπτος καὶ πᾶσιν εἰς [γέλωτα]· παντόθεν γυμνητεύω, τὰ γὰρ πάντα μου ἀφήρπασε· [para]ἐκέλευσε, καὶ ἄφνω τοῦτον ἅπαντες ἐκύκλωσαν ὡς κηρίον αἱ μέλισσαι, κἀμὲ δὲ δήσας [ἰσχυ]ρῶς ἔλεγεν αὐτοῖς ἐμπαίζειν μοι [para]καὶ παίειν τὴν κάραν μου καὶ τὸν νῶτον συγκάμπτειν μου [para]καὶ τὴν σκληρὰν καρδίαν μου συντρίβειν, καὶ κραυγάζειν· ‘Ἀνέστη ὁ Κύριος.‘

book 8 Νὺξ μὲν ἦν ὅτε ταῦτα ἐκαρτέρουν, πρὸς τὸν ὄρθρον δὲ ἄλλο ἐθεώρουν, [para]ὡς ἐπείχθησαν εἰς τὴν τούτου ὑπαπάντησιν αἱ πύρινοι σύνοδοι· καὶ ἔξωθεν μὲν φόβοι, ἔσωθεν δὲ μάχαι εἶχόν με· [para]τὸ βλέμμα μου δὲ πέμπειν οὐδ’ ἑτέρῳ κατεθάρρησα, ὅτι πάντες ἠπείλουν μοι. Διὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγκρύψας τὴν μορφὴν ἀνὰ μέσον τῶν γονάτων μου, [para]δακρύων ἐβόησα· ‘[Ὁ] τὰς πύλας συντρίψας μου [para]καὶ τοὺς μοχλοὺς συνθλάσας μου, πορεύου ἵνα κράζω·

book 8 Ἀνέστη ὁ Κύριοσ‘.

book 9 [Ὁ μὲ]ν οὖν ἐπὶ τούτοις μειδιάσας τοῖς ὀπίσω φησίν· ‘Ἀκολουθεῖτε‘· [para]τοῖς δὲ ἔμπροσθεν ἔφη πάλιν· ‘Προηγεῖσθέ μου, διὸ καὶ κατήλθατε.‘ Καὶ ἄφνω ἡσυχία καὶ δειλία κατεκράτησε [para]τῆς κτίσεως ἁπάσης· ὁ δεσπότης γὰρ τῆς κτίσεως τῶν μνημάτων ἐξήρχετο· προφῆται πάντες πρὸ αὐτοῦ δευτεροῦντες ἃ προέφησαν [para]καὶ πᾶσι γνωρίζοντες ὅτι οὗτος αὐτός ἐστιν [para]ὁ γνώμῃ καταβὰς εἰς γῆν· καὶ γνώμῃ νῦν ἐκ ταύτης ἀνέστη ὁ Κύριος.

book 10 Ὑψηλῇ τῇ φωνῇ ὁ Σοφονίας τῷ Ἀδὰμ ἀνεβόα· ‘Οὗτός ἐστιν [para]ὃν ὑπέμεινας εἰς ἡμέραν ἀναστάσεως ὃν τρόπον προεῖπόν σοι.‘ Ναοὺμ δὲ μετὰ τοῦτον τὸν πτωχὸν εὐηγγελίζετο, [para]‘ἐκ γῆς ἀνέβη, λέγων, ἐμφυσῶν σου εἰς τὸ πρόσωπον ἐξαιρούμενος θλίψεωσ‘, καὶ Ζαχαρίας χαριεὶς κράζων· ‘Ἦλθες ὁ Θεὸς ἡμῶν [para]μετὰ τῶν ἁγίων σου‘, καὶ Δαυὶδ ψάλλων εὔσημα· [para]‘Ὡς δυνατὸς ἐγήγερται καὶ ὥσπερ ἀπὸ ὕπνου ἀνέστη ὁ Κύριος.‘

book 11 Ῥαπιζόντων δὲ τούτων τὴν μορφήν μου προφητείαις, ψαλμοῖς καὶ ὑμνῳδίαις, [para]ἀνεφύησαν καὶ γυναῖκες προφητεύουσαι, ἐμοῦ κατορχούμεναι· καὶ τούτων μὲν ἡ πρώτη Μωϋσέως ἦν ἡ σύγγονος [para]σκιρτῶσα καὶ δονοῦσα τῇ χειρὶ αὐτῆς τὸ τύμπανον ὃ καὶ πρώην ἐπέφερε, καὶ ὥσπερ ἄλλην ἐρυ[θρὰν διελ]θοῦσά μου τὰ δώματα [para]τερπνῶς ἐτυμπάν[ιζεν· ‘Ἄι]σωμεν τῷ Θεῷ ἡμῶν· [para]ἐνδόξως γὰρ δεδόξασται· [τὸν Ἅι]δην ἐδαφίσας ἀνέστη ὁ Κύριος.‘

book 12 Ὢ τοιούτων κακῶν μία νὺξ μήτηρ καὶ τοσούτων δεινῶν [πατὴρ] εἷς ὄρθρος· [para]ἡ μὲν ἔτεκεν, ὁ δὲ φθάσας προστέθεικε τ[ῷ ἄλ]γει μου ὄνομα· ἀνάστασιν καλοῦσι τὴν ἡμέραν μ[ου τῆς] πτώσεως, [para]πανήγυριν τελοῦσι τὸν καιρὸν τῆς ἀπωλεί[ας] μου· οἴμοι οἴμοι, τί ἔπαθον.» Τοιαῦτα Ἅιδης πρὸς ἐ[μὲ] ἐρωτήσαντα ἐφώνησεν, [para]οὐ ῥήμασι πείσας με, ἀλλὰ πράγμασι δείξας μοι [para]ὅτι γυμνὸν καὶ ἔρημον παντόθεν [αὐ]τὸν δείξας ἀνέστη ὁ Κύριος.

book 13 Μετὰ δὲ τοιαῦτα καὶ τοσαῦτα, ὡς εὗρον τοὺς φυλάξαντας τὸ μνῆμα, [para]εἰς ἐρώτησιν ἐκινήθην, καὶ ἐπείγο[μαι] πληρῶσαι ἃ προείπον. Μηδεὶς οὖν ὡς ληροῦντα ἢ [παρὰ] καιρόν τι λέγοντα [para]ἡγήσηταί με, φίλοι· ἀναγκαῖον γὰρ ἐνόμισα ἀποδοῦναι ἃ ὤφειλον. «Εἴπατε οὖν μοι καὶ ὑμεῖς, [στρα]τιῶται ληρωδέστατοι, [para]τί ἦν τὸ γενόμενον; Τίς τὸν λίθ[ον] ἐκύλισε [para]καὶ τὸν νεκρὸν ἐσύλησε καὶ εἶπεν μετὰ ταῦτα· ‘Ἀνέστη ὁ Κύριοσ‘;»

book 14 Ἀλλ’ ἀκούσαντες ταῦτα οἱ τηροῦντες τὸ μνημεῖόν ποτε [τοῦ] ἀθανάτου [para]ἀπεκρίθησαν οὐ φωνῇ μοι ὁμιλήσαντες, φυγῇ δὲ δηλώσαντες· «Τί βλέπεις ἡμᾶς, ἄνερ, εἰρηνεύοντας ἢ φεύγοντας; [para]Ἐκ τούτου οὖν ἐννόει ὅτι πάντως κατεπλάγημεν· οὐ γὰρ ὅτι ἐκλάπημεν· οὐ γὰρ παρέσχε νυσταγμὸν ὁ καθεὶς ἡμῶν τοῖς ὄμμασιν, [para]οὐ ταῖς φρεσὶ θάμβημα, ἀλλὰ πάντες ἐγρήγοροι, [para]πάντες ἀεὶ ἐφυλάττομεν καὶ [οὐ]κ οἴδαμεν πῶς ἄφνω ἀνέστη ὁ Κύριος.

book 15 —Νῦν ἐμοὶ ἀπαράδεκτον τὸ ῥῆμα ὅ φατε, οἱ φυλάττοντες τὸ μνῆμα, [para]καὶ οὐ πείθομαι ὅτι πάντως ἠγνοήσατε Χριστοῦ [τὴν] ἀνάστασιν· οἱ πάντα πανταχόθεν πρὸς ἀσφάλειαν π[οιή]σαντες, [para]πῶς εἴχετε μὴ γνῶναι τί γεγόνει ὁ τηρούμενος; Ὡς οὖν γνόντες σημάνατε. —Οὐδεὶς ἰσχύει ἀκριβῶς ἅπ[ερ θέλεις] ἀπαγγεῖλαί σοι, [para]φησί μοι οἱ φύλακες, οὐδὲ εἷς τῶν ἐν [σώματι], [para]ἀλλ’ οὐδὲ ὁ ἀσώματος ὁ ἐν τῷ τάφῳ λέξας· ‘Ἀνέστη ὁ Κύριος.‘

book 16 [Ὅπερ οἴδ]αμεν, τοῦτο καὶ δηλοῦμεν· κἂν ἡμεῖς γὰρ αὐτὰ νῦν σιωπῶμεν, [para]οἱ λίθοι κράξουσι καὶ ἐλέγξουσι τὴν πώρωσιν [ἡμῶ]ν καὶ τὴν τύφλωσιν. Τὴν ὥραν μὲν ἐκείνην τῆς ἐγέρ[σεω]ς οὐκ οἴδαμεν, [para]ἐκ ταύτης δὲ τῆς ὥρας ἃ ὑπέστημεν γνω[ρίζο]μεν· ἀλλ’ ἀνάσχου καὶ ἄκουσον. Ἐπαγρυπνοῦντες τῇ τα[φῇ καὶ] σκοποῦντες μή τι γένηται, [para]ἐξάπινα

βλέπομεν πυ[ραυγ]εῖς χεῖρας ἕλκοντας [para]τὸν λίθον ἐκ τοῦ μνήματος καὶ [στό]μα λαλοῦν ταῦτα· ‘Ἀνέστη ὁ Κύριος.‘

book 17 [Ὑπ’ ἐ]κείνου ὁ λίθος ἐκυλίσθη καὶ ἡμῶν πᾶς ὁ τόνος ἐξελύθη, [para][καὶ οὐ]δὲν ἡμῖν ὑπελείφθη πρὸς βοήθειαν, οὐ ῥῆμα, οὐ νόημα· [νεκρ]οὶ γὰρ ἦμεν πάντες οἱ νεκρόν ποτε φυλάσσοντες, [para]καὶ πᾶ[σα ἡ] σοφία κατεπόθη ἡμῶν ἄθροον θεωρούντων τὸ δρώμε[νον]· φωτοειδὴς γὰρ ἡ μορφὴ τοῦ τὸν λίθον ἐκκυλίσαντος [para]ἡμῖν [ἐπ]εφαίνετο, καὶ θυμὸν ἐπεφέρετο [para]τῇ γῇ, ὥσπερ θυμούμενος [τοῖς μὴ] ὁμολογοῦσιν· ‘Ἀνέστη ὁ Κύριος.‘

book 18 [Ἅπερ θέ]λεις μαθεῖν ἵνα θαυμάσῃς, γυναιξὶ προσιτὸς ἦν [ὁ τοι]οῦτος [para]καὶ ἀπρόσιτος τοῖς ἀθλίοις ἡμῖν γέγονεν ἐκεῖνος [ὁ πύρι]νος· ἐκείναις συνωμίλει καὶ ἡμῖν ἠπείλει θάνατον, [para][ἐκείνα]ς ἐκραταίου καὶ ἡμᾶς τῷ φόβῳ ἔκαμπτεν καὶ [προ]τρέχων κατέθαπτε· πρὸς τὰς γυναῖκας ἱλαρός, πρὸς ἡ[μᾶς] δὲ [σο]βαρώτερος [para]ἐξαίφνης ἐγένετο, καὶ ἡμᾶς μὲν ἐνέ[κρωσ]ε, [para]ἐκείνας δὲ ἐνεύρωσε βοήσας· ‘Μὴ φοβεῖσθε, ἀνέστη ὁ Κύριος.‘

book 19 [Ἱσταμ]ένων δὲ τότε τῶν θηλείων καὶ σοφῶς ἐμβλεπόντων [τῷ] σπηλαίῳ, [para]ἀπεκρίνατο πρὸς ἐκείνας ὁ ἀσώματος· ‘Ἠ[γέρθη] ὃν θέλετε· εἰ δ’ ἔτι ἀπιστεῖτε καὶ ὡς φάσμα με νομίζετε, [para][ἐμοὶ] ἀκολουθεῖτε καὶ τὸν τόπον θεωρήσατε ὅπου ἔκειτο ὁ Κύριος.‘ Τούτων ἔνδον εἰσελθουσῶν, τότε καὶ ἡμεῖς ἐφύγομεν [para]καὶ [ταῦτ]α ἐφήσαμεν· ‘Εἰ ὁ δοῦλος ἐλήλυθε [para]καὶ γῆν πάντων ἐσ[άλ]ευσε, τί ἆρά γε ποιήσας ἀνέστη ὁ Κύριος;‘

book 20 Νῦν οὖν, ἄνθρωπε, μὴ ἐγκαταλέξῃς σεαυτὸν τοῖς [παρά]φροσιν ἐκείνοις [para]καὶ πεισθῇς ἡμῖν ψευδομένοις ὅτι κέκλεπται Χριστὸς καὶ οὐκ ἐγήγερται· χρυσός ἐστιν ὁ [πείσας] ἡμᾶς κρύψαι τὴν ἀλήθειαν, [para]χρυσὸς ὁ πάντα τρέπ[ων] ἅπερ θέλουσιν ὡς θέλουσιν οἱ ἐν τούτῳ καυχώμενοι· [διὸ] πραθέντες ἀκριβῶς καὶ γενόμενοι τοῦ λήμματος, [para]τὸ ῥῆμα τοῦ κλέμματος παρὰ πᾶσιν ἡπλώσαμεν, [para][κα]θάπερ ἠγοράσθημεν μὴ λέγειν ὅτι ὄντως ἀνέστη ὁ Κύριος.»

book 21 Ὁ μὲν Ἅιδης τοιαῦτά μοι προεῖπεν, οἱ δὲ φύλακες [παραυ]τὰ τοσαῦτα [para]ἐπιτέθεικαν ὡς σφραγῖδα οἷς ἐλάλησ[εν] ἐκεῖνος ὁ ἄπληστος. Ἐγὼ δὲ ἐκ τῶν δύο τὸ ζητούμε[νον ἐ]θέρισα [para]καὶ ψεύστων ἀπὸ ζεύγλης τὴν ἀλήθειαν ἐτρ[ύγησα]· διὰ τοῦτο καὶ γέγηθα ὅτι ὃ εἶπεν ὁ Σαμψὼν πρὸ το[σού]των χρόνων πρόβλημα [para]ἐγὼ νῦν ἐγνώρισα· ἀπὸ [Ἅιδου] ἐσθίοντος [para]καὶ ἀπὸ ἰσχυροῦ στρατοῦ ἐξῆλθε γλυκὺ ῥῆ[μα]· ἀνέστη ὁ Κύριος.

book 22 Σὺ οὖν, ἄναρχε, τέλος 〈ὁ〉 μὴ ἔχων, ποιητὰ καὶ Θεὲ τῆς [ἀληθεί]ας, [para]ὁ τὸν θάνατον θανατώσας, τὸν δὲ ἄνθρωπον ποιήσας [ἀ]θάνατον, ἐν τῇ ἐσχάτῃ ὥρᾳ ὅταν ἔρχῃ ἀναστῆσαί [με] —ἐλεύσῃ γάρ, σωτήρ μου, οὐχ ὡς ἄρτι ἐκ τοῦ μνήματος, ἀλλ’ [ἐκ] τοῦ στερεώματος—, διὸ καὶ τότε ἑαυτὸν βλέπων ἐν [ἐμοί], φιλάνθρωπε, [para]—φιλῶν σε γὰρ ἔχω σε—, μὴ οὖν κρίνῃς με δέ[ομαι], [para]ἵν’ εἴπω· «Οὐκ εἰς κόλασιν, ἀλλ’ εἰς τὸ ῥύσασθαί με ἀνέστη ὁ Κύριος.»

book pro Τὸν σὸν ἑκούσιον θάνατον ζωὴν ἀθάνατον εὕρομεν, παντοδύναμε καὶ μόνε τῶν ὅλων Θεέ· [para]σὺ γὰρ ἐν τῇ [σε]πτῇ σου ἐγέρσει πάντας ἀνεκαλέσω, οἰκτίρμων, ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος καὶ Θανάτου τὸ κέντρον.

book 1 Τὸ μυστήριον τῆς σῆς οἰκονομίας, ὦ σωτὴρ ἡμῶν, ἄφραστόν ἐστιν, ἀκατάληπτον, [para]ὡς μεμένηκας ὁμοούσιος τῷ Πατρὶ καὶ ἡμῖν· ἀλλὰ ἵνα σαφῶς ἕνα ἐξ ἀμφοῖν ἀσυγχύτως νοήσωμεν, [ἔμει]νας ὃ ἦς, γέγονας ὃ οὐχ ὑπῆρχες, ἐκ παρθένου ἀφθόρου σαρκωθεὶς δι’ ἡμᾶς ὡς ἡμεῖς ἁμαρτίας ἐκτός· καὶ Θεὸς ὢν ἀληθείᾳ καὶ ἄνθρωπος οὐ φαντασίᾳ εἷς ὁ αὐτὸς κατ[εδέ]ξω τὸ πάθος οἰκονομίᾳ, [para]ἵνα τῶν παθῶν δώσῃς 〈τοῖς βροτοῖς〉 ἐλευθερίαν, ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 2 [Ὁ] ποιήσας τὰ πάντα προστάγματι, ἐπὶ γῆς ὤφθης γενέτου μένων ἀμέριστος· [para]οὐκ ἀρχὴν γὰρ θεότητος κέκτησαι [οὔτε] χρόνῳ τινὶ ἐποιήθης αὐτός, ἀλλὰ σὺν Πατρὶ διαμένεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[προ]άναρχος· οὐ γὰρ κτίσμα εἶ, ἀλλὰ ὑπάρχεις γέννημα, [συνα]ΐδιος Λόγος ἀεὶ τῷ γεννήσαντί σε ὁμοούσιος. Ὅθεν ἐν μίᾳ οὐσίᾳ ἅμα Πατρὶ καὶ τῷ Πνεύματι ὑπὸ πιστῶν καταγγέλλῃ [ὡς] ἀμερὴς ἐν τριάδι, [para]εἰ καὶ τὸ κατὰ σάρκα σταυρωθῆναι κατεδέξω 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 3 [Ὑ]ïὸς τῇ ἀνάρχῳ θεότητι τοῦ Πατρὸς πέλων γέγονας θέλων καὶ ἄνθρωπος· [para]τὴν μὲν θείαν οὐσίαν οὐκ ἔτρεψας ἐκ μητρὸς προσλαβὼν τὴν τοῦ δούλου μορφήν, εἷς μονογενὴς ὑπὸ πάντων δηλούμενος· ἄκτιστος μὲν γὰρ ὡς ἀκατάληπτος Λόγος, ἀλλὰ [κτ]ίσμα σαρκὶ θεαθεὶς διὰ γένος βροτῶν τῇ τοῦ δούλου μορφῇ· ἄνω ἀόρατος, γέγονας κάτω ὁρώμενος πᾶσι· σωματικῶς δὲ τὸ πάθος ὑπὲρ ἡμῶν κατεδέξω [para] 〈– – – –〉 ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 4 [Τὸν] αὐτὸν οὖν Χριστὸν ἐπιστάμεθα ὑïὸν ἕνα, ἅμα Θεόν τε καὶ ἄνθρωπον, τῇ ἀνάρχῳ μὲν φύσει ἀθάνατον, ὑπομείναντα δὲ θάνατον τῇ σαρκί· [para]πᾶν γὰρ ὑλικὸν τὰ βροτῶν ὑποδέχεται, ἃ καὶ δεῖ εἰπεῖν ὕβρεις καὶ ταλαιπωρίας, ἐμπαιγμούς τε λοιπὸν καὶ πληγάς· ἀπαθὲς δὲ ὑπάρχει τὸ ἄκτιστον. Οὕτως πιστεύων, [ὦ] ἄνθρωπε, οὐδέποτε ἁμαρτήσεις, σωματικῶς σταυρωθέντα τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον· [para]οὔτε γὰρ διαιρεῖται ἡ τῶν φύσεων ἑνότης , ὁ λύσας 〈τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 5 Ἀγνοήσας σε κτίστην τῶν ὅλων τὸ κτιστὸν λαβόντα, δόλον Ἰούδας ἐξειργάσατο [para]καὶ φιλάργυρον τρόπον κτησάμενος τοῖς ἀνόμοις πωλεῖ τὸν καλὸν θησαυρόν, θείαν δὲ βουλὴν ἀποκρύπτειν οὐκ ἴσχυσε· σῶμα γὰρ τὸ σὸν μεταλαμβάνων εἰς βρῶσιν τῷ θανάτῳ εὐθὺς προδιδοῖ, ἀλλ' οὐκ ἔλαθέ σε τὸν γνώστην τῶν κρυπτῶν, καὶ ἐλεγχθεὶς οὐκ ᾐδέσθη γνώμην ὡς πλάνος προφέρων, μᾶλλον δὲ ῥέπων πρὸς φόνον τοὺς ἀπειθεῖς προσκαλεῖται· ὅθεν φίλτρῳ δολίως ἐξεδόθης πρὸς τὸ πάθος, 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 6 Παρανόμων ἀπάνθρωπα πλήθη ἀσεβῶς τελοῦντα ἄδικον τόλμαν ἐνεδείξαντο, [para]καὶ ῥαπίζοντες πρόσωπον ἄχραντον ὑστεροῦνται εὐθὺς τῆς ἀρχαίας τιμῆς, [λόγους] προφητῶν οὐδαμῶς ἐπιστάμενοι. Ὢ τῆς δυσμενοῦς, ὢ ἀσυνέτου πωρώσεως· ὡς φησὶν Ἡσαΐας ποτὲ διελέγχ[ων αὐ]τῶν τὸ ἀσύγγνωστον, ἀποφθεγγόμενος· «Ἥξει ἐπὶ σφαγὴν [τὸ] ἀρνίον, ὃς οὐκ ἀνοίγει τὸ στόμα ἐν τῇ αὐτοῦ ταπεινώσει [para][ὅ]πως ἄρας τὴν κρίσιν χορηγήσῃ εὐσπλαγχνίαν», 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 7 Ἐπὶ τούτοις δὲ μᾶλλον οἱ ἄνομοι ἰοβόλῳ γνώμῃ ἄδικα [πράτ]τειν ἐβουλεύσαντο· [para]διεσχίσθησαν καὶ οὐ κατενύγησαν [οἱ πολ]λάκις πολλὰ εὑρηκότες καλά, πρότερον τρυφὴν ἐν [ἐρ]ήμῳ κτησάμενοι· νόμον δὲ τιμᾶν διὰ τῶν ἔργων δοκοῦντες, τὸν τοῦ νόμου αὐτῶν πληρωτὴν σταυρωθῆναι σαρκὶ παρ[αδέ]δωκαν, τὸν διαλάμψαντα χάριν βλάσφημον λέγειν [τολ]μῶντες, τὸν τοὺς νεκροὺς ἀνιστῶντα ἔνοχον εἶναι θανά[του], [para]ὅτι πάθος μανίας διελέγχει μακροθύμως ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 8 Ἰησοῦ τοῦ Ναυῆ πολεμοῦντος ἐναντίων πόλεις, ὦ Ἰουδαῖ[ε, συ]νεβάδιζες, [para]θεωρῶν ἐκχεόμενα αἵματα καὶ δυνά[στων] πολλῶν πρὸς τὸ ἔδαφος τείχη ὀχυρὰ καταπτώσει τυγ[χά]νοντα· ἦλθεν Ἰησοῦς, τὸ τῆς παρθένου βλάστημα, ἐν σαρ[κὶ] τοῖς ἀνθρώποις φανεὶς καὶ ζωὴν τοῖς θανοῦσι δωρούμενος· καὶ νῦν τὸν σὸν εὐεργέτην ὅλως ἀχάριστος πέλων κ[αθυ]ποβάλλεις Πιλάτῳ, ἀξιῶν τοῦ σταυρωθῆναι· [para]ἀλλὰ θέλων σταυρ[οῦται] ἵνα σώσῃ τοὺς φθαρέντας ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 9 Νόμον θεῖον φυλάττειν ἐνόμιζε παρανόμων πλῆθος [καὶ κα]τακρίνει τὸν νόμου ποιητήν· [para]τῷ Πιλάτῳ γὰρ ἔκραζεν· «[Σταύ]ρωσον τὸν ἀεὶ βεβηλοῦντα τὸ σάββατον καὶ τοῦ Μωϋσῆ [τὰς] φωνὰς παρατρέψαντα.» Ὢ τῆς ἀναιδοῦς καὶ ἀπανθρώπου πράξεως· οὐκ αἰδοῦνται ἐκδοῦναι σταυρῷ ὃν προφῆται σαφῶς [προηγό]ρευσαν· ἀλλ᾽ ὡς μακρόθυμος φέρων τὰς τῶν ἀπί[στων ἐν]νοίας σωματικῶς θανατοῦται, ἵνα τὸν κόσμον [λυτρώσ]ῃ, [para]ἄφεσιν ὑπογράφων τῷ πεσόντι πρωτοπλάστῳ ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 10 [Ὅτε δὲ] κατὰ σάρκα ἐσταύρωσαν προσηλώσαντες ξύλῳ τὸν [πόλο]ν καὶ γαῖαν πλαστουργήσαντα, [para]θεωρῶν ἐσκοτίζετο [ἥλιος], οὐρανὸς δὲ καλύπτει τὰ ὄμματα, ὅμοιος νυκτὶ ὁ αἰ[θὴρ] ἀπεδείκνυτο· φόβου ἐκτομὴ πέτρας εὐθέως διέρρη[ξε]· καταπέτασμα δὲ μυστικὸν διεσχίσθη εἰς μέσον ἔνδον τοῦ [ναοῦ]· καὶ τῶν ἀπίστων ὁ δῆμος βλέπων οὐδὲν κατενύγη, [ἀλλὰ] προσέφερον λόγους ἀσυνέτους βοῶντες· [para]«Εἰ υἱὸς Θεοῦ πέλει, [ἑαυτ]ὸν ἐλευθερώσει ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος 〈καὶ Θανάτου τὸ κέντρον〉.»

book 11 [Ὑψω]θέντα ὁρῶν τὸν φιλάνθρωπον ὁ κακοῦργος τότε ὃς προσηλώθη [εὐώ]νυμος αὐτῷ [para]καὶ αὐτὸς τοῖς κακούργοις συνέπραττε, [βλασ]φημῶν εἰς Χριστὸν καὶ λέγων τὰ αὐτῶν· ὅμως παρευθὺς [διελέγ]χοντα ἔβλεπε τὸν ἐκ δεξιῶν οὕτως φθεγγόμενον τότε· »[Βλασφημεῖς] καὶ τολμᾷς ἀτεθεῖν σταυρωθέντα κριτήν, ὦ κατάκριτε; Σὺ μὲν δικαίως κολάζει, ὥσπερ κἀγώ, ἐκ τῶν ἔργων, αὐτὸς δὲ πάσχει [θελή]σει ἵνα τὰ πάθη συντρίψῃ [para]καὶ κουφίσῃ τοῦ ἄλγους τὸν [πληγ]έντα παραβάσει ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]〈καὶ Θανάτου τὸ κέντρον〉.»

book 12 [Ῥιζω]θεὶς πρὸς τελείαν διόρθωσιν, ὁ ποτὲ κακοῦργος ῥῆμα συμ[φέ]ρον ἐφθέγξατο· [para]τὸν βουλήσει τὸ πάθος ἑλόμενον ἐπιγνοὺς [ἀπα]θῆ τῇ θεότητι, ἔφη πρὸς αὐτόν· «Ἱκετεύω μὴ ἐάσῃς με· ὅτε [γηγ]ενῶν δημοσιεύσεις τὰς πράξεις, μὴ μνησθῇς τῶν ἐμῶν [πον]ηρῶν ὧν ἐτέλουν ἐγὼ ἐν τῷ βίῳ τὸ πρίν, ἀλλὰ ὡς νῦν συν[αλ]γεῖς μοι, ὄφθητι τότε συμπάσχων καὶ ἐν τῇ σῇ βασιλείᾳ μνήσθητί μου ὡς οἰκτίρμων [para]διὰ τοῦτο γὰρ θνήσκεις, ἁμαρτήσαντας οἰκτεῖραι, ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]〈καὶ Θανάτου τὸ κέντρον〉.»

book 13 [Ὢ δει]νῆς διαβόλου πωρώσεως, ὢ ἀπίστων γνώμης· οἱ τὰ [ἐνα]ντία φρονοῦντες τῶν γραφῶν [para]τὴν ἀλήθειαν γὰρ ἀποκρύπτουσι διαφόρους ὁδοὺς ἐφευρίσκοντες· ἕνα ὑϊὸν τὸν Χριστὸν μὴ γινώσκοντες θέλουσί τινες τὴν θείαν οὐσίαν μερίζειν 〈καὶ〉 βροτὸν ὀνομάζειν ψιλὸν τὸν ὀφθέντα ἐν κόσμῳ [σαρ]κὶ δι᾽ ἡμᾶς· ἀλλὰ Θεὸς ἐπεγνώσ[θη] φ[ύσει] ἀθάνατος μένων, εἰ καὶ βροτὸς ἐθεάθη δούλου μο[ρφὴν] ἐπιφέρων· [para]θέλων γὰρ ἐσταυρώθη ἵνα τὴν φθορὰν νε[κρώσῃ] 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος καὶ Θανάτου τὸ κέντρον〉.

book 14 Μέγα πέλει ἐν κόσμῳ μυστήριον τὸ τῆς σῆς παρουσίας, ὃ βλασφημοῦσιν Ἀρείου μαθηταί, [para]ὅτι σὲ τὸν Πατρὶ ὁμ[οούσι]ον ποιητὸν καὶ κτιστὸν καταγγέλλουσι, λόγους γραφ[ικοὺς] κακεμφάτως τιθέμενοι. Λάβε κατὰ νοῦν —ὢ δυσ[με]νοῦς πωρώσεως—, εἴπερ κτίσμα τὸν κτίστην καλεῖς [καὶ] Θεὸν ληρωδεῖς πλασθέντα ἐκ Θεοῦ, θεοποιεῖς καὶ ἀγγέλους [τοὺς] ἐξ ἀΰλου οὐσίας· ἀλλὰ καὶ χρόνος ὑπάρχει ὅτε οὐκ ἦ[σαν] ἐκεῖνοι· [para]μόνος ἄχρονος πέλει τοῦ γεννήτορος ὁ λόγος 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 15 Ἀναπτύξας Χριστοῦ τὴν ἀνάστασιν, ἐξ αὐτῆς γνῶθι πῶς τῇ Μαρίᾳ ἐφάνη ἐγερθεὶς [para]καὶ φησί· «Μή μου ἅπτου, ὦ γύναιον, μὴ ἐγγίσῃς σαρκὶ τῇ παθούσῃ σταυρόν· οὔπω γὰρ αὐτὴν ἐν [ὑψί]στοις ἀνήγαγον· σπεῦσον οὖν ταχὺ τοῖς μαθηταῖς μου [κηρῦ]ξαι ὅτι ἤδη πορεύομαι νῦν πρὸς πατέρα ἐμὸν καὶ πατέρα ὑμ[ῶν], πατέρα̲ ὑμ̲ῶν κατὰ χάριν, πατέρα̲ ἐμ̲ὸν κατὰ φύσιν· οὔτε

γὰρ [χρό]νος ὑπάρχει ὅτε ἐγὼ οὐχ ὑπῆρχον, ἀλλὰ σὺν τῷ πατρί μου [καὶ] τῷ πνεύματι τιμῶμαι ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para] 〈καὶ Θανάτου τὸ κέντρον〉 .»

book 16 Νευρωθέντες τοῦ Παύλου τοῖς ῥήμασιν οἱ πικρῶς νοοῦντες καὶ κακοτρόπως ἑρμηνεύοντες [para]ἐπουράνιον σάρκα σημαίνουσι προσλαβόντα Χριστὸν καὶ οὐχὶ ἐκ μητρός· «Οἷος γάρ, φησίν, ἔστιν ὁ ἐπουράνιος, τοιοῦτοί εἰσιν οἱ ἐπουράνιοι πάντες.» Ἀλλὰ γνῶθι, κακῶν ἐραστά, τοὺς δικαίους ὁποῖοι γεγόνασιν· ὁ Ἀβραὰμ ὁ προπάτωρ, αἱρετικέ, τί δοκεῖ σοι ὁ γεννηθεὶς ἐκ τοῦ Θάρρα καὶ οὐκ ἐλθὼν ἐκ τῶν ὑψίστων; [para]Λέγει δὲ οὐρανίους οὓς ἡγίασεν ὁ πλάστης 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 .

book 17 Ὅτε ἔλαμψας κόσμῳ τὴν ἔγερσιν ἀναστὰς σῇ δυνάμει, ὁ πάντας ζωώσας τῇ θεότητι, [para]ὁ ἀρχέκακος ὄφις ὠδύρετο τῷ Θανάτῳ βοῶν· «Νῦν ἡττήθημεν· ἕνα γὰρ [λαβόντες] τῶν πολλῶν ἐστερήθημεν· ἄνθρωπον ψιλὸν εἶναι αὐτὸν [ὑπενόουν], καὶ οὐκ ᾔδειν ὁ τάλας ἐγὼ ὅτι κρύπτει τὴν φύ[σιν] τὴν ἄναρχον ἵνα ἐμὲ πολεμήσῃ ἃ ἐξ ἐμοῦ ὑπομέ[νει]. [Τί] μοι καὶ ὄξος σκευάσαι μετὰ χολῆς μεμιγμένον [para]καὶ [Πιλᾶ]τον κινῆσαι ἵνα θάνῃ ἐπὶ ξύλου ὁ λύσας τοῦ Βελίαρ τὰ 〈βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 ;

book 18 —[Ὑπὸ] σοῦ ταῦτα πάντα ὑφίσταμαι, ὅτι σὺ ἡ αἰτία ταύτης [τῆς] ἥττης ἡμῖν γέγονας», [para]πρὸς τὸν δόλιον ὄφιν ὁ Θάνατος· «[διὰ σοῦ] βασιλείας ἐστέρημαι· εἶπον ἐξ ἀρχῆς· ‘Μὴ ἐνέγκῃς [μοι τὸν] Χριστόν· ἔγνων γὰρ σαφῶς τὴν ἐν αὐτῷ οὖσαν δύναμιν [διὰ] τῆς Ἰαείρου παιδὸς ἣ ἐκ μόνης φωνῆς ἥρπασεν ἀπ’ ἐ[μοῦ], ἀλλὰ καὶ Λάζαρον πάλιν ἥλκυσεν ἐκ τῶν δεσμῶν μου· [εἰ οὖν δι’] ἔργων τοιαῦτα ἔδρασέ μοι τῷ μελέῳ, [para]πόσῳ διὰ τὴν σάρκα ἣν ἀνέλαβεν ἀτρέπτως ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 ;‘

book 19 —[Ἀλλ’] ἐμοὶ τὸ δεινότερον ἔδρασεν ὁ Μαρίας γόνος», ἔφη τῷ [Ἅι]δῃ ὁ ἀλλότριος, [para]«ὅτι ὅσους ἐγὼ ἐταπείνωσα καὶ ἐν νόσοις [πικρ]αῖς παραδέδωκα, τούτους ὑγιεῖς τῷ προστάγματι [ἔδει]ξε· πῆρον ἐκ μητρὸς βλέπων ἐγὼ κατεγέλων, καὶ ἐλθὼν [ἵν]α ἴδῃ αὐτὸν ἀνατέλλει εὐθὺς τῇ φωνῇ φωτισμόν· ἀλλὰ ὑπέλαβον ὅτι, ἐὰν αὐτὸν θανατώσω, ἐκ τοῦ λοιποῦ καταδήσω [οὓ]ς ἐμαστίγωσα πρώην, [para]καὶ οὐκ ᾔδειν ὁ τάλας ὅτι παύει μου τὸ κράτος ὁ λύ 〈σας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 .

book 20 —[Ἰο]βούλευτε ὄφι, τί ἔδρασας, ὦ τρικέφαλε δράκον; Ἤκουσα γάρ σου καὶ ἡττήθην ἐγώ», [para]πρὸς τὸν πλάνον ὁ Ἅιδης ἀντέλεγε· «θρηνῳδοῦμεν πικρῶς οἱ ἀμφότεροι, ὅτι κατελθὼν τῆς γαστρός μου καθήψατο· ὅθεν ἐξεμέσω οὕσπερ κατέπιον πρώην· ἀλλὰ θρήνησον νῦν σὺν ἐμοί· τῆς γὰρ δόξης κοινῶς ἐστερήθημεν· ὁ γὰρ Ἀδὰμ ἐλυτρώθη ἐκ τῶν προτέρων δεσμῶν μου, ὁ δὲ προφήτης κραυγάζει· ‘Ποῦ σου, Ἅιδη, τὸ νῖκος;‘ [para]Γήθεται καὶ ἡ Εὔα ὅτι ἔσωσεν ἐκείνην ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 .

book 21 [Ν]εκρωθεὶς ὁ Χριστός, ὡς ὑπέλαβον, τοῖς νεκροῖς συνήφθη· ὅμως οὐκ ἔγνων τὰ συμβαίνοντά μοι· ἀλλὰ νῦν εἰς αἰσχύνην καθέστηκα καὶ βροτοῖς ἀπεδείχθην εἰς γέλωτα. [para]Τί οὖν ὠφελῶ ἐγκαλῶν σοι, ὁμόψυχε; Ὅλως ἡττηθεὶς τί καὶ τα[ράττομαι] μάτην; Ἀλλὰ ἄφες εἰδέναι ἡμᾶς ὅτι κράτου[ς ἐκτὸς ἐ]γενόμεθα· τὸ γὰρ τῆς γνώσεως πρέμνον θάν[ατον ἔφε]ρε κόσμῳ, τὸ δὲ τῆς θνήσεως ξύλον πᾶσιν ἀνάσ[τασις] ὤφθη· [para]τὰ ἐμὰ ταμιεῖα ἀπορεῖν παρασκευάζει 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉 .»

book 22 Ὁ μὲν Θάνατος ταῦτα ἐφθέγξατο, διελέγχων τὸν π[λά]νον ὅσα ἐν βίῳ ἀπετέλεσεν· [para]ἀμφοτέροις μὲν ἧττα[ν εἰρ]γάσατο ὁ παγεὶς ἐπὶ γῆς πολύτιμος σταυρός· ξύλον τῆς ζ[ωῆς] τοῖς ἀνθρώποις δεδήλωται, ὅπου ὁ καρπὸς τῶν ἀγαθῶν [προ]σηλώθη ἵνα θνῄσκων ἀνθήσῃ βροτοῖς ἐκ τῶν κάτ[ω λει]μώνων ἀνάστασιν ὁ ἐκ Θεοῦ κατὰ φύσιν καὶ ἐκ Δαυὶδ κατὰ σάρκα, ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σὺν Πατρὶ διαμένων καὶ ἐκ Μαρίας βλαστήσα[ς] [para]πάντων εἰς σωτηρίαν καὶ ἀπόγνωσιν ἀπίστων, ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος καὶ Θανάτου τὸ κέντρον〉.

book 23 Στεναγμοῖς ἐθρηνῴδει ὁ δόλιος καὶ πολέμιος δράκων [ἅ]περ ὑπέστη ἐξ ἀρχῆς δι' Ἀδάμ, [para]«Ὅτε ἔπλασε, λέγων, τὸν [ἄνθρωπον] ἀπὸ γῆς ὁ Θεὸς καὶ προσέταξεν ἅπασιν ἡμῖν ὡς προγ[νώ]στης καὶ κύριος, 'Δεῦτε, ἐκβοῶν, πᾶσαι ὁμοῦ αἱ δυνάμεις, προσκυνήσατε πάντες νυνὶ τὴν εἰκόνα μου ἥνπερ ἐποίησα', καὶ δὴ ἀπέδρασα τότε ὡς μὴ βουλόμενος τοῦτον ἐγὼ κτίσμα γεγονότα, μὴ θέλων τοῦ προσκυνῆσαι, [para]καὶ οὐκ [ᾔ]δειν ὁ τλήμων ὅτι σῴζει τὸν φθαρέντα ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.»

book 24 [Ἐπιμένων ὁ Ἅιδης τοῖς ῥήμασιν ἀνεβόησε φόβῳ· «Θάνατε, δεῦρο θεασώμεθα πῶς τὸ φῶς τοῖς ἐν σκότει ἐξέλαμψε καὶ ἐφώτισε νῦν τὰ κάτω ἡμῶν [para]καὶ τοὺς ἐξ Ἀδὰμ ἐκ τῶν τάφων ἀνέστησε· δεῦρο σὺν ἐμοὶ καὶ φυλακίσωμεν τοῦτον τὸν ἐλθόντα ὀλέσαι ἡμᾶς καὶ σὺν τούτῳ κριθῆναι σπουδάσωμεν.» Ταῦτα φθεγγόμενος τότε τρέχει ὁ ἄδικος Ἅιδης καὶ ἐπελάβετο τούτου ἐκ τῆς σαρκὸς τῆς παθούσης· [para]ἄνθρωπον γὰρ ἐδόκει, ἀλλ' ἔστι Θεὸς καὶ Λόγος ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 25 Ἰησοῦς ὁ Χριστὸς ὡς ἐξ ὕπνου ἐξανίσταται τότε, ἐδέσμει δὲ τούτου τὰς παλάμας σφοδρῶς [para]τοῖς ἐν Ἅιδου κραυγάζων· «Ἀνάστητε [καὶ –]τες τῷ Ἅιδῃ ἐμπαίζετε λέγοντες αὐτῷ· 'Ποῦ[ σου, Ἅιδη, τὸ ν]ίκημα;' Τοῦτον γὰρ ἐγὼ Ταρτάρῳ σειραῖς πα[ραδώσω], ὡς ὑπεύθυνον δὲ τὸν Ἀδὰμ τοῖς ὀφλήμασι πά[ντως π]αρέδωκα· καὶ τὸν αὐχένα πατοῦντες, 'Νῦν κατεπό[θη, βοᾶ]τε, σὺν τῷ Θανάτῳ ὁ Ἅιδης καὶ κατεβλήθη τοῦ κράτ[ουσ]'· [para][δ]ι' ὑμᾶς γὰρ ἐφάνην ἐπὶ γῆς ἐνανθρωπήσας ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος καὶ Θανάτου τὸ κέντρον〉.

book 26 Σ[ ]ητε οὖν πάντες τοῖς ᾄσμασι καὶ ψαλμοῖς ἐκβοᾶτε· '[Κεῖσαι] ὁ Ἅιδης ἀδύνατος, [para]καὶ σύ, Θάνατε, ἅμα πεπάτησαι [νῦν ἀνω]φελῆ ἔχων τὴν δύναμιν· [para]πᾶς γὰρ γηγενῶν ἀποφεύγων [δουλώ]σει σε.'» Ἅιδης δὲ λοιπὸν ἀνταπεκρίθη βοήσας, [para]ὥσπερ ἄναξ [προ]στάττων εὐθὺς τοῖς αὐτοῦ ὑπηρέταις, λέγων πρὸς αὐτούς· »[Νῦν] καθορῶντές με ἄρτι πάσχοντα ἄδικον τόλμαν [para]συνδρά[με]τε ὡς δυνάσται, κλείσατε τὰς χαλκᾶς πύλας· βούλεται γὰρ [κρι]θῆναι μετ' ἐμοῦ ὁ ἐκ Μαρίας ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ 〈Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.»

book 27 [Ταῦ]τα λέξας ὁ Ἅιδης ὁ δείλαιος ἀπεκρίθη εὐθέως πρὸς τὸν Σωτῆρα [καὶ βο]ᾷ πρὸς αὐτόν· [para]«Πάντων νῦν τῶν ἀνθρώπων ἐδέσποζον καὶ τοῦ [γέν]ους Ἀδὰμ ἐκυρίευον· [para]λέγε οὖν ἐμοὶ τίς ὑπάρχεις, ὦ ἄνθρωπε, πῶς [δὲ] σὺ νυνὶ ἐνταῦθα ἐλήλυθας ἄρτι· [para]δῆλόν ἐστιν ὡς ἄνθρωπος εἶ· καὶ γὰρ σῶμα ἀνθρώπινον βλέπω ἐν σοί· καὶ γὰρ ἐμοὶ κτῆμά ἐστι πᾶς [ὢν ἐ]κ γένους ἀνθρώπων· [para]τί οὖν βιάζῃ με ἄρτι ἐληλυθὼς ὑπὲρ πάντων; [para]Ἀλλ' ἀνάστασις πέλεις καὶ ζωὴ τῶν τεθνηκότων ὁ λύσας τοῦ Βελίαρ 〈τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.»

book 28 [Ὅ]τε ταῦτα Χριστοῦ ἐπυνθάνετο, παραυτὰ ἐκβοήσας ἔφη τῷ Ἅιδῃ [ὁ] Κύριος· [para]«Συνδικάζομαι σοὶ καὶ συγκρίνομαι· οὐ γὰρ θέλω ἐγὼ τυραννῆσαί ποτε· σὺ γὰρ ἀναιδὴς εἶ καὶ κρίματος ἄξιος, ἀλλ' ὥσπερ [ὁ]ρᾷς, ἄνθρωπος γέγονα ἄρτι· ἀναμάρτητος Λόγος εἰμί, παντοδύναμος κτίστης τῶν ὅλων Θεός· κἂν ὁρατός σοι ὁρῶμαι, οὐ κρίνομαι ὡς δεσπότης, ἀλλ' ὡς Ἀδὰμ ὁ γεώδης λέγω νῦν δίκην μετὰ σοῦ [para]καὶ νικήσας ἐκβάλω σὲ τῆς πρώτης τυραννίδος ὁ λύσας 〈τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 29 —Παῦσαι, ἄδικε, ἄνομε, δόλιε, τῶν δολίων ῥημάτων», ἔφη τῷ Ἅιδῃ ὁ ἀλλότριος· [para]«μὴ τυράννει λοιπόν, ὦ ταλαίπωρε· τὴν γὰρ γνώμην τὴν τούτου μεμάθηκας, ὥσπερ ἐξ ἀρχῆς τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεινὰ ἡμῖν ἔδρασε· τί οὖν τὸ λοιπὸν σπεύδεις αὐτὸν λοιδο[ρῆσαι]; Οὐ γὰρ δύνασαι φέρειν αὐτοῦ τὰς ἐννοίας ἃς πᾶσι[ν ἐ]πέδειξεν. Ὁ γὰρ σταυρὸς τοῦ Σωτῆρος ὄλεθρος ἡμῖν ἐφάνη, [καὶ ἡ ἐν] τούτῳ φυτεία ἐνερριζώθη τῇ κτίσει· [para]στέλεχος ἐγκεν[τρίσας] δι' αὐτοῦ τοὺς πάντας σῴζει ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, 〈τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ Θανάτου τὸ κέντρον〉.

book 30 Ἄρα ὅπερ καὶ πρώην ὑπέδειξε τῷ Μωσεῖ ὁ δεσπότης [ξύλον] ἐκεῖνο ἤνθησε καθ' ἡμῶν· [para]ἐὰν τοῦτο ἐγνώσθη τ[οῖς ἅ]πασιν, ἡ βουλὴ ἡμῶν νῦν κατεβλήθη σαφῶς· π[άντες] γὰρ αὐτῷ προσδραμόντες εὐφραίνονται. Εἴθε οὖν [ἐγὼ] μὴ ὑπ' αὐτοῦ ἐζωγρήθην, μὴ τοῖς λόγοις μου τοῖς μι[αροῖς] τὸν Ἰούδαν προδοῦναι ἠνάγκασα καὶ τὸν Πιλᾶτο[ν δικά]σαι καὶ τῷ σταυρῷ παραδοῦναι καὶ τὸ λοιπὸν τυρανν[ῆσαι] κατὰ Χριστοῦ βασιλέως· [para]πάντων γὰρ ἐστερήθην, καὶ τὸ κράτ[ος μου καθεῖλεν] 〈ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος καὶ Θανάτου τὸ κέντρον〉.

book 31 Θέλω γνῶναί σε, Ἅιδη ὁμόψυχε, ὅτι πάντα ὑπέστη σῶσ[αι] θελήσας τὸ γένος τῶν βροτῶν· [para]δι' ἀνθρώπους ὡράθη ὡς [ἄνθρωπος] καὶ ἀνέλαβε σάρκα βουλόμενος, ἵνα τὸν Ἀδὰμ σ[ὺν] τῇ Εὔᾳ ζωώσῃ ὡς Θεός.» Ταῦτα θρηνῳδῶν ἔφη Βελίαρ τῷ Ἅιδῃ· «Εἰ μὴ ἔσπευσα κτεῖναι Χριστόν, οὐκ ἂν οὕτως ἡ[μᾶς] ἐνίκησέ ποτε· ἀλλ' ἐσπουδάσαμεν τοῦτον ὥσπερ [θνη]τὸν κατασχεῖν καὶ ἀντιβῆναι ταῖς πύλαις καὶ τοῖς μοχλοῖς ἀσφαλίσαι, [para]καὶ ἡμῶν τὰς ἐννοίας νῦν κατέδησεν ἐκεῖνος ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος [para]καὶ 〈Θανάτου τὸ κέντρον〉.

book 32 Ὃ ὑπέστημεν ἄρτι ὡς ἄπειροι ἐννοήσωμεν τοῦτο, πῶς τῷ μνημείῳ ἐπέστησάν τινες [para]πυραυγεῖς μὲν τῇ ὄψει ὁρώμεν[οι] καὶ στολὴν τὴν λευκὴν περιβέβληντο, καὶ ὡς ἀστραπὴν ἐκ χειλέων ἐξέπεμπον, καὶ τὸν φοβερὸν λίθον ἐκύλισαν τότε καὶ τοὺς φύλακας πάντας ὁμοῦ ὡς νεκροὺς ἐπὶ τάφον ἀνέδειξαν καὶ δὴ γυναῖκες ἐλθοῦσαι εἶδον αὐτοὺς νεκρωθέντας καὶ ἐν τῷ λίθῳ τοὺς δύο φυλάττοντας τὸ μνημεῖον [para]λέγοντας αὐταῖς ταῦτα ὅτι 'ἠγέρθη ἐκ τοῦ τάφου ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος 〈καὶ Θανάτου τὸ κέντρον〉'»

book 33 [Σφρα]γισθέντες τῷ ξύλῳ σου, δέσποτα, μεγαλύνομεν [–] τὴν σὴν δι' ἀνθρώπους ἐνανθρώπησιν, [para]ἀθανῆ καὶ θνη[τόν σε] γινώσκοντες ὡς Θεὸν καὶ βροτόν, ἕνα υἱόν· εἰ γὰρ [καὶ] παθεῖν σαρκικῶς ᾠκονόμησας, ὅμως ἀμερὴς μέ[νει]ς ἀεὶ ἐν τριάδι· ἀλλ' ἐν πίστει τοιαύτῃ, Σωτήρ, τὴν σὴν ἐκ[κλ]ησίαν κραταίωσον, τὸν δὲ λαόν σου στηρίξας σῶσον [ὡς] μόνος οἰκτίρμων, ἵνα τῇ σῇ ἀναστάσει πάντες ἡμεῖς προσκυνοῦμεν· [para]σὺ γὰρ πᾶσι παρέχεις φωτισμόν, ζωὴν καὶ γνῶσιν, ὁ λύσας τοῦ Βελίαρ τὰ βέλη, τοῦ Ἅιδου τὸ νῖκος 〈καὶ Θανάτου τὸ κέντρον〉.]

book pro «Τῷ πάθει σου, σωτὴρ ἡμῶν, παθῶν ἠλευθερώθημεν», [para]Ἀδὰμ ἀνεβόα σοι· καὶ Ἅιδης ἐξεπλήττετο [para]διὰ τῆς ἀναστάσεως.

book 1 Ὥσπερ οὐρανοῦ ὑετὸν ἡ γῆ ἀπεκδέχεται, οὕτως ἐν τῷ Ἅιδῃ Ἀδὰμ κρατούμενος ἔμενέν σε [para]τὸν τοῦ κόσμου σωτῆρα καὶ ζωῆς τὸν δοτῆρα καὶ ἔλεγε τῷ Ἅιδῃ· «Τί μέγα φρονεῖς; Μεῖνόν με, μεῖνον μικρόν, ἵν' ὄψει μετὰ μικρὸν τὸ κράτος σου λυθέντα καὶ ἐμὲ ἀνυψωθέντα. Νῦν με κατέχεις καὶ γένος μου δέσμιον, μετ' ὀλίγον δὲ ὄψει ἀπὸ σοῦ ἐκλυτρωθέντα· [para]δι' ἐμὲ γὰρ ἥξει ὁ Χριστός, καὶ σὺ φρίξεις καὶ τὴν τυραννίδα σου καταλύσει διὰ τῆς ἀναστάσεως.

book 2 —Δύναμιν τοιαύτην οὐδεὶς οὐδέπω ηὐπόρησε· πάντων γὰρ εἰμὶ βασιλεύς», ὁ Ἅιδης εἶπε τῷ Ἀδάμ. [para]«Τίς οὖν ἕτερος ἥξει καὶ ἐμὲ ὑπερέξει καὶ διαδέξηταί μου βασίλειον; Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Ἰωσὴφ καὶ πάντας τοὺς προφήτας ἐν τῷ κράτει μου κατέχω· σοῦ δὲ κατάρχω ὡς πάντων πρωτεύοντος· πῶς οὖν ἔρχεσθαι ἔφης τὸν ἐμὲ καταπατοῦντα; [para]Ἄρα τούτων πάντων ἀνώτερός ἐστιν ἵνα ἐκλυτρώσῃ σε, ὥσπερ ἔφης, διὰ τῆς ἀναστάσεως;»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 3 Ἤκουσε τοῦ Ἅιδου Ἀδὰμ τοιαῦτα κομπάζοντος καὶ εὐθύς φησι πρὸς αὐτὸν ὁ πρωτοπλάστης τῶν βροτῶν· [para]«Ἄκουσόν μου ῥημάτων καὶ μὴ μάτην ἐπαίρου· ἐμὲ γὰρ ὃν κατέχεις οὐ δύνῃ κρατεῖν· παραδείσου τῆς τρυφῆς διὰ σὲ τὸν δολερὸν ἀπόβλητος ἐδείχθην 〈καὶ〉 πρὸς σὲ νῦν κατεπέμφθην· φύλαξ μου πέλεις, οὐ δύνῃ ὀλέσαι με· βασιλέα γὰρ ἔχω ὃς ἐκλύσει σου τὸ κράτος· [para] 〈βοηθῷ ἀνθρώπων〉 αὐτῷ ἐστρατεύθην ἵνα ἀναγάγῃ με ἐν ὑψίστοις διὰ τῆς ἀναστάσεως.

book 4 —[Ῥῆξ]αι τὸ χειρόγραφόν σου, οὐδείς σου προΐσταται· ὃν γὰρ σὺ καλεῖς βοηθόν, καὶ τούτου ἐγὼ βασιλεύς· [para]λήψομαι γὰρ καὶ τοῦτον ὡς καὶ πάντας ἀνθρώπους· οὐκ ἔστι γάρ μου μείζων οὐδεὶς οὐδαμοῦ. Μὴ πλανῶ λοιπόν, Ἀδάμ· τί εἰς μάτην κοπιᾷς; Ἐγώ σε ἐντυμβεύω καὶ τοῦ γένους σου κατάρχω· ὃν σὺ νομίζεις ἔχειν ἀντιλήπτορα νῦν σταυρούμενον ὄψει καὶ ὑπ’ ἐμοῦ καταποθέντα. [para]Πῶς οὖν ἔφης ὅτι ἀπ’ ἐμοῦ σε λυτροῦται;

book 4 Νῦν κρατεῖν τὸ γένος σου προσετάχθην διὰ τῆς ἀναστάσεως.

book 5 —Ὥστε καὶ πληγὰς δι’ ἐμὲ οὐκ ἂν παραιτήσηται, δεύτερος Ἀδὰμ δι’ ἐμὲ γενήσεταί μου ὁ Σωτήρ· [para]τὴν ἐμὴν τιμωρίαν δι’ ἐμὲ ὑπενέγκῃ τὴν σάρκα μου φορέσας, καθάπερ κἀγώ· ὃν Χερουβὶμ οὐχ ὁρᾷ, τούτου νύξουσι πλευρὰν καὶ ὕδωρ ἀναβλύσει καὶ τὸν καύσωνά μου σβέσει· ὃν σὺ νομίζεις κατέχειν ὡς ἄνθρωπον, ὡς βροτὸν καταπίῃς, ὡς Θεὸν δὲ ἐξεμέσεις [para]μετὰ τρεῖς ἡμέρας· οὐ γὰρ δύνῃ φέρειν ἅσπερ εἰσαγάγῃ σοι τιμωρίας διὰ τῆς ἀναστάσεως.»

book 6 Μάθωμεν λοιπόν, ἀδελφοί, τί πράττει ὁ Κύριος· ὄξος γὰρ αὐτὸς καὶ χολὴν γευσάμενος ἐν τῷ σταυρῷ [para]ἔφη· «Τέλος ὑπάρχει τῶν ἐμῶν παθημάτων», καὶ κλίνας τὸν αὐχένα ἔδωκε ψυχήν. Ἥλιος καὶ σελήνη καὶ ἀστέρες οὐρανοῦ, μὴ φέροντες τὴν ὕβριν, κατεκάλυπτον τὸ φέγγος· βουνοὶ καὶ ὄρη φυγὴν ἐμελέτησαν· τοῦ ναοῦ δὲ τὸ τέμβλον καὶ αὐτὸ ἐρράγη μέσον· [para]ὁ πρωτόπλαστος δὲ ἐκ βάθους ἐβόα·

book 6 «Ὁ Θεός μου, ῥῦσαί με ἐκ τοῦ Ἅιδου διὰ τῆς ἀναστάσεως.»

book 7 Ἀλλ’ ἦλθε Χριστὸς ἡ ζωὴ ὑπᾶξαι τὸν θάνατον· δέχεται ὁ Ἅ[ιδης] Χριστὸν ὡς ἕκαστον τῶν γηγενῶν· [para]καταπίνει ὡς δέλος τὸν οὐράνιον ἄρτον, τιτρώσκεται ἀγκίστρῳ θεότητος. Ὁ Ἅιδης δὲ ὀδυνηρὰς ἀνεβόησε φωνάς· «Κεντῶμαι τὴν κοιλίαν, ὃν κατέπιον οὐ πέπτω· ξένην μοι βρῶσιν παρέσχεν ὃ ἔφαγον· ὅσους ἤσθιον πάλαι οὐδὲ εἷς ἐνώχλησέ μοι· [para]τάχα οὗτος [ἔστιν] ὃν Ἀδάμ μοι προεῖπεν, ὅτι ‘Μαστιγώσει σε, ὅταν ἔλθῃ διὰ τῆς ἀναστάσεωσ‘;

book 8 —Νῦν μέμνησαι ῥημάτων ἐμῶν ὧν πάλαι σοι ἔλεγον, ὅτι ὁ ἐμὸς βασιλεὺς ἰσχύει μᾶλλον ὑπὲρ σέ· [para]σὺ δὲ ἔδοξας εἶναι ὄναρ τούτους τοὺς λόγους· ἡ πεῖρά σε διδάξει αὐτοῦ τὴν ἰσχύν· οὔτε γὰρ μόνον ἐμέ, ἀλλὰ καὶ τοὺς μετ’ ἐμὲ καὶ πάντας ἀπολέσας, ἐκ πάντων ἐρημωθήσει. Χριστὸς ὃν εἶδες ἐν ξύλῳ κρεμάμενον αὐτὸς νῦν σε δεσμ[ή]σει, καὶ χαρεὶς ἀποκριθῶ σοι· [para]‘Ποῦ σου, Ἅιδη, τὸ νῖκος ἢ ποῦ σου τὸ κράτος;

book 8 Ὁ Θεὸς κατέλυσε τὴν ἰσχύν σου διὰ 〈τῆς ἀναστάσεως.〉 ‘

book 9 —Οὕτως Ἰωνᾶν τριταῖον τὸ κῆτος ἐξέμεσε· νῦν κἀγὼ ἐμέσω Χριστὸν καὶ πάντας τοὺς ὄντας Χριστοῦ· [para]ἕνεκεν γὰρ τοῦ γένους τοῦ Ἀδὰμ τιμωροῦμαι.» Ὁ Ἅιδης ταῦτα στένων ἐβόα θρηνῶν· «Μὴ πιστεύσας τῷ Ἀδὰμ ταῦτα λέγοντί μοι πρὶν ὑψαύχουν καὶ ἐβόων λέγων· ‘Οὐδείς μου κατάρχει.‘ Πάντων γὰρ ἄναξ ὑπάρχων τὸ πρότερον νῦν ἀπώλεσα πάντας, καὶ γελῶντές με βοῶσι· [para]‘Ποῦ σου, Ἅιδη, τὸ νῖκος ἢ ποῦ σου τὸ κράτος;

book 9 Ὁ Θεὸς κατέλυσε τὴν ἰσχύν σου 〈διὰ τῆς ἀναστάσεως.〉 ‘

book 10 —Ὑψηλὴν ἰσχύν σου Χριστὸς ἐλθὼν ἐταπείνωσεν· ὅλην γὰρ ἐμοῦ τὴν μορφὴν λαβὼν ἐτροπώσατό σε· [para]αἵματι γὰρ τιμίῳ νῦν ἐγὼ ἠγοράσθην, φθορᾶς ἀπήλλαξέ με ὁ ἄνευ φθορᾶς. Ὅπου δ’ ἂν περιστραφῇς, πανταχόθεν θεωρεῖς τοὺς τάφους κενωθέντας καὶ γυμνόν,

ἄσχημον ὄντα. Ποῦ σου τὰ κλεῖθρα ὑπάρχει, ὦ ἄθλιε; Ἰησοῦς μου κατῆλθε καὶ συνέτριψέ σου πάντα· [para]ποῦ σου, Ἅιδη, τὸ νῖκος ἢ ποῦ σου τὸ κράτος;

book 10 Ὁ Θεὸς κατέλυσε τὴν ἰσχύν σου διὰ τῆς ἀναστάσεως.

book 11 Ὕψωσέ με ἐν οὐρανοῖς ὁ σὲ τροπωσάμενος· σύνθρονός εἰμι τὸ λοιπόν, οὐκέτι ὑπόκειμαί σοι· [para]ἐμὸν ἔλαβε σῶμα ἵνα ἀνακαινίσας ἀθάνατον ποιήσῃ καὶ σύνθρονον· βασιλεύσω σὺν αὐτῷ, συνηγέρθην γὰρ αὐτῷ· οὐκέτι μου κατάρχεις, ἀλλ’ ἐγώ σου κυριεύω. Ἄνω ὑπάρχει τὸ ἐμὸν νῦν ἐνέχυρον, σὺ δὲ κάτω πατεῖσαι ὑπὸ πάντων τῶν βοώντων· [para]‘Ποῦ σου, Ἅιδη, τὸ νῖκος ἢ ποῦ σου τὸ κράτος;

book 11 Ὁ Θεὸς κατέλυσε τὴν ἰσχύν σου διὰ τῆς ἀναστάσεως.‘»

book pro [Οἱ συνταφέ]ντες Χριστῷ διὰ τοῦ βαπτίσματος [para]καὶ ἀναστάν[τες σὺν] αὐτῷ, ψάλλοντες κραυγάσωμεν, λέγοντες· [para]«Ποῦ σοῦ, [Θάνατε,] τὸ νῖκος; Ποῦ σοῦ, Ἅιδη, τὸ κέντρον;» Ἀνέστη γὰρ ὁ Κύριος, [ἡ ζωὴ] καὶ ἀνάστασις.

book 1 [Τῆς το]ῦ Χριστοῦ παραβολῆς τῆς ἐν τοῖς εὐαγγελίοις ἣν ὁ [Λουκ]ᾶς διηγεῖται ἀκούοντες μὴ πάρεργον σχῶμεν ταύτην, [ἀλλὰ] πίστει ζητήσωμεν [para]ἡ γυνὴ καὶ αἱ δραχμαὶ τίνες εἰσί, [ποί]αν δὲ τούτων ἀπώλεσεν, ἣν ζητεῖ ἐπιμελῶς ἅψασα λύ[χνον] φωτὸς καὶ σαρώσασα ὅλον τὸν οἶκον αὐτῆς· εὑροῦσα [δὲ τ]αύτην συγκαλεῖ τὰς ἐκ γειτόνων· «Δεῦτε, συγχάρητε, εὗρον [ἥν]περ ἀπώλεσα». Νῦν οὖν ἡμεῖς δεηθῶμεν τοῦ Χριστοῦ λέγοντες· «[Κύριε,] [σὺ] καταύγασον τὰς ψυχὰς ἡμῶν, ὅτι φῶς καθέστηκας ἡ ζωὴ καὶ ἀνάστασις.»

book 2 [Ὁ ἀ]ριθμὸς ὁ τῶν δραχμῶν δῆλος ὑπάρχει τοῖς πᾶσι· δέκα γάρ εἰσιν αἱ πᾶσαι ἃς κέκτηται ὁ Κύριος ὁ ποιήσας ἐν σοφίᾳ [τὰ] σύμπαντα· [para]ἡ γυνή ἐστι, φησίν, ἡ ἀρετὴ καὶ ἡ σοφία τοῦ [πλ]άσαντος, ἥτις ἐστὶν ὁ Χριστὸς ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις· εἰσὶ [δὲ] δέκα δραχμαὶ ἀρχαί, ἐξουσίαι, αἱ δυνάμεις καὶ οἱ θρόνοι [καὶ] κυριότητες, ἄγγελοι καὶ ἀρχάγγελοι, τὰ χερουβὶμ ἅμα καὶ τὰ σεραφίμ, καὶ ὁ πρωτόπλαστος ὃν ἀπώλεσε καὶ ἐζήτησε καὶ πεσόντα εὕρηκεν ἡ ζωὴ καὶ ἀνάστασις.

book 3 Ὑπὸ στοργῆς ἐκνικηθείς, ἦλθεν ἐν κόσμῳ ζητῆσαι τὸ πλανηθὲν αὐτοῦ κτίσμα ὁ ἄναρχος καὶ ἄφραστος υἱός τε τοῦ Θεοῦ καὶ Θεὸς ἡμῶν, [para]καὶ σοφῶς καὶ θεϊκῶς ὥσπερ Θεὸς τούτου ποιεῖται τὴν ζήτησιν, καὶ σαρκοῦται ἐκ μητρὸς ἣν ἐσάρωσε καὶ ἡγίασε, καὶ ὥσπερ λύχνον φωτὸς προφέρει τὴν σάρκα, τῷ πυρὶ καὶ τῷ ἐλαίῳ τῷ τῆς θεότητος καταυγάσας τὰ σύμπαντα· πῦρ γὰρ ἀεὶ καὶ πηλὸς λύχνον ποιεῖ· οὕτως οὖν ἔλαμψεν ἐκ θεότητος καὶ σαρκώσεως τὸ τοῦ λύχνου φῶς, Χριστός, ἡ ζωὴ καὶ ἀνάστασις.

book 4 Τότε ἀνῆλθεν ἐν σταυρῷ ὡς ἐν λυχνίᾳ ὁ λύχνος, καὶ ἐθεώρει ἐκεῖθεν ἐν σκότει καθεζόμενον καὶ ἐν γνόφῳ τὸν Ἀδὰμ τὸν πρωτόπλαστον, [para]καὶ σπουδάζει πρὸς αὐτὸν ἀποδημεῖν διὰ σαρκὸς ὁ ἀχώριστος, ὁ τῶν κόλπων τοῦ πατρὸς μὴ [χωρισ]θεὶς καὶ πληρῶν τὰ γινόμενα. Ἔλαβε μεθ’ ἑαυτοῦ [χολήν] τε καὶ ὄξος, τούς τε ἥλους καὶ τὴν λόγχην, ἵνα τῇ [λόγχῃ] μὲν καὶ τοῖς ἥλοις τὸν Θάνατον τρώσῃ εὐθὺς καὶ [πικρά]νῃ τῇ χολῇ Ἅιδην τὸν ἄδικον συναντήσαντα, δριμ[υχθέν]τα δὲ ὄξει ὅπερ ἔπιεν ἡ ζωὴ καὶ ἀνάστασις.

book 5 Ὅτε μετὰ τὴν σταύρωσιν ἔφθασέ τε καὶ κατῆλθεν ὁ [βασιλεὺς] ἐν τῷ ᾅδῃ, ἐφαίνετο τὸ φῶς αὐτοῦ ἐν σκοτίᾳ καὶ τὰ [κά]τω ἐφώτισε· [para]τὸ δὲ σκότος τὸν Χριστὸν καταλαβεῖν οὐδ[’ ἐν] τῷ σκότει ἐξίσχυσε· καὶ γὰρ δὴ ὡς Ἰωνᾶς ἦν καὶ αὐτὸς [ἐν] κοιλίᾳ τοῦ μνήματος, ἐν τάφῳ μὲν πορευθείς, καθ[ὼς] ἠβουλήθη, ἐν σορῷ δὲ ἀγρυπνήσας· οὐ γὰρ κεχώριστ[ο ἡ] θεότης τοῦ σώματος· ὅθεν ἰδὼν τὸ φρικτὸν θαῦμα [αὐ]τοῦ Ἅιδης ἐβόησε· «Δεῦρο, Θάνατε, νῦν κατίδωμεν π[οῖον] φῶς ἐξέλαμψεν ἡ ζωὴ καὶ ἀνάστασις.

book 6 Τάχος τολμήσωμεν, φησί· σῶμα γὰρ ἀνθρώπου ἐστὶ τὸ κο[μισ]θὲν ἐν τῷ τάφῳ· τοῖς κλείθροις φυλακίσωμεν τὸν [ἐλ]θόντα καὶ φθορᾷ παραδώσωμεν.» [para]Καὶ εὐθὺς ταῦτα εἰ[πὼν] τρέχει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταχὺ καὶ τῆς σαρκὸς ἐπελάβετο. Ἰησοῦς δὲ ὁ Χριστὸς ὥσ[περ] ἐξ ὕπνου τινὸς ἐξανίσταται· δεσμεῖ δὲ τοῦτον σφοδρῶς καὶ τίθησι κάτω καὶ κραυγάζει τοῖς ἐν Ἅιδου· «Πάντ[ες] ἀνάστητε καὶ τὸν Ἅιδην πατήσατε· δεῦρο, Ἀδάμ, σὺν Εὔ[ᾳ] νῦν πρὸς ἐμέ· μὴ δειλιάσητε ὡς ὑπεύθυνοι τοῖς ὀφλήμασιν· πάντα γὰρ ἀπέδωκα, ἡ ζωὴ καὶ ἀνάστασις.

book 7 Ἀλλὰ ῥαπίσατε, θνητοί, Ἅιδου τὰς ὄψεις ἀτίμως, καὶ τὸν αὐχένα πατοῦντες εἰσέλθατε κραυγάζοντες· ‘Κατεπόθη καὶ ὁ Ἅιδης καὶ ὁ Θάνατος.‘ [para]Δι’ ὑμᾶς ἦλθον ἐγώ· καὶ γάρ εἰμι πάντων ζωὴ καὶ ἀνάστασις· ἀλλὰ πάντες σὺν χαρᾷ εἴπατε νῦν τοὺς ψαλμοὺς καὶ τὰ ᾄσματα· ‘Ποῦ ἐστι νῖκος τὸ σόν, ὦ ἄτιμε Ἅιδη; Ποῦ σοῦ, Θάνατε, τὸ κέντρον; Κεῖσθε ἀδύνατοι· Θάνατε, τεθανάτωσαι· Ἅιδη, καὶ σὺ κατ[αδέδε]σαι δεινῶς· οἱ βασιλεύσαντες, ἐδουλώθητε θεα[σάμε]νοι ὅτι παρεγένετο ἡ ζωὴ καὶ ἀνάστασις.‘»

book 8 [Πρὸς] τὰ τοιαῦτα ὁ ἐχθρὸς Ἅιδης μετὰ τοῦ Θανάτου καὶ δεδεμένος σὺν τούτῳ καὶ κείμενος ἐκραύγαζε καὶ ὡς ἄναξ τοῖς αὐτοῦ διετάττετο· [para]«Πυλωροί, δράμετε νῦν [βλ]έποντές με ὡς ἀδικίαν ὑφίσταμαι· ἀλλ’ ὑμεῖς δεῦτε, ταχὺ κλείσατε πύλας χαλκᾶς καὶ φυλάττετε, βάλετε τοὺς σιδηροὺς μοχλοὺς ἐν ταῖς πύλαις καὶ ἐάσητε μη[δέ]να τούτων ὧν ἤγειρεν ἐξελθεῖν ἀπὸ μνήματος· βούλομαι γὰρ νῦν κριθῆναι μετ’ αὐτοῦ τοῦ ἐπελθόντος μοι· ἀσφαλίσασθε καὶ κρατήσατε τοὺς βοῶντας· ‘Ἤλυθεν ἡ ζωὴ καὶ ἀνάστασις.‘

book 9 Ἐγὼ ὁποῖον ἄδικον ὑφίσταμαι βασιλεύσας μέχρι τοῦ νῦν τῶν ἀνθρώπων. Εἰπέ μοι οὖν, ὦ ἄνθρωπε, τίς ὑπάρχεις, πῶς δ’ ἐνταῦθα ἐλήλυθας· [para]ὅτι γὰρ ἄνθρωπος εἶ δῆλόν ἐστι —σῶμα γὰρ βλέπω ἀνθρώπινον—, ἀλλ’ ἐμὸν κτῆμά ἐστι πᾶς ἐκ τοῦ γένους Ἀδὰμ καταγόμενος· τί οὖν βιάζεις ἐμὲ ἐκ πάντων ὑπάρχων, ὡς ἐλθὼν ὑπὲρ ἁπάντων; Ἅπας γὰρ ἄνθρωπος ἔστι μοι ὑποχείριος, κἄν τε πολὺν κἄν τ’ ὀλίγον ἐν τῇ γῇ χρόνον βιώσηται· πῶς σὺ γέγονας ὑπὲρ ἄνθρωπον καὶ ἀνθρώπων λύτρωσις, ἡ ζωὴ καὶ ἀνάστασις;

book 10 Ἰδοὺ οὖν εἴπω τὴν πρὸς σὲ δίκην ὡς ἠδικημένος· υἱὸν ἀνθρώπου γὰρ βλέπω, Θεοῦ δὲ ἔργα κέκτησαι, οὐκ ἀνθρώπου, ὁ ὁρώμενος ἄνθρωπος· [para]καθορῶ σου τὴν πληγὴν τὴν τῆς πλευρᾶς καὶ τὴν τῶν ἥλων καθήλωσιν· θεωρῶ δὲ τὴν ἰσχὺν καὶ ἐξαστράπτον τὸ φῶς σου τὸ ἄχραντον. Εἰ τοίνυν ἄνθρωπος εἶ, ὑπόκεισαι πάντως τῷ Θανάτῳ καὶ τῷ Ἅιδῃ· εἰ δέ, γενόμενος ἄνθρωπος τὸ ὁρώμενον, πέλεις Θεὸς τὸ νοούμενον ἐν σοί, νῦν μοι ἑρμήνευσον, ἵνα ἴδωμεν ὡς, κἂν ἄνθρωπος φαίνῃ, σὺ καθέστηκας 〈ἡ〉 ζωὴ καὶ ἀνάστασις.»

book 11 Νῦν ὅτε ταῦτα ὁ Χριστὸς ἤκουσε τούτου βοῶντος, εἶπεν πρὸς τοῦτον εὐθέως· «Δικάζομαι καὶ κρίνομαι· οὐ γὰρ θέλω ἀδικῆσαί σε ἔν τινι· [para]κἂν γὰρ σὺ ἄδικος εἶ καὶ ἀναιδὴς καὶ κατακρίσεως ἄξιος, ἀλλ’ ἐγὼ ἄνθρωπος μὲν γέγονα, ὥσπερ ὁρᾷς, ἀναμάρτητος, Θεοῦ δὲ λόγος εἰμὶ καὶ κτίστης τῶν ὅλων καὶ Θεὸς πάν[των δυ]νάστης· κἂν δὲ Θεός εἰμι, ὡς δεσπότης οὐ κρίνομαι, ἀλλ’ ὡς Ἀδὰμ δίκην λέγω μετὰ σοῦ· τοῦτο γὰρ γέγονα· κα[ὶ νική]σω σε καὶ ἐκβάλω σε τῆς ἀρχῆς ἧς κέκτησαι, ἡ [ζωὴ καὶ ἀνάστασις].

book 12 Ὅλην τὴν χάριν τῆς ζωῆς εἶχεν Ἀδὰμ τῆς ἀφθάρτου [ὅσπερ] παρήχθη ἐν πρώτοις· ζωὴ δὲ ἐνυπόστατος ἐγὼ πέ[λω ὁ] ποιήσας τὰ σύμπαντα, [para]ἀλλὰ σύ, Ἅιδη 〈–〉 τὸ πρὶν οὐκ ἦς, [οὐ]δὲ Θανάτου ὑπόστασις· ἁμαρτίας δὲ δεινῆς πάθος ἐκεῖ[νον] καὶ σὲ ἀπεγέννησε· διόπερ οὖν ὁ Ἀδὰμ ἀπάτῃ [τοῦ πλά]νου δουλωθεὶς τῇ ἁμαρτίᾳ καὶ ὑποχείριος γέγονε καὶ αἰχμάλωτος σοί τε αὐτῷ καὶ Θανάτῳ τῷ πικρῷ· ὅθεν ὑπάρχετε ἀνυπόστατοι καὶ εὐάλωτοι· πῶς οὖν ἐκρατήσατε τὴν ζωὴν καὶ ἀνάστασιν;

book 13 Ὑπὸ ἀνοίας ἐπαρθείς, τοὺς ἐξ Ἀδὰμ γεννηθέντας ὡς ἁμαρτίας μετόχους ἐκράτεις καὶ συνέκλειες ὡς πατρῷον ἐποφείλοντας ὄφλημα· [para]ἀλλὰ ἦν ἔνοχός σοι πᾶς ἐξ Ἀδὰμ ἐν ἁμαρτίαις τικτόμενος, ἐκ φθορᾶς ὁ γεννηθεὶς καὶ συνουσίας ἀνδρὸς καὶ ἐκ μίξεως· ἐγὼ δὲ τούτων εἰμὶ ἐλεύθερος πάντων, ἁμαρτίας, συνουσίας· κἂν γὰρ γεγένημαι ἄνθρωπος, ὡς

ἠθέλησα, παρθενικὴ ἀπεκύησε γαστὴρ τὸν ἀναμάρτητον, καὶ τὸ αἷμά μου τῷ γεννήσαντι ὑπὲρ πάντων δέδωκα, ἡ ζωὴ καὶ ἀνάστασις.

book 14 Ῥᾴως ἐρεύνησον ἐμὲ καὶ βλέπε ὡς οὐχ εὑρήσεις ἄδικον πρᾶγμα καὶ λόγον· ἐν πράξει γὰρ οὐχ ἥμαρτον, οὐδὲ δόλον ἐφθεγξάμην ἐν στόματι· [para]διὰ τοῦτο οὖν φημι· ‘Τίς ἐξ ὑμῶν ἐφ’ ἁμαρτίᾳ ἐλέγξει με;‘ Ἐν γὰρ πᾶσι τοῖς νεκροῖς νῦν περὶ πάντα ἐδείχθην ἐλεύθερος καὶ πάντων τῶν σαρκικῶν ἁμαρτιῶν ξένος· πῶς ἐτόλμησας οὖν, Ἅιδη, τὸν ἀναμάρτητον κατασχεῖν ὡς ὑπεύθυνον; Ὅλον ἐμὲ κατερεύνα ἀκριβῶς· θέλω γὰρ γνῶναί σε τὴν ἀλήθειαν, ὡς δικαίως σε ἄρτι διαδέχομαι, ἡ ζωὴ καὶ ἀνάστασις.

book 15 Ὡς ἀναιδὴς ἀγανακτεῖς· κρίσις γάρ ἐστι δικαία καὶ ἐκβληθή[σεσθε ἔξ]ω, οἱ ἄρχοντες οἱ ἄδικοι οἱ τοῦ σκότους, παραβάντες [τὸ δίκ]αιον. [para]Ἐὰν οὖν καὶ ἐν ἐμοὶ εὕρηκάς τι τῆς ἁμαρτίας [κἂν] λείψανον, χρῆσαι νῦν καὶ ἐπ’ ἐμοὶ πᾶσί σου τοῖς δικαιώμα[σιν], ἄδικε· εἰ δὲ εὑρήσεις οὐδέν, ἀπόδος συντόμως ὃ κατέχεις [γρ]αμματεῖον, ὅτιπερ γέγονας τούτῳ ἐπερειδόμενος κατὰ [Χριστοῦ] ἀναμαρτήτου θρασύς, καὶ ἑτοιμάσθητι πρὸς ἀπόδοσιν [ὧν] προείληφας, οὕσπερ καὶ ἀνέστησα, ἡ ζωὴ καὶ ἀνάστασις.

book 16 [Μό]νον ἵνα μὴ ἀγνοῇς ἅπερ ὑπέστης, ὦ Ἅιδη· οὐ μόνον γὰρ ἀποδώσεις οὓς ἔλαβες καὶ ἤγειρα, οὓς λαμβάνω μετ’ ἐμοῦ ἐξερχόμενος, [para]ἀλλὰ γὰρ ὅσοι δ’ ἄν σοι καὶ τοῦ λοιποῦ παραπεμφθῶσιν ἐγείρονται, ἐπειδὴ πάντας ὁμοῦ ἐξαναστήσω φωνῇ τῇ τῆς σάλπιγγος, ὅτι ἐτόλμησας σὺ υἱὸν βασιλέως ἀναμάρτητον κρατῆσαι.» Ταῦτα δὲ λέγοντος Ἅιδης ἦν ὑποβρύ[χι]ος· οἱ πυλωροὶ ἀπορρίψαντες τὰς κλεῖς ἔφυγον, βλέποντες πῶς συνέτριψε καὶ διέρρηξε τοὺς μοχλοὺς αὐτῶν Χριστός, ἡ ζωὴ καὶ ἀνάστασις.

book 17 [Ἄφ]νω νεκρῶν τὰ σώματα ἐψυχωμένα ἠγέρθη καὶ κατεπάτουν τὸν Ἅιδην, «Ὦ ἄδικε, κραυγάζοντες, ποῦ σου νῖκος, ποῦ σου κέντρον, ὦ Θάνατε;» [para]Ἠνεῴχθησαν μὲν οὖν πάντα εὐθὺς ἐξ αὐτομάτου τὰ μνήματα· οἱ νεκροὶ δὲ ἐξ αὐτῶν πάντες ἐξήλλοντο καὶ ἐχόρευον· ἀλλ’ ἄγγελος κατελθὼν κυλίει τὸν λίθον ἐκ τοῦ τάφου τοῦ σωτῆρος. «Δέσποτα Κύριε, σὺ τοὺς τάφους ἠνέῳξας νεύματι σῷ, οὐ δεόμενος τινός· πῶς ἐδεήθης οὖν τοῦ κυλίοντος ἐκ τοῦ τάφου σου λίθον ἐπικείμενον, ἡ ζωὴ καὶ ἀνάστασις;

book 18 —Νῦν ἵνα μηδεὶς πλανηθῇ, λέξω τε καὶ ἑρμηνεύσω τὸ παρ’ ὑμῶν προβληθέν μοι· ὁ λίθος μοι πρὸς ἔξοδον οὐδὲ ὅλως 〈οὐκ〉 ἐγένετο κώλυμα, [para]ἐπειδὴ πάντα ἐμοὶ ὥσπερ Θεῷ εἴκει τε καὶ ὑποτάσσεται· εἰ καὶ γέγονα σάρξ, πάντων εἰμὶ ποιητής τε καὶ κύριος, καὶ νεύματι τῷ ἐμῷ ἡ θάλασσα πρώην ὥσπερ χέρσος ἀπεδείχθη· ὁ Ἰορδάνης δὲ εἰς τὰ̱ ὀπ̱ίσω ἀνέκαμψε· νάματα δὲ ἐν ἐρήμῳ τοῖς λαοῖς πέτρα ἐπήγασε καὶ ὁ ἥλιος ὑπεχώρησεν, ὅτε με ἐσταύρωσαν τὴν ζωὴν καὶ ἀνάστασιν.

book 19 Ὁ μόνῳ νεύματι καὶ νῦν πάντας τοὺς τάφους ἀν[οίξας] καὶ τοὺς νεκροὺς ἀπολύσας οὐδέποτε οὐκ ἔχρῃ[ζον τοῦ] ἀγγέλου τοῦ τὸν λίθον κυλίσαντος· [para]ἀλλὰ νῦν μά[θετέ] μου τέχνην σοφήν· τοῦτο γὰρ δέδωκα σύμβολον, καὶ σημεῖον τοῖς θνητοῖς τούτου τοῦ λίθου ἐκ τάφων ἡ ἔπαρσις, [ὡς] ἐν τῇ ὥρᾳ αὐτῇ αἱ πύλαι τοῦ ᾅδου ἀνεσπάσθησαν ἐκ [μέ]σου, οὐ χρηματίζουσαι ἐν τοῖς τάφοις ὡς πρότερον· ὅθεν λαμπρᾷ τῇ ἐσθῆτι ἐκφανεὶς τότε ὁ ἄγγελος ἐπινίκιον ὕμνον ᾖσέ μοι, λέγων ὡς ἐγήγερται ἡ ζωὴ καὶ ἀνά[στασις].»

book 20 Ὑπὲρ δὲ τούτων, λυτρωτά, τί ἔχομεν ἀντιδοῦναι, εἰ μὴ τὴν δοξολογίαν; Διὸ τῶν δοξαζόντων σου τὸν σταυρὸν καὶ [τὴν] ταφὴν καὶ ἀνάστασιν [para]ὡς Θεὸς φεῖσαι, Χριστέ· δὸς δὲ ἡμῖν πλημμελημάτων συγχώρησιν καὶ ἀξίωσον ἡμᾶς, ὅταν ἡ πάνδημος γένηται ἔγερσις, τὸ πρόσωπόν σου ἰδεῖν μετὰ παρρησίας καὶ ἀκοῦσαι τῆς φωνῆς σου σὺν τοῖς ἁγίοις σου· «Δεῦτε κληρονομήσατε μετὰ χαρᾶς βασιλείαν τὴν ἐμήν.» Δὸς οὖν κατάνυξιν ταῖς ψυχαῖς ἡμῶν, πολυέλεε, ἵνα σε δοξάζωμεν τὴν ζωὴν καὶ ἀνάστασιν.

book pro 1 Τῇ φιλοπράγμονι δεξιᾷ τὴν ζωοπάροχόν σου πλευρὰν ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστὲ ὁ Θεός· [para]συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, [para]σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα· «Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.»

book pro 2 Ὁ τοῦ Θωμᾶ δισταγμὸς πίστις ἀναμφίβολος οἰκονομήθη, σωτήρ, ὄντως βουλήσει σου, ἵνα μηδείς σου ποτὲ ἐνδοιάσῃ τὴν ἀνάστασιν· ἑαυτὸν γὰρ μόνον οὐκ ἔδειξας αὐτῷ, ἀλλὰ τύπους ἥλων καὶ λόγχης τὴν νυγμήν· διὸ σὲ καὶ ὡμολόγησε· «Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.»

book pro 3 Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν ἀπιστῶν καὶ τὴν πλευράν σου τὴν θείαν ἐξερευνῶν, ἐν πίστει ἔλεγεν ὁ Δίδυμος Θωμᾶς· [para]«Συμπάθησόν μοι, δέσποτα, θρασέως ψηλαφήσαντι καὶ πρόσδεξαι, φιλάνθρωπε, μηκέτι με διστάζοντα, ἀλλὰ ἐν πίστει βοῶντα· ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘»

book 1 Τίς ἐφύλαξε τὴν τοῦ μαθητοῦ παλάμην τότε ἀχώνευτον, ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ κυρίου; [para]Τίς ἔδωκε ταύτῃ τόνον, καὶ ἴσχυσε ψηλαφῆσαι φλόγεον ὀστοῦν; Πάντως ἡ ψηλαφηθεῖσα. Εἰ μὴ γὰρ ἡ πλευρὰ δύναμιν ἐχορήγησε, πηλίνη δεξιὰ πῶς εἶχε ψηλαφῆσαι παθήματα σαλεύσαντα τὰ ἄνω καὶ τὰ κάτω; Αὕτη ἡ χάρις Θώμᾳ ἐδόθη τὸ αὐτὴν ψηλαφῆσαι, Χριστῷ δὲ βοῆσαι· «Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.»

book 2 Ὄντως φέρουσα ἡ βάτος τὸ πῦρ ἐκαίετο κα͜ὶ ο͜ὐ κατεφλέγετο· ἐκ γὰρ τῆς τοῦ Θώμα χειρὸς πιστεύω τοῖς Μωσέως· [para]σαθρὰ γὰρ καὶ ἀκανθώδης ὑπάρχουσα, οὐκ ἐφλέχθη ψαύσασα πλευρᾶς ὥσπερ φλογὸς καιομένης· καὶ τότε μὲν τὸ πῦρ ἦλθεν ἐπὶ τὴν ἄκανθαν· νυνὶ δὲ πρὸς τὸ πῦρ ἔδραμεν ἡ βατώδης, καὶ ὤφθη ὁ αὐτὸς Θεὸς ἀμφότερα φυλάττων. Οὕτω πιστεύω, οὕτω δοξάζω τὸν αὐτὸν Θεὸν ἅμα καὶ ἄνθρωπον λέγων·

book 2 «Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.»

book 3 Ὑπεγράφη γὰρ βεβαίως ἐμοὶ ὁ ὅρος ταύτης τῆς πίστεως διὰ τῆς τοῦ Θώμα χειρός· Χριστοῦ γὰρ ἁψαμένη, [para]ὡς κάλαμος γραμματέως ἐγένετο ὀξυγράφου γράφουσα πιστοῖς ἔνθεν ἡ πίστις πηγάζει· ἐκεῖθεν ὁ λῃστὴς ἔπιε καὶ ἀνένηψεν, ἐκεῖθεν μαθηταὶ ἤρδευσαν τὴν καρδίαν, ἐκεῖθεν Θώμας ἤντλησε τὴν γνῶσιν ὧν ἐζήτει· πίνει οὖν πρῶτος, εἶτα ποτίζει· ἀπιστήσας μικρὸν πολλοὺς ἔπεισε λέγειν·

book 3 «Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.»

book 4 Τίνος ἕνεκεν ἢ πόθεν ἢ πῶς ἠπίστησεν ὁ ἀπόστολος; Ἐρωτήσωμεν, εἰ δοκεῖ, τὸν γόνον Ζεβεδαίου· [para]τρανῶς γὰρ ὁ Ἰωάννης τὰ ῥήματα τοῦ Διδύμου ἔγραψεν ἐν τῇ βίβλῳ τοῦ εὐαγγελίου. Φησὶ γὰρ ὁ σοφός· μετὰ τὴν Χριστοῦ ἔγερσιν, οἱ ἄλλοι μαθηταὶ ἔφησαν πρὸς τὸν Θώμαν· «Ὦ φίλε, ἑωράκαμεν τὸν κύριον ἐνταῦθα.» Θώμας δὲ εἶπε τάχα πρὸς τούτους· «Οἱ ἰδόντες μὴ κρύπτεσθε, ἀλλὰ βοᾶτε·

book 4 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 5 Ἀπαγγείλατε παντὶ τῷ λαῷ ἃ εἴδετε καὶ ἠκούσατε· μὴ καλύψητε, μαθηταί, τὸν λύχνον τῷ μοδίῳ· [para]ἃ λέγετε ἐν τῷ σκότει κηρύξατε ἐν τῷ φέγγει· δεῦτε μετ’ ἐμοῦ ἔξω μετὰ παρρησίας· ἀκμὴν ἐν φωλεῷ πέλετε, καὶ θρασύνεσθε; Λαλεῖτε ὑψηλὰ τῶν θυρῶν κεκλεισμένων, βοᾶτε· ‘Ἑωράκαμεν ἐν γωνίᾳ τὸν κτίστην‘· φαίνηται πᾶσι, μάθῃ ἡ κτίσις, διδαχθῶσι θνητοὶ βοᾶν τῷ ἀναστάντι·

book 5 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 6 Πῶς δυνήσομαι πιστεῦσαι ὑμῖν, ἀκούων ἄπιστα ῥήματα; Εἰ γὰρ ἦλθεν ὁ λυτρωτής, ἐζήτει τὸν οἰκέτην· [para]εἰ ἔλαμψεν ἡ ἡμέρα, οὐκ ἔφαινε παρὰ ὥραν· εἴπερ ὁ ποιμὴν ὤφθη, ἐκάλει τὸν ἄρνα· ἠρώτησέ ποτε· ‘Ποῦ τεθείκατε Λάζαρον;‘ καὶ νῦν οὐκ ἔφησε· ‘Ποῦ ἀφήκατε Θώμαν;‘, ἀλλ’

ἔλαθε τοῦ θέλοντος μετὰ τούτου τεθνάναι; Ἄπιστος μένω ἕως ἂν ἴδω· ὅταν ἴδω καὶ ψαύσω, πιστεύσω καὶ λέξω·

book 6 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘»

book 7 Ἔτι λέγοντος τοῦ Θώμα ποτὲ τοιαῦτα τοῖς ἀδελφοῖς αὐτοῦ, παρεγένετο ὁ σωτήρ, τὸ θάρσος τῶν ἐν φόβῳ, ἡ ἄμεμπτος παρρησία τῶν ἐν φυγῇ καὶ δειλίᾳ· [para]μέσον μαθητῶν ὤφθη θυρῶν κεκλεισμένων. Ἰδὼν δὲ ὁ Θωμᾶς κάτω κάμπτει τὸ πρόσωπον καὶ ἔνδον τῆς ψυχῆς ἔλεγε· «Τί τελέσω; Πῶς νῦν ἀπολογήσομαι οἷς ἠπίστησα πρώην; Τί εἴπω Πέτρῳ; τί φῶ τοῖς ἄλλοις; Οὓς ὠνείδισα πάλαι πῶς πείσω καὶ κράξω·

book 7 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς 〈ἡμῶν〉‘;

book 8 Εἴθε ἤσκησα κἀγὼ σιωπήν, ὡς Ἰησοῦς ἐν τῷ κρίνεσθαι· ἀλλ’ ἠρέθισέ με λαλεῖν ἡ θέα τῶν χαιρόντων· [para]τοῖς ῥήμασιν ὑπεκνίσθην τῶν ἐν χαρᾷ κραυγαζόντων· ‘Εἴδομεν σαφῶς ζῶντα τὸν γνώμῃ θανέντα‘. Ὁρῶν οὖν ἱλαρὸν Πέτρον τὸν ἀρνησάμενον καὶ πάλιν χαριεῖς τοὺς σὺν αὐτῷ φυγόντας ἐζήλωσα· ἐζήτουν γὰρ μετὰ τούτων χορεύειν· ζηλῶν οὖν εἶπον ἅπερ προεῖπον· μὴ μεμφθῶ, Ἰησοῦ μου, προσδεχθῶ δὲ βοῶν σοι·

book 8 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 9 Νύξ μοι γέγονε καὶ σκότος βαθὺ τὰ ῥήματα τῶν συνδούλων μου· οὐκ ἐφώτισαν γὰρ αὐτά, οὐχ ἧψαν τῇ ψυχῇ μου [para]τοῦ θαύματος τὴν λαμπάδα, ἣν νῦν ὁρῶ παρ’ ἐλπίδα· βλέπω γὰρ Χριστὸν πάλιν θυρῶν κεκλεισμένων· εἰ δ’ ἔφθασα μαθεῖν ὅτι οὕτως ἐλήλυθεν, οὐκ ἂν ἠπίστησα· εἶχον γὰρ ἐννοῆσαι τὴν εἴσοδον καὶ ἔξοδον αὐτοῦ τὴν ἐκ Μαρίας· μόνον γὰρ εἶπον ὅτι κατεῖδον· τὶς δὲ τοῦτον οὐκ εἶδε πῶς δυνήσεται λέγειν·

book 9 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς 〈ἡμῶν〉‘;»

book 10 Οὕτω Δίδυμος λαλῶν ἑαυτῷ ἐλάλει καὶ τῷ Θεῷ ἡμῶν· ὁ ἐτάζων δὲ τοὺς νεφρούς, τὸν Θώμαν θεωρήσας [para]συντριβέντα τὴν καρδίαν, καθώς ποτε τὸν τελώνην ᾤκτειρε βοῶν· «Φέρε τὴν χεῖρά σου ὧδε· εἰς τί ἐδίστασας, λέγε μοι, ὀλιγόπιστε; ἢ ποῖον τῶν ἐμῶν ἄπιστόν σοι ἐφάνη, ἡ σταύρωσις, ἡ νέκρωσις, ἡ ἀνάστασις αὐτή; Μέχρι δὲ τίνος ἀμφισβητεῖς μοι; Ὃν ἐπόθεις ἰδεῖν ἰδοὺ βλέπων με, κράξον·

book 10 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 11 Ὕπνον ὕπνωσα ἐν τάφῳ μικρὸν καὶ μετὰ τρεῖς ἀνεβίωσα· διὰ σὲ καὶ τοὺς κατὰ σὲ ἐκείμην ἐν μνημείῳ, [para]καὶ σὺ ἀντ’ εὐχαριστίας προσῆξάς μοι ἀπιστίαν· ἤκουσα γὰρ ὧν εἶπας πρὸς τοὺς ἀδελφούς σου.» Πρὸς ταῦτα ὁ Θωμᾶς ἔπτηξε καὶ ἀνέκραξε· «Μὴ μέμψῃ μοι, σωτήρ· σοὶ γὰρ ἀεὶ πιστεύω, τῷ Πέτρῳ δὲ καὶ τοῖς λοιποῖς δυσχεραίνω πιστεύειν· οἶδα γὰρ τούτους σοὶ ψευσαμένους καὶ ἐν ὥρᾳ κακῶν φοβουμένους εἰπεῖν σοι·

book 11 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 12 Ῥῖψαι θέλοντα τὸν Θώμαν ποτὲ τῆς ἀπιστίας τὸ ἔγκλημα θεωρῶν ὁ πάντα ὁρῶν πρὸς τοῦτον ἀπεκρίθη· [para]«Καὶ σὺ μετὰ τούτων ἦσθα ἐν τῷ καιρῷ ᾧ ἠνίζω· πάντες γὰρ ἐμὲ μόνον ἀφήκατε πάσχειν· καιρὸς ἦν χαλεπός, Δίδυμε, μὴ ὀνείδιζε, δι’ ὃν καὶ ἡ γραφή· ‘Πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης.‘ Νόει ἃ λέγω, ποίει ὃ εἶπας· ψηλαφῆσαί με θέλεις; Ψηλάφησον λέγων·

book 12 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘»

book 13 Ὢ τοῦ θαύματος, ὢ τῆς ἀνοχῆς, ὢ τῆς ἀμέτρου πραότητος· ψηλαφᾶται ὁ ἀνάφης, κρατεῖται ὑπὸ δούλου [para]καὶ δείκνυσι τῷ οἰκέτῃ τὰ τραύματα ὁ δεσπότης ὧν ἐν τῷ καιρῷ πᾶσα ἡ κτίσις ἐσείσθη. Τοιούτων δὲ Θωμᾶς δωρεῶν ἀξιούμενος τῷ ἀξιώσαντι δέησιν ἀνατείνει, «Ἀνάσχου,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγων, δέσποτα, τῆς ἐμῆς προπετείας, φεῖσαι τοῦ χόρτου, ῥῦσαί με φόρτου· κουφισθῶ ἀπιστίας, ἵνα ψάλλω καὶ λέξω·

book 13 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 14 Μεῖνον ἤμερος, ἕως ἂν ἐγὼ κατατρυφήσω σου, κύριε· πληροφόρησόν με τὸν σόν· ἠνέσχου ἀλλοτρίων, [para]ἀνάσχου καὶ τοῦ ἰδίου καὶ δεῖξόν μοι τὰς πληγάς σου, ἵνα ὡς πηγὰς ταύτας ἀντλήσω καὶ πίω. Μὴ φλέξῃς με, σωτήρ· πῦρ γὰρ εἶ καθ’ ὑπόστασιν, κατὰ δὲ βούλησιν σῶμα εἶ ὃ ἐγένου· ἀπόκρυψον οὖν, δέομαι, ἑαυτὸν ὅσον ὅσον· δέξαι, σωτήρ μου, ὡς τὴν αἱμόρρουν· οὐ κρατῶ τοῦ κρασπέδου, σοῦ ἅπτομαι λέγων·

book 14 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν.‘

book 15 —Ἅπαξ ἤκουσας, καλὲ μαθητά, γενοῦ πιστὸς καὶ μὴ ἄπιστος· μὴ φοβοῦ· οὐ φλέγω σε γάρ, φυλάττω τοὺς ἐντός μου· [para]τὴν κάμινον Βαβυλῶνος ἐδίδαξα τοῦτο πράττειν, μᾶλλον οὖν ἐγὼ τοῦτο ποιῶ καὶ διδάσκω. Μὴ τῆς ἁμαρτωλοῦ πόρνης σὺ εἶ σαθρώτερος ἥτις ἐπήλειψε μύρῳ τὴν κεφαλήν μου καὶ ταῖς θριξὶν ἐξέμαξε τοὺς ἁγίους μου πόδας; Δεῦρο οὖν, φίλε, μή με μυρίσῃς· ἑαυτὸν εὐωδίασον πίστει βοῶν μοι·

book 15 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς 〈ἡμῶν〉.‘

book 16 —Ναί, φιλάνθρωπε, μυρίσω κἀγώ, οὐχ ὡς ἡ πόρνη τὸ πρότερον· οὐ προσέρχομαι μυρεψῷ κραυγάζων· ‘Δός μοι μύρον‘, [para]τὴν πίστιν σοι προσκομίζω τῷ ἔχοντι ὑπὲρ μύρον χάριν, τὴν πλευρὰν ἥνπερ κρατῶν ἀπολαύω. Δοξάζω σου, Χριστέ, τὴν πιστὴν συγκατάβασιν, πῶς ἐνηνθρώπησας ἵνα τῆς τῶν εἰδώλων τὸν ἄνθρωπον, ὃν ἔπλασας, ματαιότητος ῥύσῃ· καὶ ῥαπισθῆναι 〈σὺ〉 κατεδέξω ἵν’ ἐμὲ ἐλευθερώσῃς παθῶν, τοῦ βοᾶν σοι·

book 16 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς ἡμῶν‘.

book 16bis [Νῦν οὖν, δέσποτα, εἰδὼς ὅτι ἐμφαίνω σοι τὴν καρδίαν μου, καθορᾷς καὶ τοὺς λογισμοὺς γινώσκων τὰς ἐννοίας· [para]ἀλλ’ ὅμως σοι ἀπαγγέλλω· προῄδεις 〈με〉 τὸν πιστόν σου· ἴδω τὴν πλευράν, ἵνα τοὺς πάντας διδάξω· ὀστέα ψηλαφῶ καὶ τοὺς τύπους τῶν ἥλων σου, καὶ κύριον ἐγὼ καὶ Θεόν σε κηρύττω· ὡς κύριος τῆς δόξης γὰρ τὴν σταύρωσιν ἠνέσχου, ἐπὶ τοῦ ξύλου πᾶσι δεικνύων ἐν ἀμέμπτῳ καρδίᾳ καὶ πίστει βοᾶν σοι· ‘Κύριος ὑπάρχεις καὶ Θεός μου.‘]

book 17 —Ὅμως ἄκουσον καὶ μάθε σαφῶς· σοφοῦ γὰρ γέγονας μέτοχος· ἡ σοφία ἡ τοῦ πατρὸς ἐγνώσθην τοῖς ἀνθρώποις· [para]μακάριος εἶ ἐν πίστει, καὶ μᾶλλον δὲ μακαρίζω τοὺς ἐξ ἀκοῆς μόνης ἐμοὶ προσελθόντας· αὐτός με ψηλαφῶν νῦν ἐπέγνως τὴν δόξαν μου, ἐκεῖνοι δὲ φωνῇ λόγων μοι προσκυνοῦσι· μεγάλη δὲ ἡ ἔννοια τῶν οὕτω πιστευόντων· σοὶ θεωροῦμαι ὡς μαθητῇ μου καὶ ἐκείνοις ὡς δούλοις ἁγίοις βοῶσι·

book 17 ‘Κύριος ὑπάρχεις καὶ Θεὸς 〈ἡμῶν〉.‘»

book 18 Ὑπὸ χάριτος ψυχῇ καὶ σαρκὶ στηρίξας σῶσόν με, ὕψιστε, ἵνα ἅπτωμαι τῆς πλευρᾶς· λαμβάνων σου τὴν χάριν, [para]τὸ αἷμά σου καὶ τὸ σῶμα, λυτροῦμαι ἐκ τῶν κακῶν μου, ἄφεσιν ἱνὰ εὕρω τῶν παραπτωμάτων. Ὁ Θώμας ψηλαφῶν νῦν ἐπέγνω τὴν δόξαν σου· ἐγὼ δὲ δειλιῶ, οἶδα γὰρ τὰς βουλάς σου, ἐπίσταμαι τὰ ἔργα μου· συνειδός με ταράττει· φεῖσαι, οἰκτίρμων, φεῖσαι, σωτήρ μου, ἵνα ἔργοις καὶ λόγοις ἐν πίστει βοῶ σοι·

book 18 «Κύριος ὑπάρχεις καὶ Θεὸς 〈ἡμῶν〉.»

book pro 1 Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν μαθητῶν σου, κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν [para]τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book pro 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς καὶ ἐκπέμψας ὥσπερ κήρυκας πάσῃ τῇ γῇ τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεός, [para]δι’ αὐτῶν κραταίωσον τὴν ἐκκλησίαν σου καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 1 Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου, [para]πλάτυνόν μου τὸ στόμα, καὶ πληρώσας αὐτὸ κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω ἀκολουθήσω καὶ ἃ δῆθεν διδάσκω ποιήσω πρῶτος· πᾶς γὰρ ποιῶν καὶ διδάσκων, φησίν, οὗτος μέγας ἐστίν· [para]ἐὰν οὖν λέγων μὴ πράττω, ὡς χαλκὸς ὁ ἠχῶν λογισθήσομαι· [para]διὸ λαλεῖν με τὰ δέοντα καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 2 Οὕτω ποτὲ καὶ οἱ μαθηταί σου, [para]ἐκτελέσαντες πρῶτον τὰ προστάγματά σου, [para]ἐδίδασκον ἅπερ ἔπραττον, πάσῃ δυνάμει ὁμοῦ κυροῦντες τὴν 〈αὐτῶν〉 διδασκαλίαν τῇ πολιτείᾳ, ἣν ὁ ὁρῶν καὶ ζηλῶν ὡς αὐτοὶ οὗτος μέγας ἐστίν· γυμνοῦσθαι τῶν ἐν τῷ βίῳ καὶ τῶν ἄνω φροντίζειν ἑκάστοτε, σταυρὸν βαστάζειν ἐπ’ ὤμοισιν, ἐντρυφᾶν τὸ θανεῖν, ὡς προσέταξας, [para]ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 3 Ὕλῃ τοσαύτῃ τῶν ἐναρέτων [para]ὁ κατάλογος οὗτος τῶν ἀποστόλων κομῶν [para]πᾶσαν τὴν γῆν εὐωδίασε, τὰ κλήματα Χριστοῦ τῆς ἀμπέλου, τὸ γεώργιον τοῦ ἄνω καλλιέργου, οἱ πρὸ Χριστοῦ ἁλιεῖς καὶ μετὰ τὸν Χριστὸν ἁλιεῖς, [para]οἱ ἅλμῃ συνομιλοῦντες καὶ γλυκὺ ῥῆμα νῦν ἐρευγόμενοι, [para]οἱ πρὶν ἰχθύας ἀγρεύοντες καὶ βροτοὺς νῦν θηροῦντες, ὡς ἔφησεν ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 4 Τούτους τοὺς ἄρνας ὁ ἀγελάρχης [para]οὓς ἐσκόρπισε φόβος ἐν καιρῷ τοῦ σταυροῦ [para]συνήγαγε μετ’ ἀνάστασιν· στὰς γὰρ εἰς ὕψος ἐπὶ τοῦ ὄρους ἐκελάδησε μέλος γλυκὺ τῇ ποίμνῃ· θάρσος διδοὺς καὶ μικρὸν ὡς δειλοῖς αἰνιττόμενος [para]ἐβόα λέγων· «Θαρσεῖτε· ἐγὼ μόνος τὸν κόσμον νενίκηκα, [para]ἐγὼ τοὺς λύκους ἐσκόρπισα· μετ’ ἐμοῦ ἦν οὐδείς, μόνος ἤμην ὁ ὤν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 5 Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη· [para]μετανοίας τὸν σπόρον ἐμβαλόντες τῇ γῇ [para]διδασκαλίαις ἀρδεύσατε. Βλέπε μοι, Πέτρε, πῶς ἐκπαιδεύεις· ἐννοῶν σου τὸ πταῖσμα συμπάθει πᾶσι μὴ αὐστηρός, δι’ ἐκείνην τὴν κόρην τὴν σείσασάν σε· [para]ἐάν σοι τῦφος εἰσπέσῃ, τῆς φωνῆς τοῦ ἀλέκτορος ἄκουσον [para]καὶ τῶν δακρύων μνημόνευε ὧν ἐγώ σε τοῖς ῥείθροις ἀπέπλυνα ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 6 Πέτρε, φιλεῖς με; Ποίει ἃ λέγω· [para]ποίμαινέ μου τὴν ποίμνην καὶ φίλει οὓς φιλῶ, [para]συμπάσχων τοῖς ἁμαρτάνουσιν μνησθείς μου τῆς πρὸς σὲ εὐσπλαγχνίας, ὅτι τρὶς ἀρνησάμενόν σε ἐδεξάμην· ἔχεις λῃστὴν θυρωρὸν παραδείσου θαρρύνοντά σε, [para]ἐκείνῳ πέμπε οὓς θέλεις· δι’ ὑμῶν πρὸς ἐμὲ ἀναστρέφει Ἀδὰμ [para]βοῶν· ‘‘Ὁ πλάστης παρέσχε μοι τὸν λῃστὴν πυλωρὸν καὶ κλειδοῦχον Κηφᾶν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.‘

book 7 Ἴσχυέ μοι καὶ σύ, ὦ Ἀνδρέα· [para]ὥσπερ εὗρές με πρῶτος εὑρεθεὶς παρ’ ἐμοῦ, [para]εὗρε καὶ σὺ τὸ πλανώμενον. Μὴ ἐπιλάθῃ τῆς πρώτης τέχνης· ἐξ αὐτῆς γὰρ εἰς ταύτην σε μεταπαιδεύσω· πρώην γυμνὸς εἰς βυθὸν καὶ νυνὶ πρὸς τὸν βίον γυμνός, [para]καλάμῳ πρὶν ἁλιεύων, τῷ σταυρῷ ἁλιεύειν διδάχθητι· [para]τῷ σκώληκι ἐδελέαζες, τῇ σαρκί μου θηρᾶν παραγγέλλω σοι ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 8 Νῦν δεῖξον ἔργον, ὦ Ἰωάννη· [para]πάντες μάθωσιν ἄρτι ὡς οὐ μάτην τὸ πρὶν [para]ἀνέκλινά σε τῷ στήθει μου· ποίησον αὔλακας τῇ πηγῇ μου ἧς τὰ νάματα ἤντλησεν ἡ στοργή σου· ὄρυξόν μοι ὡς δικέλλῃ τῇ γλώττῃ διέξοδον, [para]καὶ ἥξω οὗ ἐὰν θέλῃς καὶ ποτίσας μεθύσω τὸν σπόρον σου· [para]ὡς κόκκους λόγους κατάβαλε, καὶ αὐξήσας πληθύνω τὰ λήϊά σου ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὕτω καὶ σύ, Ἰάκωβε, πράττε· [para]μὴ τὸ κήρυγμα λείψας Ζεβεδαίου μνησθῇς, [para]οὗ πρὶν ἐμὲ προετίμησας· οἶδα γὰρ πῶς ἀφῆκας ἐν σκάφῃ τὸν γενέτην, τὸν πλάστην ἐμὲ ποθήσας. Πλήρωσόν μου τὴν βουλὴν μετὰ τῶν ὁμοδούλων σου· [para]μὴ πτήξῃς τοὺς ἐπιβούλους· τὰς βουλὰς γὰρ αὐτῶν διεσκέδασα· [para]μαχαίραις σε ὅταν τέμνωσιν, νόει τίς ὁ τῇ λόγχῃ νυγεὶς τὴν πλευράν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 10 Ὕπαγε, Φίλιππε, ἅμα τούτοις· [para]κήρυξόν με ὡς βλέπεις καὶ ἀκούεις μου νῦν· [para]μὴ τοῦ πατρός μου χωρίσῃς με· μὴ εἴπῃς ὅτι ‘τὸν γόνον εἶδον, τὸν δὲ τούτου γενέτην οὐδ’ ὅλως εἶδον‘· ἔδειξά σοι ἐν ἐμοὶ τὸν πατέρα κἀμὲ ἐν αὐτῷ· [para]οὐκ ἦλθον παρὲξ ἐκείνου· ὃ γὰρ θέλει τελῶ καὶ ὃ θέλω τελεῖ· [para]ἐν τῷ αὐτῷ ἐσμεν πνεύματι· τούτου κήρυκα ῥήτορα πέμπω σε ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 11 Ῥήματα τῆς ποτε ἀπιστίας [para]διὰ πίστεως ἄρτι ἀπαλείψας, Θωμᾶ, ὃν ἐψηλάφησας κήρυξον· ἦλθε καιρὸς ὃν ἀεὶ ἐπόθεις, παρατάξασθαι δήμῳ τῷ τῶν Ἑβραίων· ἔχεις σαφῶς τῆς ἐγέρσεώς μου τὰ ἐνέχυρα· [para]τοὺς τύπους εἶδες τῶν ἥλων καὶ τῆς λόγχης κατεῖδες τοὺς μώλωπας· [para]οὐκ ἔστι σοὶ λοιπὸν πρόφασις· πᾶσαν γὰρ ἀφορμὴν περιεῖλόν σοι ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 12 Ὥσπερ τελώνης μεῖνον, Ματθαῖε, [para]καὶ τελώνει ἐκεῖνον τὸν ἐχθρὸν τοῦ Ἀδὰμ [para]ὡς πρώην τοὺς διοδεύοντας· μὴ φείσῃ ἕως ἂν ἀπολάβῃς καὶ τὸν ἔσχατον κοδράντην παρ’ ἐκείνου· κάθου τηρῶν τὴν ὁδὸν τὴν πρὸς Ἅιδην ἀπάγουσαν, [para]κἂν εὕρῃς τὸν ὀλετῆρα ἀπὸ τῶν ἐμῶν ἐκπορευόμενον, [para]ἐπίστηθι καὶ τελώνησον καὶ γυμνὸν τοῦτον δεῖξον, ὡς λέγω σοι ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 13 Μίαν φωνὴν ἀφίημι πᾶσιν, [para]ἵνα μὴ τὸν καθένα ἐκδιδάσκων κοπῶ· [para]ἅπαξ λαλῶ τοῖς ἁγίοις μου· πορευθέντες εἰς πάντα τὸν κόσμον μαθητεύσατε ἔθνη καὶ βασιλείας. Πάντα γάρ μοι παρεδόθη ὑπὸ τοῦ γεννήσαντός με, [para]τὰ ἄνω ἅμα τοῖς κάτω, ὧν καὶ πρὶν λάβω σάρκα ἐδέσποζον· [para]καὶ πάντων νῦν βεβασίλευκα καὶ ὑμᾶς ἱερὰν ἔχω σύγκλητον ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 14 Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη· [para]μετανοίας τὸν σπόρον ἐμβαλόντες τῇ γῇ διδασκαλίαις ἀρδεύσατε.» Τούτων δ’ ἀκούσαντες οἱ συμμύσται πρὸς ἀλλήλους ἑώρων κινοῦντες κάρας· «Πόθεν ἡμῖν ἡ φωνὴ καὶ ἡ γλῶσσα πρὸς πάντας λαλεῖν; [para]’Ισχὺν δὲ τίς ἡμῖν δώσει ἀντιστῆναι λαοῖς καὶ τοῖς ἔθνεσιν, [para]ἀγράμματοι καὶ ἀπαίδευτοι, ἁλιεῖς ἀσθενεῖς, ὡς προσέταξας, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια;

book 15 —Νῦν μὴ ταράσσεσθε τῇ καρδίᾳ, [para]μὴ θολώσῃ τὰς φρένας ὑμῶν ὁ δυσμενής· [para]ὡς νήπιοι μὴ λογίζεσθε, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις· δι’ ὑμᾶς γὰρ ὡς ὄφις ἐγὼ ὑψώθην· μὴ ἑαυτοὺς ἐκφοβοῦντες τὸ κήρυγμα λίπητε· οὐ θέλω σθένει νικῆσαι, διὰ τῶν ἀσθενῶν περιγίνομαι· οὐ χαίρω τοῖς πλατωνίζουσι· τὰ μωρὰ γὰρ τοῦ κόσμου ἠγάπησα [para]ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 16 Ὅμως ὑμῖν καὶ δύναμιν δώσω, [para]δύναμιν ἐν τῷ πίπτειν ἀνιστῶσαν πολλούς, [para]καὶ γλῶσσαν δὲ τὴν σοφίζουσαν· δῆμος ὑμῶν σοβεῖ Δημοσθένην καὶ ἡττῶνται Ἀθηναῖοι Γαλιλαίοις· παύσει λοιπὸν συγγραφὰς ὁ Κηφᾶς ἐξαγγέλλων ἐμέ· [para]ἀμέτρους λέξεις καὶ μύθους ἀμαυροῖ τὸ ῥητὸν τοῦ μαραναθά· [para]ἡ Ναζαρὲτ δονεῖ Κόρινθον· οἱ λαλοῦντες ὑμεῖς, καὶ ὁ πείθων ἐγὼ ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 17 Ὕβρεσι πάντες ὑμᾶς πλυνοῦσι· [para]φυλακαῖς ἐμβαλόντες καὶ δεσμοῦντες πικρῶς [para]τοῖς ἄρχουσι παραδώσουσιν· ἀλλ’ ὀρφανοὺς ὑμᾶς οὐκ ἐάσω· μεθ’ ὑμῶν γάρ εἰμι μέχρι συντελείας· ὅταν κριταῖς παραστήκετε, μέσον με ὄψεσθε· [para]δεσμεῖτε, καὶ συνδεσμοῦμαι· σὺν ἐμοὶ δι’ ἐμὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα πάσχετε· [para]ὑμεῖς τὴν γνώμην προτείνατε, καὶ ἐγὼ δι’ ὑμῶν ἀγωνίζομαι ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.»

book 18 Ὅτε δὲ ἤκουσαν τῶν ῥημάτων [para]τοῦ σοφοῦ διδασκάλου οἱ σοφοὶ μαθηταί, [para]πρὸς ταῦτα ἀνταπεκρίθησαν· «Πάντα σκληρὰ ἡμῖν ἐπηγγείλω καὶ δειλίας ἀνάμεστα καὶ θανάτου· τούτων δὲ νῦν ἐνομίζομεν φεύγειν κολλώμενοι σοί, [para]καὶ ἄρτι τοῖς σκληροτέροις παραδίδεις ἡμᾶς, ὁ σωτὴρ ἡμῶν· [para]ἐκάλεσας εἰς ἀνάπαυσιν, καὶ ἰδοὺ προαλείφεις εἰς ἄθλησιν ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 19 —Ψῆφος ὑμᾶς καλεῖ πρὸς ἀγῶνας· [para]ὁ κανὼν τῆς ἀγάπης ἀπαιτεῖ παρ’ ὑμῶν [para]φιλίας ἔργον ἐνδείξασθαι· πάθετε ὑπὲρ ἐμοῦ ὡς φίλοι, ὡς κἀγὼ ὑπὲρ φίλων καὶ μὴ ὀφείλων· χρέος οὐδὲν οὐχ εὑρέθη καλοῦν με πρὸς θάνατον, [para]ἀλλ’ ὅμως κατεδεξάμην καὶ σταυρὸν ὡς χρεώστης ὑπέμεινα· [para]τὸ πατρικὸν ὑμῶν δάνειον ὁ ἀνεύθυνος θέλων ἀπέδωκα, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 20 Ἄπιτε οὖν εἰς πάντα τὸν κόσμον· [para]μετανοίας τὸν σπόρον ἐμβαλόντες τῇ γῇ διδασκαλίαις ἀρδεύσατε. Βλέπετε μή τις μετανοήσας ἔξω τῆς ὑμετέρας σαγήνης μείνῃ· χαίρω γὰρ τοῖς ἐπιστρέφουσιν, ὡς οἴδατε καὶ ὑμεῖς· [para]ὡς εἴθοις καὶ ὁ προδούς με εἰς ἐμὲ μετὰ πρᾶσιν ὑπέστρεψεν, [para]κἀγὼ αὐτοῦ τὸ ἁμάρτημα ἐξαλείψας ὑμῖν τοῦτον ἥνωσα ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 21 Λύπην μισήσατε καὶ δειλίαν· [para]αὕτη γὰρ παραπέμπει τῷ θανάτῳ πολλούς, [para]ὡς τὸν Ἰούδαν ἀπέδειξεν· οἴδατε πῶς ἀγχόνης σχοινίον ἡ ἀπόγνωσις ἔπλεξε τῷ προδότῃ· ὅμως κενὴ καὶ ἐν τούτῳ ἡ τοῦ διαβόλου παγίς· [para]μικρὸν γὰρ καὶ ἀποτίσει ἀντὶ τοῦ Ἰσκαριώτου τὸν Κίλικα, [para]ἀντὶ δολίου τὸν δόκιμον, ἀντὶ πράτου τὸν Παῦλον κομίσομαι ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 22 Μύσται μου, φίλοι καὶ ἀδελφοί μου [para]—μύστας γὰρ ὑμᾶς λέγω, οὐχὶ δούλους λοιπόν, [para]υἱοὺς καὶ συγκληρονόμους μου—, φωστῆρες τῆς οἰκουμένης ὅλης καὶ ἐμοῦ τοῦ ἡλίου φαιδραὶ ἀκτῖνες, τῶν θησαυρῶν τῶν ἐμῶν οἱ πιστοὶ κλειδοφύλακες, [para]μεσῖται τῶν δωρουμένων παρ’ ἐμοῦ τῷ Ἀδὰμ ὑποστρέφοντι, [para]οἱ στῦλοι τῆς ἐκκλησίας μου οὓς ἐγὼ ἐκ θαλάσσης ἀνήγαγον ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 23 Οὕτως κηρύξατέ με τῷ κόσμῳ, [para]φανεροῦντες ὃ πέλω καὶ μισοῦντες λοιπὸν [para]παραβολὰς καὶ αἰνίγματα· εἴπατε ὅτι Θεὸς ὑπάρχω καὶ ἀνέκφραστος μορφὴν ἔλαβον δούλου· δείξατε πῶς τὰς πληγὰς τῆς σαρκὸς οἰκειούμην ἑκών· [para]Θεὸς ὤν, καίπερ μὴ θνῄσκων σὺν τῷ σώματι ἦλθον εἰς θάνατον [para]καὶ ὁ ταφεὶς ὡς κατάκριτος ἐξεπόρθουν τὸν Ἅιδην ὡς κύριος, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

book 24 Σώσατε οὖν ἐν τούτοις τὸν κόσμον [para]βαπτίζοντες εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ [para]καὶ τοῦ ἁγίου Πνεύματος.» Τούτοις τοῖς λόγοις κραταιωθέντες οἱ ἀπόστολοι ἔλεγον πρὸς τὸν πλάστην· «Σὺ εἶ Θεὸς προαιώνιος καὶ ἀτελεύτητος· [para]σὲ ἕνα κύριον γνόντες ἅμα τῷ σῷ Πατρὶ καὶ τῷ Πνεύματι [para]κηρύσσομεν ὡς προσέταξας· σὺ γενοῦ μεθ’ ἡμῶν τε καὶ ὑπὲρ ἡμῶν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.»

book pro 1 Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις [para]ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεός, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος καὶ βοῶν τοῖς ἀγαπῶσί σε· «Ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book pro 2 Ἐν τῷ ὄρει τῶν ἐλαιῶν ἁγιάσας τοὺς μαθητὰς [para]εἰς οὐρανοὺς ἀνελήφθης, κύριε, [para]ἐπαγγειλάμενος αὐτοῖς διδασκαλίαν καὶ βοήσας αὐτοῖς· [para]«Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book 1

Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες, τὰ τῆς τέφρας τῷ χοΐ παραχωροῦντες, δεῦτε, ἀνανήψωμεν [para]καὶ εἰς ὕψος ἐπάρωμεν ὄμματα καὶ νοήματα· πετάσωμεν τὰς ὄψεις ὁμοῦ καὶ τὰς αἰσθήσεις ἐπὶ τὰς οὐρανίους πύλας οἱ θνητοί· νομίσωμεν εἶναι τοῦ ἐλαιῶνος εἰς ὄρος καὶ ἀτενίζειν τῷ λυτρουμένῳ ἐπὶ νεφέλης ἐποχουμένῳ· ἐκεῖθεν γὰρ ὁ κύριος εἰς οὐρανοὺς ἀνέδραμεν, ἐκεῖ καὶ ὁ φιλόδωρος τὰς δωρεὰς διένειμεν τοῖς ἀποστόλοις αὐτοῦ, [para]κολακεύσας ὡς πατὴρ καὶ βοήσας αὐτοῖς, [para]ὁδηγήσας ὡς υἱοὺς καὶ λέξας πρὸς αὐτούς· [para]«Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book 2 Ὁ τὴν γῆν καταλαβών, ὡς μόνος οἶδεν, ἀναβαίνων ἐξ αὐτῆς πάλιν, ὡς οἶδεν, [para]ἦρεν οὓς ἠγάπησεν καὶ εἰς ὄρος μετέωρον ἤγαγεν οὓς συνήγαγεν, ἵν’ ἔχοντες εἰς ὕψος τὰς κάρας καὶ τὰς φρένας πάντων τῶν χαμαιζήλων λάθωσι λοιπόν. Διὸ ἀναχθέντες ἐν τῷ βουνῷ τῶν ἐλαίων περιεκύκλουν τὸν εὐεργέτην, ὡς διηγεῖται Λουκᾶς ὁ μύστης· ἐπάρας δὲ ὁ κύριος χεῖρας καθάπερ πτέρυγας, ὡς ἀετὸς ἐσκέπασε τὴν νοσσιὰν ἣν ἔθαλπε καὶ λέγει τοῖς νεοσσοῖς· «Ἐπεσκίασα ὑμᾶς ἐκ πάντων τῶν κακῶν· ὡς οὖν ἔστερξα ὑμᾶς, ἀγαπήσατέ με, καὶ οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.

book 3 Ὑπεράνωθεν ὑμῶν, ὦ μαθηταί μου, ὡς θεὸς καὶ ποιητὴς ὅλου τοῦ κόσμου [para]τείνω τὰς παλάμας μου ἃς οἱ ἄνομοι ἔτειναν, ἔδησαν καὶ καθήλωσαν· ὑμεῖς οὖν ὑποθέντες τὰς κάρας ταῖς χερσίν μου σύνετε, γνῶτε, φίλοι, ἅπερ ἐκτελῶ· ὥσπερ γὰρ βαπτίζων χειροθετῶ ὑμᾶς ἄρτι καὶ εὐλογήσας ἐξαποστέλλω πεφωτισμένους, σεσοφισμένους· ἐπὶ ταῖς κεφαλαῖς ὑμῶν αἴνεσις καὶ εὐπρέπεια·

book 3 ἐπὶ δὲ ταῖς ψυχαῖς ὑμῶν ἔλλαμψις, καθὼς γέγραπται· ἐκ γὰρ τοῦ πνεύματός μου ἐκχεῶ ἐπὶ ὑμᾶς, καὶ ἔσεσθέ μοι δεκτοί, διδακτοὶ καὶ ἐκλεκτοί, οἰκεῖοι καὶ πιστοί· καὶ οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book 4 Ταῦτα λέξας ὁ σωτὴρ τοῖς ἀποστόλοις ἱκανήν τε καὶ πολλὴν παρέσχε λύπην· [para]τάχα δὲ καὶ ἔκλαυσαν καὶ ἐκ βάθους στενάξαντες εἶπον πρὸς τὸν διδάσκαλον· «Ἀφεὶς ἡμᾶς, οἰκτίρμων, χωρίζῃ τῶν φιλούντων; Ταῦτα γὰρ ὡς ὁδεύων ἐφθέγξω ἡμῖν· τὰ ῥήματα ταῦτα ἀποδημίαν σημαίνει, καὶ τούτου χάριν ἀδημονοῦμεν, ἐπειδὴ εἶναι σὺν σοὶ ποθοῦμεν· ζητοῦμέν σου τὸ πρόσωπον, τέρπει γὰρ τὰς ψυχὰς ἡμῶν·

book 4 ἐτρώθημεν, ἐδέθημεν τῇ γλυκυτάτῃ θέᾳ σου· οὐκ ἔστι πλὴν σοῦ θεός· μὴ μακρύνῃς οὖν σαυτὸν τῶν σῶν ἀγαπητῶν, συμπαράμεινον ἡμῖν καὶ λέξον πρὸς ἡμᾶς· ‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 5 Ἀπελίπομεν ἡμεῖς ὅλον τὸν βίον καὶ ἐφύγομεν αὐτὸν καθάπερ βίαν· [para]ἵνα σε κερδήσωμεν, ἐπὶ γῆς ἐγενήθημεν ξένοι καὶ παρεπίδημοι· ὁ πρῶτος ἡμῶν Πέτρος γενόμενός σου φίλος πάντων ἠλλοτριώθη ὧν εἶχε τὸ πρίν· Ἀνδρέας δ’ ὁ τούτου συναίμων, ὅτε σε εὗρεν, τῶν ἐν τῷ κόσμῳ εὐθὺς ἀπῆρε καὶ τὸν σταυρόν σου ἐπ’ ὤμων ἦρε. Τοιαύτην οὖν διάθεσιν θέλεις ἀφεῖναι, δέσποτα, καὶ σπεύδεις ἐκδραμεῖν ἡμῶν ὥσπερ ἐπιλαθόμενος; Μὴ γένοιτο, βασιλεῦ· μὴ γελάσωσιν ἡμᾶς οἱ μισοῦντες ἡμᾶς, μὴ βοήσωσιν ἡμῖν· ‘Ποῦ ἐστιν ὁ εἰπών·

book 5 Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 6 Παρορᾷς, ὦ λυτρωτά, καὶ οὐ λογίζῃ τὴν φιλίαν τῶν υἱῶν τοῦ Ζεβεδαίου; [para]Μνήσθητι, φιλάνθρωπε, πῶς τοῦ θείου σου ῥήματος ἤκουσαν καὶ οὐ παρήκουσαν; Οὐκ εἶπον ἐν καρδίαις· ‘Τίς οὗτος ὁ καλέσας;‘, ἀλλὰ καὶ τοῦ γενέτου προέκρινάν σε. Ματθαῖος δὲ πάλιν τοῦ τελωνίου τὸν πόρον ὡς ἀπορίαν πολλὴν ἡγεῖτο, ἐπειδὴ πλοῦτον τὸν σὸν ἐπόθει· Θωμᾶς δὲ ὁ καὶ Δίδυμος καὶ τὴν ζωὴν ἐμίσησε.

book 6

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ ἅπαξ πάντες εἴπομεν· ‛Σὲ ἀντὶ πάντων στέργομεν‘· μὴ οὖν στερήσῃς ἡμᾶς· ἐναγκάλισαι ἡμᾶς, ὁ τὰ πάντα πληρῶν, περικύκλωσον ἡμᾶς καὶ βόησον ἡμῖν· ‛Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘»

book 7 Ἐπακούσας ὁ σωτὴρ τῶν ἀποστόλων καὶ ἰδὼν τὸν ὀδυρμὸν τῶν ἀγαπώντων, [para]τότε ἀντελάβετο ὡς πατὴρ ὑἱοὺς αὐτοῦ, ᾤκτειρε καὶ ἐβόησε· «Μὴ κλαίετε, ὦ φίλοι· καιρὸς γὰρ οὐ δακρύων, ἀλλ’ οὔτε ἡμέρα ἐστὶν ὀδυρμοῦ· χαρᾶς ἐστιν ὥρα· πρὸς τὸν ἐμὸν γὰρ πατέρα ἀναλαμβάνω τὰς πτέρυγάς μου καὶ καταπαύω ἐν τῇ σκηνῇ μου· σκηνὴν γὰρ τὸ στερέωμα τοῦ οὐρανοῦ ἐποίησα, σκηνὴν οὐ περιγράφουσαν, ἀλλὰ περικυκλοῦσάν με, ὡς Ἡσαΐας βοᾷ· [para]‟Ὡς καμάραν οὐρανὸν ἐστήσατο Θεὸς [para]καὶ οἰκεῖ ὥσπερ σκηνήν‘, ὁ λέγων τοῖς αὐτοῦ·

book 7 ‛Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 8 Ἱλαροὶ οὖν καὶ φαιδροὶ γίνεσθε ἄρτι, καὶ χαρίεσσαν μορφὴν ἀναλαβόντες [para]ᾆσμα καινὸν ᾄσατε· καὶ γὰρ πᾶν ὃ ἂν γένηται ἕνεκεν ὑμῶν γίνεται ὑμῶν χάριν κατῆλθον καὶ διὰ πάντων ἦλθον, ἵνα ὑμῖν ἀρέσω καὶ δέξησθέ με· ὑμῶν χάριν πάλιν εἰς οὐρανοὺς ἀναβαίνω, ἵνα τὸν τόπον ἐξευτρεπίσω ὅπου ὀφείλω ὑμῖν συνεῖναι· πολλαὶ μοναὶ γὰρ πέλουσιν ἄνω πρὸς τὸν πατέρα μου· αἱ μὲν πατέρας ἔχουσιν, ἄλλαι δικαίων γέμουσιν καὶ ἄλλαι τῶν προφητῶν· [para]τὴν μονὴν δὲ τὴν ὑμῶν οὐδεὶς οἶδεν ἀκμήν· [para]ἑτοιμάζω οὖν αὐτὴν καὶ λαμβάνω ὑμᾶς, καὶ͜ οὐ͜ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.

book 9 Νῦν ἀνάστητε ὀρθοί, στῆτε ἑδραῖοι καὶ ἀμώμῳ ὀφθαλμῷ κατανοεῖτε [para]ταύτην τὴν ἀνάληψιν ἣν ὁρῶντες νοήσατε σώματος, οὐ θεότητος· ἡ σὰρξ γὰρ ἣν ὁρᾶτε αὐτὴ τὰ ἄνω φθάνει· τῆς γὰρ θεότητός μου πᾶς τόπος μεστός· ἀλλ’ ὅμως καὶ τούτου τοῦ ὁρατοῦ ὑψουμένου συνανυψοῦται τὸ ἀφανές μου· καὶ γὰρ ἡνώθην τῷ φαινομένῳ· εἷς πέλω ἀθεώρητος ἅμα καὶ θεωρούμενος· ἐγώ εἰμι ὃν βλέπετε ὄντως καὶ οὐκ ἠλλοίωμαι, ὡς ἔφησεν ἡ γραφή, [para]καὶ ἀθάνατός εἰμι καὶ ὅμοιος ὑμῶν, [para]ὑπεράνωθεν ὑμῶν καὶ ἐν μέσῳ ὑμῶν, [para]καὶ͜ οὐ͜ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book 10 Ὅτε ταῦτα ὁ Χριστὸς εἶπε τοῖς φίλοις, διανεύει τὸ λοιπὸν τοῖς ἀρχαγγέλοις ἵνα ἑτοιμάσωσι [para]τοῖς ἁγνοῖς αὐτοῦ βήμασιν ἄνοδον ἀδιόδευτον· καὶ δὴ ὡς προσταχθέντες οἱ τῶν ἀγγέλων πρῶτοι πάσαις ταῖς ἐν τῷ ὕψει ἔκραζον ἀρχαῖς· «Ἐπάρατε πύλας καὶ ἐκπετάσατε θύρας τὰς οὐρανίους καὶ ἐπιδόξους· ὁ γὰρ τῆς δόξης δεσπότης φθάνει. Νεφέλαι, ὑποστρώσατε νῶτα τῷ ἐπιβαίνοντι·

book 10 αἰθήρ, ἐξευτρεπίσθητι τῷ διὰ σοῦ ὁδεύοντι· ἀνοίχθητε, οὐρανοί· [para]οὐρανοὶ τῶν οὐρανῶν, ἐκδέξασθε αὐτόν, [para]ὅτι φθάνει πρὸς ὑμᾶς ὁ λέγων τοῖς αὐτοῦ· [para]‛Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν‘.»

book 11 Ὑπακούσαντες εὐθὺς οἱ ἐν τῷ ὕψει καὶ ἀνοίξαντες ὁμοῦ πάντα τὰ ὕψη, [para]θρόνοι, κυριότητες σὺν ἀρχαῖς καὶ δυνάμεσιν ἔδραμον εἰς ἀπάντησιν καὶ στρώσαντες ταχέως ὡς ἅρμα τὴν νεφέλην, ἐπὶ τὸν ἐλαιῶνα πέμπουσιν αὐτήν· ἡ δὲ κατελθοῦσα ἐνεκολπώσατο τότε τὸν τὰς νεφέλας ἡνιοχοῦντα καὶ ὀμβροτόκους αὐτὰς ποιοῦντα· λαβοῦσα οὖν ἐβάσταζεν, μᾶλλον δὲ ἐβαστάζετο· αὐτὸς γὰρ ὁ φερόμενος ἔφερε τὴν βαστάζουσαν ὡς τὴν Μαρίαν ποτέ· [para]καὶ αὐτὴν γὰρ ἡ γραφὴ νεφέλην προκαλεῖ [para]ἣν ἐφύλαξεν οἰκῶν ὁ τοῖς φίλοις εἰπών· [para]«Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.»

book 12 Ῥαθυμεῖ δὲ οὐδὲ εἷς τῶν ἀποστόλων, [para]ἀλλ’ ἐφρόντιζον ὁμοῦ τῶν τελουμένων· [para]πάντες γὰρ ἀνήρτησαν [para]πρὸς τὸ ὕψος τὰ πρόσωπα, βλέποντες τὴν ἀνάληψιν· εὐθὺς οὖν ὑποθεῖσα τὰ νῶτα ἡ νεφέλη [para]ὄχημα τῷ ἀμώμῳ γέγονε ποδί· χιτῶνος δὲ δίκην ὁ οὐρανὸς διερράγη καὶ͜ ὁ͜ ἐκ Μαρίας ἀνῆλθεν ἄνω, χορῶν πυρίνων προηγουμένων, βοώντων· «Σπεῦσον, δέσποτα, ἕτοιμος γὰρ ὁ θρόνος σου·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 12 ἐπίβηθι, πετάσθητι ταῖς τῶν ἀνέμων πτέρυξι καὶ φθάσον κόλπους Πατρός· ὁ γὰρ θρόνος σου σαφῶς αὐτός ἐστιν ἀεὶ ὃν οἰκεῖς καὶ οὐκ ἐᾷς, κἂν τοῖς κάτω βοᾷς· ‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν‘».

book 13 Ὡς οὖν εἶδον οἱ πιστοὶ τὰ γεγονότα, παραυτὰ δαυιτικῶς ψάλλοντες εἶπον· [para]«Ὄντως ἀναβέβηκεν ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος». Αὐτῶν οὖν συμψαλλόντων καὶ ἄνω θεωρούντων, μία ἀγγέλων ζεύγλη ἦλθεν πρὸς αὐτούς, ὃν τρόπον διδάσκει καὶ ἡ τῶν πράξεων βίβλος, ὅτι τοῦ πλάστου ἀναληφθέντος καὶ τῶν ἁγίων ἀτενιζόντων, ἐπέστησαν ὡς ἄνθρωποι δύο λαμπροὶ τῷ σχήματι βοῶντες· «Τί ἑστήκατε; Τίνι δὲ ἀτενίζετε; Τί θέλετε κατιδεῖν; [para]Ἰδοὺ κάθεται Θεὸς ἐπὶ θρόνου αὐτοῦ· [para]ἐβασίλευσεν ἡμῶν ὁ βοήσας ὑμῖν· [para]‘Οὐ χωρίζομαι ὑμῶν, ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 14 Μὴ θαμβῆσθε τὸ λοιπόν, ὦ Γαλιλαῖοι· Ἰησοῦς γὰρ ὁ Χριστὸς ὃς ἀνελήφθη [para]οὕτως καὶ ἐλεύσεται ὡς αὐτὸν ἐθεάσασθε ἄνω παραγενόμενον. Σαφῶς γὰρ ἀνελήφθη καὶ οὐχὶ μετετέθη· οὐχ ὡς Ἐνὼχ τὸ πρῶτον, οὕτως ὁ Χριστός· Ἐνὼχ γὰρ ἐκεῖνος τῶν ἐπιγείων μετέστη, οὐκ ἠξιώθη τῶν οὐρανίων, ἀλλ’ ἐνετέθη σκηναῖς δικαίων· Ἠλίας δὲ ὁ πύρινον ἅρμα ἐπικαθήμενος ἀνῆλθε καὶ οὐκ ἔφθασε τὸν οὐρανόν, ὡς γέγραπται, ἀλλ’ ὡς εἰς τὸν οὐρανόν· ὁ Θεὸς δὲ τοῦ Ἐνὼχ καὶ ὁ Θεὸς Ἠλιοῦ ἀνελθὼν εἰς οὐρανοὺς ἐδήλωσεν ὑμῖν· ‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘»

book 15 Ἀλλ’ ἀκουσάντες εὐθὺς τούτων τῶν λόγων οἱ τοῦ ῥύστου μαθηταὶ εἶπον ἀλλήλοις· [para]«Ὄντως πιστοὶ μάρτυρες τῆς Χριστοῦ ἀναλήψεως οὗτοι ὡς ἐπουράνιοι· εἰ μὴ γὰρ εἶδον τοῦτον ἐν τῷ οὐρανῷ ἄνω, οὐκ ἂν κατῆλθον κάτω κηρῦξαι ἡμῖν· ἀγγέλων δεσπόζει καὶ δι’ ἀγγέλων γνωρίζει τὰς φιλανθρώπους οἰκονομίας ὁ ἀνατείλας ἐκ τῆς παρθένου· ἐτέχθη, καὶ τὴν γέννησιν τούτου ἐδήλουν ἄγγελοι·

book 15 ἠγέρθη, καὶ τὴν ἔγερσιν πάλιν ἐδήλουν ἄγγελοι· ἀνῆλθεν εἰς οὐρανούς, [para]καὶ τὴν θείαν καὶ φαιδρὰν ἀνάληψιν αὐτοῦ [para]δι’ ἀγγέλων ἀγαθῶν ἐδήλωσεν ἡμῖν· [para]‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 16 Νευρωθῶμεν οὖν ἡμεῖς κατὰ τῶν πλάνων, ὁπλισθῶμεν ὁμαδὸν τοῖς συκοφάνταις· [para]πάντες κοπιάσωμεν, ἐπιμόνως παλαίσωμεν ἕως ἂν αὐτοὺς ῥήξωμεν· εἰπῶμεν παρρησίᾳ πρὸς τοὺς τῆς ἀπωλείας· ‘Ποῦ ἐστιν, ὃν ἐν τάφῳ εἴχετε νεκρόν; Ποῦ πέλει ἐκεῖνος ὃν στρατιῶται ἐτήρουν καὶ αἱ σφραγῖδες ὑμῶν ἐφρούρουν; Πῶς ἀπεκλάπη; ποῦ ἀνελήφθη; Τίς τοῦτον ἀπεσύλησεν; τίς δὲ αὐτὸν ἐβάστασεν;

book 16 Ἐκλάπη ἐκ τοῦ μνήματος; Πῶς νῦν τοῦ στερεώματος ἀπέστειλε πρὸς ἡμᾶς καὶ ἐδήλωσεν ἡμῖν· Μὴ πτοῆσθε αὐτούς, οὐ νικήσουσιν ὑμᾶς· ὡς γὰρ εἶπον ὑμῖν, οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘»

book 17 Οἱ τοῦ ῥύστου μαθηταὶ οὕτω φρονοῦντες, τοῦ Χριστοῦ τε καὶ Θεοῦ ἀναληφθέντος, [para]τότε καταβαίνουσιν ἐκ τοῦ ὄρους γηθόμενοι ἅμα καὶ ἀγαλλόμενοι· καὶ φθάσαντες τὰ κάτω, ὡς ἡ γραφὴ διδάσκει, κύψαντες προσκυνοῦσι τῷ ἄνω Θεῷ, καὶ πλήρεις ἐπαίνων φωνὰς ἀφῆκαν τῷ ὄρει ὡς εὐφημοῦντες τὸν ἐλαιῶνα ὅτι τοσούτων κατηξιώθη, «Τὸ ὄρος τὸ Σινάτιον, λέγοντες, ὑπερέβαλες·

book 17 ἐκεῖνο γὰρ ἐδέξατο τὰ τοῦ Μωσέως βήματα, σὺ δὲ αὐτοῦ τοῦ Θεοῦ· [para]ἐν ἐκείνῳ νόμος ἦν, ἡ χάρις δὲ ἐν σοὶ [para]ἡ καὶ πλάσασα Μωσῆν καὶ λέξασα ἡμῖν· ‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ’ ὑμῶν καὶ οὐδεὶς καθ’ ὑμῶν.‘

book 18 Ὑπεράνω εἶ λοιπὸν καὶ τοῦ Λιβάνου, Θαβὼρ καὶ Ἑρμονιεὶμ σοὶ ἐλαττοῦνται, [para]ὅτι οὐκ ἐποίησεν ἐν αὐτοῖς ὁ φιλάνθρωπος ἅπερ ἐν σοὶ ἐποίησεν.» Τοιαῦτα οὖν εἰπόντες οἱ μαθηταὶ τοῦ πλάστου ἔστησαν μέχρι τούτου τοὺς λόγους αὐτῶν, καὶ ἄραντες ἄνω τοὺς ὀφθαλμοὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰς χεῖρας ἐξιλεοῦντο τὸν βασιλέα τῶν οὐρανίων καὶ ἐπιγείων βοῶντες. «Ἀναμάρτητε, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ δι' ἡμῶν τῷ κόσμῳ σου πρεσβείαις τῆς τεκούσης σε· οὐ στέγει γὰρ ὁ ἐχθρὸς [para]κατιδεῖν τὰ ὑφ' ἡμῶν γινόμενα καλά· [para]ἀλλὰ σόβησον αὐτὸν ἀφ' ἡμῶν ὁ εἰπών·

book 18 ‘Οὐ χωρίζομαι ὑμῶν· ἐγώ εἰμι μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν.‘»

book pro Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, [para]διεμέριζεν ἔθνη ὁ ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, [para]εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον πνεῦμα.

book 1 Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιᾶσθαι τὰ πνεύματα ἡμῶν· μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσιν, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον· ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ· ὥσπερ τοῖς ἀποστόλοις σου πάντοτε συνῆς, [para]οὕτω καὶ τοῖς σε ποθοῦσιν ἕνωσον σαυτόν, οἰκτίρμων, ἵνα συνημμένοι σοι ὑμνέομεν καὶ δοξολογοῦμεν τὸ πανάγιον πνεῦμα.

book 2 Οὐκ ἐχωρίσθης, σωτήρ, ἀπὸ τῶν μαθητῶν σου ὁδεύσας εἰς οὐρανούς· καὶ φθάσας γὰρ τὰ ἄνω τὰ κάτω συνέχεις, οὐδὲ εἷς γὰρ τόπος δίχα σου, ἀχώρητε· κἂν γὰρ γένηται, ἀπόλλυται καὶ ἀφανίζεται καὶ ὡς Σόδομα γίνεται· σὺ γὰρ ἱστᾷς τὰ σύμπαντα, πάντα πληρῶν· σὲ οὖν καὶ οἱ ἀπόστολοι εἶχον ἐν ψυχαῖς· [para]διὸ ἐκ τοῦ ἐλαιῶνος σοῦ ἀναληφθέντος τότε κατῆλθον χορεύοντες καὶ ψάλλοντες καὶ δοξολογοῦντες τὸ πανάγιον πνεῦμα.

book 3 Ὑπέστρεψαν ἐν χαρᾷ ἀπὸ τοῦ ἐλαιῶνος οἱ ἕνδεκα μαθηταί· [para]Λουκᾶς γὰρ τοῦτο γράφει ὁ ἱεροφάντης ὅτι εἰς Ἱεροσόλυμα ἀνέλυσαν, [para]ὑπερῴῳ δὲ ἀνέβησαν ἔνθα κατέμενον καὶ ἐμβάντες ἐκάθισαν Πέτρος καὶ οἱ ἐπίλοιποι τῶν μαθητῶν, ὧν ὁ Κηφᾶς ὡς ἔξαρχος εἶπε πρὸς αὐτούς· «Μερισταὶ τῆς βασιλείας, ἄνω σχῶμεν τὰς καρδίας [para]πρὸς τὸν ὑποσχόμενον καὶ λέξαντα· ‘Ἐγὼ ὑμῖν πέμψω τὸ πανάγιον πνεῦμα.‘»

book 4 Τοιαῦτα τότε εἰπὼν Πέτρος τοῖς ἀποστόλοις διήγειρεν εἰς εὐχήν, καὶ στὰς ἐν μέσῳ τούτων ἐβόησε λέγων· «Δεηθῶμεν, γόνυ κλίνωμεν, αἰτήσωμεν, ἐκκλησίαν τὸ δωμάτιον τοῦτο ποιήσωμεν· καὶ γὰρ ἔστι καὶ γίνεται· κλαύσωμεν καὶ κραυγάσωμεν πρὸς τὸν Θεόν· ‘Πέμψον ἡμῖν τὸ πνεῦμά σου τὸ ἀγαθὸν [para]ἵν' ὁδηγήσῃ τοὺς πάντας εἰς τὴν γῆν σου τὴν εὐθεῖαν ἣν σὺ προητοίμασας τοῖς σέβουσι καὶ δοξολογοῦσι τὸ πανάγιον πνεῦμα.‘»

book 5 Ἀκούσαντες οὖν εὐθὺς οἱ μετ' αὐτοῦ κληθέντες συνήθροισαν ἑαυτοὺς ὡς πρὸς ποιμένα ἄρνες τῷ λόγῳ θελχθέντες, καὶ σιγῶντες ὑπηγόρευον ἃ ηὔχοντο καὶ δεήσεις ἐπανέτεινον τῷ παντοκράτορι περιεχούσας ταῦτα· «Τῷ τῶν ἀγγέλων πρύτανι καὶ βασιλεῖ, τῷ τῶν ἀνθρώπων ἄνακτι καὶ δημιουργῷ, [para]τῷ τὰ ἐν γῇ καὶ θαλάσσῃ μόνῳ νεύματι κρατοῦντι, οἱ φίλοι καὶ δοῦλοί σου βοῶσί σοι· ‘Ταχὺ ἡμῖν πέμψον τὸ πανάγιον πνεῦμα.‘»

book 6 Πληρώσαντες οὖν εὐθὺς τὰς ἑαυτῶν δεήσεις ὑπέγραψαν ἐν αὐταῖς σφραγίσαντες τῇ πίστει καὶ πέμψαντες ἄνω· ἃς ἀνέγνω ὁ διδάσκαλος καὶ ἔφησεν· «Αὐτεξούσιε Παράκλητε, μὴ κελευόμενος, ἀλλ' ὡς θέλεις κατάβηθι· σὲ γὰρ λοιπὸν ἐκδέχονται οἱ μαθηταὶ οὕσπερ ἐγὼ συνήγαγον σοὶ καὶ τῷ πατρί, [para]οὓς ἐξεπαίδευσα λέγων· ‘Μαθητεύσατε τὰ ἔθνη πατέρα κηρύττοντες καὶ σέβοντες υἱὸν καὶ ὑμνοῦντες τὸ πανάγιον πνεῦμα.‘»

book 7 Ἐπήκουσεν ὁ Θεὸς ὁ Παράκλητος τότε τῶν δεομένων αὐτοῦ, καὶ δὴ καταλαμβάνει τούτους εὐχομένους, οὐδαμόθεν μεθιστάμενος ὁ ἄφραστος· οὐ γὰρ γέγονε κατάβασις ἡ συγκατάβασις, οὐδ' ὑπέμεινε μείωσιν· ἄνω γὰρ ἦν καὶ κάτω ἦν καὶ πανταχοῦ· θεία γὰρ φύσις ἄφραστος καὶ ἀναφής· [para]τοῖς ὀφθαλμοῖς οὐχ ὁρᾶται, πίστει δὲ κατανοεῖται· χερσὶν οὐ κατέχεται, καρδίαις δὲ πιστῶν ψηλαφᾶται τὸ πανάγιον πνεῦμα.

book 8

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἰστήκεισαν ὁμαδόν, συμπληρουμένης τότε τῆς θείας πεντηκοστῆς, εὐχαῖς προσκαρτεροῦντες οἱ ἕνδεκα μύσται· καὶ ὡς λέγει τὸ ἀνάγνωσμα τῶν πράξεων, ὡς πνοῆς βιαίας ἄθροον ἦχος ἐγένετο οὐρανόθεν κτυπούμενος· ὅλον δὲ τὸ δωμάτιον ἔπλησε πυρός, μᾶλλον δὲ καὶ κατέπληξεν τοὺς ἀγαπητούς· [para]διὸ ὡς σκάφος τὸν οἶκον σαλευόμενον ὁρῶντες ἐβόων· «Ὦ δέσποτα, κατάπαυσον τὴν ζάλην καὶ πέμψον τὸ πανάγιον πνεῦμα.»

book 9 Νομίσαντες οἱ σοφοὶ ὅλον τὸ ὑπερῷον χαοῦσθαι ἐκ τῆς πνοῆς, συνέστειλαν ἐν φόβῳ τὰ ὄμματα πάντες. Καὶ ἰδοὺ γέγονεν ἕτερον φρικτότερον, καὶ τῷ πρώτῳ φόβῳ δεύτερον τρόμον ἐπήγαγε τὰ ἐπάλληλα θαύματα· γλῶσσαι γὰρ πάλιν πύριναι ἥπτοντο αὐτῶν καὶ ἐπὶ κάραις ἤρχοντο τῶν ἀγαπητῶν, [para]καὶ οὐ παρέφλεγον τρίχας, ἀλλ’ ἐφώτιζον τὰς φρένας· καὶ γὰρ καθαρίζοντας καὶ νίζοντας προέπεμπε ταύτας τὸ πανάγιον πνεῦμα.

book 10 Ὁ Πέτρος δὲ κατιδὼν τὰ γεγονότα πάντα ἐβόησεν· «Ἀδελφοί, τιμῶμεν ἃ ὁρῶμεν, μὴ ἐξερευνῶμεν· μήτις εἴπῃ· ‘Τοῦτο τί ἐστι τ<u>ὸ</u> <u>ὁ</u>ρώμενον;‘ Ὑπερβαίνει γὰρ διάνοιαν τὸ ἐκτελούμενον καὶ νικᾷ τὴν ἐνθύμησιν· πνεῦμα καὶ πῦρ συνέζευκται, θαῦμα πιστόν· αὔρα καὶ φλὸξ συνήρμοσται, θέαμα φρικτόν· μετὰ ἀνέμων λαμπάδες, μετὰ δρόσων δὲ σπινθῆρες· [para]τίς εἶδε; τίς ἤκουσε; τίς δύναται εἰπεῖν ὃ ὑπάρχει τὸ πανάγιον πνεῦμα;

book 11 Ὑμεῖς οὖν, ἀγαπητοί, στῆτε καὶ καθορᾶτε ἀπεριέργως τὸ πῦρ ὃ ἔπεμψεν ἐξ ὕψους ὁ ὢν ἐν τῷ ὕψει· μὴ φοβεῖσθε· οὐ γὰρ φλέγουσιν οἱ ἄνθρακες· μὴ θαμβεῖσθε, ὅτι ἄκαυστον τοῦτο τὸ πῦρ ἐστιν· ἀλλ’ ὡς φρόνιμοι μνήσθητε πῶς πάλαι πῦρ ἐδέξατο παῖδας τοὺς τρεῖς, πῶς οὐκ ἐκαύθη σώματα τούτων οὐδὲ θρίξ, [para]πῶς ἡ τοὺς τρεῖς δεξαμένη τέσσαρας αὐτοὺς ἐδείκνυ· σὺν τόκῳ γὰρ ἔδωκεν οὓς ἔλαβεν, ὅτι ἐφοβεῖτο τὸ πανάγιον πνεῦμα.

book 12 Ῥιψάτω οὖν, ἀδελφοί, ὁ καθεὶς ἡμῶν ἄρτι τὸν φόβον ἐκ τῆς ψυχῆς καὶ πόθον ἐνδειξάτω τῷ ἀναληφθέντι, ὅτι οὕτως οὓς ἐκάλεσεν ἠγάπησεν, ὅτι πάντα ἅπερ πρόειπεν νῦν ἐξεπλήρωσεν καὶ ὡς εἶπεν ἐποίησεν. Τί δειλιῶμεν ἄφλεκτον φλόγα λοιπόν; Ῥόδα τὸ πῦρ νομίσωμεν, ὅπερ καὶ ἐστίν· [para]ἐπὶ τὰς κάρας γὰρ ἡμῶν ὥσπερ ἄνθη ἐπετέθη ἐν οἷς ἐστεφάνωσεν, ἐκόσμησεν, ἐλάμπρυνεν ἡμᾶς τὸ πανάγιον πνεῦμα.

book 13 Ὡς εἶπε ταῦτα Κηφᾶς πᾶσι τοῖς ἀποστόλοις, ἡσύχασε μετ’ αὐτῶν καὶ δέχεται σὺν τούτοις τὸ ἅγιον πνεῦμα· ἐληλύθει γὰρ μετέπειτα, ὡς γέγραπται· ὡς προδρόμοις ἦν χρησάμενον δύο τοῖς θαύμασι, τοῦ πυρὸς καὶ τοῦ πνεύματος· ἔδει γὰρ πρὸ τοῦ πνεύματος θαῦμα προδραμεῖν, ἔδει πρὸ τοῦ φωτίζοντος φλόγα προελθεῖν [para]καὶ προμηνῦσαι τῷ κόσμῳ ὥσπερ σάλπιγγες ἠχοῦσαι ὅτι ὡς ἐπίσταται, ὡς βούλεται, τῇ γῇ ἐπιβαίνει τὸ πανάγιον πνεῦμα.

book 14 Μεγάλα ἦν καὶ φρικτὰ τὰ γεγονότα πάντα, καὶ φρένας πάντων ἱστᾷ· πλησθέντες γὰρ ἐξαίφνης τοῦ πνεύματος πάντες προσωμίλουν τοῖς ἀκούουσιν ὡς ἤκουον, τοῖς Ῥωμαίοις οὐχ ὡς βάρβαροι, Πάρθοις ὡς ὅμοιοι καὶ τοῖς Μήδοις ὡς ἴδιοι· τοῖς Ἐλαμίταις εὔλαλοι ὤφθησαν τρανῶς, τοῖς Ἀραβίοις γνώριμοι γέγοναν εὐθύς, Ἀσιανοῖς καὶ Φρυγίοις εὔδηλοι καὶ τρανόλαλοι, [para]καὶ πᾶσι τοῖς ἔθνεσιν ἐφθέγγοντο ὡς τούτοις ἐδίδου τὸ πανάγιον πνεῦμα.

book 15 Ἀλλ’ ὅτε εἶδον αὐτοὺς γλώσσαις λαλοῦντας πᾶσιν οἱ πανταχόθεν ἐκεῖ, ἐξίσταντο βοῶντες· «Τί βούλεται τοῦτο; Γαλιλαῖοι οἱ ἀπόστολοι ὑπάρχουσιν, καὶ πῶς ἄρτι, καθὼς βλέπομεν, πᾶσι τοῖς ἔθνεσι πατριῶται γεγόνασιν; Πότε κατεῖδεν Αἴγυπτον Πέτρος ὁ Κηφᾶς; Πότε Ἀνδρέας ᾤκησε μέσην ποταμῶν; [para]Οἱ υἱοὶ τοῦ Ζεβεδαίου πόθεν εἶδον Παμφυλίαν; Πῶς ταῦτα γνωρίσωμεν; Πῶς εἴπωμεν; Ἦ πάντως ὡς θέλει τὸ πανάγιον πνεῦμα.»

book 16 Νῦν γέγοναν σοφισταὶ οἱ ἀγρευταὶ τὸ πρώην· νῦν ῥήτορες καὶ τρανοὶ οἱ πρὶν κατὰ τὰς ὄχθας τῶν λίμνων ἑστῶτες· οἱ τὸ πρῶτον καταρράπτοντες τὰ δίκτυα νῦν πλοκὰς ῥητόρων λύουσιν καὶ εὐτελίζουσιν ἁπλουστέρῳ τῷ ῥήματι· ἕνα γὰρ λόγον λέγουσιν ἀντὶ πολλῶν, ἕνα θεὸν

κηρύττουσιν οὐ μετὰ πολλῶν· [para]τὸ ἓν ὡς ἓν προσκυνοῦσιν, ἀκατάληπτον πατέρα, υἱὸν ὁμοούσιον, ἀμέριστον καὶ ὅμοιον τούτοις τὸ πανάγιον πνεῦμα.

book 17 Οὐκοῦν ἐδόθη αὐτοῖς πάντων περιγενέσθαι δι' ὧν λαλοῦσι γλωσσῶν; Καὶ τί φιλονεικοῦσιν οἱ ἔξω ληροῦντες; Τί φυσῶσι καὶ βομβεύουσιν οἱ Ἕλληνες; Τί φαντάζονται πρὸς Ἄρατον τὸν τρισκατάρατον; Τί πλανῶνται πρὸς Πλάτωνα; Τί Δημοσθένην στέργουσι τὸν ἀσθενῆ; Τί μὴ νοοῦσιν Ὅμηρον ὄνειρον ἀργόν; [para]Τί Πυθαγόραν θρυλλοῦσι τὸν δικαίως φιμωθέντα; Τί δὲ μὴ προστρέχουσι πιστεύοντες οἷς ἐνεφανίσθη τὸ πανάγιον πνεῦμα;

book 18 Ὑμνήσωμεν, ἀδελφοί, τῶν μαθητῶν τὰς γλώσσας, ὅτι οὐ λόγῳ κομψῷ, ἀλλ' ἐν δυνάμει θείᾳ ἐζώγρησαν πάντας, ὅτι ἦραν τὸν σταυρὸν αὐτοῦ ὡς κάλαμον, ὅτι ῥήμασιν ὡς νήμασιν πάλιν ἐχρήσαντο καὶ τὸν κόσμον ἡλίευσαν, ὅτι τὸν λόγον ἄγκιστρον ἔσχον ὀξύ, ὅτι καθάπερ δέλεαρ γέγονεν αὐτοῖς [para]ἡ σὰρξ τοῦ πάντων δεσπότου, οὐ πρὸς θάνατον θηρῶσα, ἀλλ' εἰς ζωὴν ἕλκουσα τοὺς σέβοντας καὶ δοξολογοῦντας τὸ πανάγιον πνεῦμα.

book pro Ὅταν ἔλθῃς, ὁ Θεός, ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα, [para]ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ βήματος ἕλκει, καὶ βίβλοι διανοίγονται καὶ τὰ κρυπτὰ δημοσιεύονται, τότε ῥῦσαί με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ ἀξίωσον ἐκ δεξιῶν σού με στῆναι, κριτὰ δικαιότατε.

book 1 Τὸ φοβερόν σου κριτήριον ἐνθυμούμενος, ὑπεράγαθε κύριε, καὶ τὴν ἡμέραν τῆς κρίσεως, [para]φρίττω καὶ πτοοῦμαι ὑπὸ τῆς συνειδήσεως τῆς ἐμῆς ἐλεγχόμενος. Ὅταν μέλλῃς καθέζεσθαι ἐπὶ τοῦ θρόνου σου καὶ ποιεῖν τὴν ἐξέτασιν, τότε ἀρνεῖσθαι τὰς ἁμαρτίας οὐδεὶς οὐκ ἐξισχύσει, ἀληθείας ἐλεγχούσης καὶ δειλίας κατεχούσης. Μέγα μὲν ἠχήσει πῦρ τὸ τῆς γεέννης· ἁμαρτωλοὶ δὲ βρύξουσι· διό με ἐλέησον πρὸ τέλους καὶ φεῖσαί μου, κριτὰ δικαιότατε.

book 2 Ὅτε τὸ πρῶτον ἐλήλυθε καὶ ἐπέφανε τοῖς ἀνθρώποις ὁ κύριος μὴ χωρισθεὶς τοῦ γεννήτορος, [para]ἔλαθε τὰς ἄνω ἐξουσίας καὶ δυνάμεις καὶ ἀγγέλων τὰ τάγματα, καὶ ἐγένετο ἄνθρωπος ὥσπερ ἠθέλησεν ὁ ποιήσας τὸν ἄνθρωπον, καὶ ἀνελήφθη πρὸς τὸν πατέρα ὁ τοῦτον οὐκ ἐάσας. Ἀνερμήνευτόν σού ἐστι τὸ μυστήριον, σωτήρ μου· οὐδὲ γὰρ ἀπέστης ὅλως τοῦ πατρός σου καὶ τὸν πατέρα ἔφθασας, ὁ τούτου ἀχώριστος πληρῶν καὶ τὰ σύμπαντα, κριτὰ δικαιότατε.

book 3 Ὑπὸ ἀγγέλων ὑμνούμενος ἀνελήλυθε μετὰ δόξης ὁ κύριος, βλεπόντων τῶν μαθητῶν αὐτοῦ· [para]οὕτω προτρεχόντων τῶν ἀγγέλων ἐλεύσεται φανερῶς, καθὼς γέγραπται· ὅτε καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια ἅμα τὰ καταχθόνια δοξολογήσει καὶ προσκυνήσει Χριστὸν τὸν σταυρωθέντα καὶ σαφῶς ὁμολογήσει ὡς θεός ἐστι καὶ κτίστης, τότε Ἰουδαῖοι ὄψονται θρηνοῦντες εἰς ὅνπερ ἐξεκέντησαν· οἱ δίκαιοι δὲ λάμψουσι κραυγάζοντες· «Δόξα σοι, κριτὰ δικαιότατε.»

book 4 Τῆς μὲν προτέρας ἐλεύσεως τοῦ Θεοῦ ἡμῶν Ἰωάννης προέδραμεν κηρύττων πᾶσι μετάνοιαν· [para]πρόδρομος Ἠλίας τῆς δευτέρας γενήσεται παρουσίας ὁ δίκαιος. Μαλαχίας προφήτης αὐτὸν προεκήρυξε λέγων· «Ἀποσταλήσεται πρὸ τῆς ἡμέρας τῆς τοῦ κυρίου Ἠλίας ὁ Θεσβίτης·» καὶ Ματθαῖος δὲ συγγράφει πῶς ἐδίδασκες, σωτήρ μου, περὶ Ἰωάννου, «Οὗτός ἐστι, λέγων, ἂν θέλετε προσδέξασθαι, ὁ μέλλων ἐλεύσεσθαι Ἠλίας» κηρύττων σε, κριτὰ δικαιότατε.

book 5 Ἄλλα μεγάλα καὶ ἀπόρρητα παραδέδωκε καὶ σαφῶς ἐξεδίδαξεν εἰς τὴν αὐτοῦ Ἀποκάλυψιν [para]καὶ ὁ θεολόγος Ἰωάννης καὶ ἔδειξεν ὡς Ἠλίας ἐλεύσεται· σὺν αὐτῷ δὲ ὑπέφηνεν ὡς παραγίνεται καὶ Ἐνὼχ ὁ μακάριος, «τοὺς δύο, λέγων, ἐξαποστείλω προφήτας ἐν τῷ κόσμῳ· περιβάλωνται δὲ σάκκους καὶ κηρύξωσί με πᾶσι.» Τούτους δὲ χιλίας καὶ διακοσίας ἑξήκοντα διέγραψεν ἡμέρας προτρέχειν σοι πρὸ τῆς παρουσίας σου, κριτὰ δικαιότατε.

book 6 Πάντα σαφῶς προεμήνυσε τὰ ἐσόμενα Δανιὴλ ὁ θεσπέσιος, ἂν ἀκριβῶς ἐρευνήσωμεν, [para]«μίαν ἑβδομάδα, λέγων, θήσω διαθήκην», καὶ εὐθέως ἐπήγαγεν· «Εἰς τὸ ἥμισυ τῆς ἑβδομάδος ἀρθήσεται τῆς λατρείας τὸ καύχημα·» καὶ ἑρμηνεύει ὡς τρία ἔτη καὶ ἥμισυ κηρύξει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ δυὰς ἡ τῶν ἁγίων τὴν δευτέραν παρουσίαν· ἄλλον δὲ τοσοῦτον χρόνον κυριεύσει ὁ ἄδικος Ἀντίχριστος δεινῶς τιμωρούμενος τοὺς σὲ περιμένοντας, κριτὰ δικαιότατε.

book 7 Εὕρῃ δὲ ῥίζαν πικραίνουσαν ὁ Ἀντίχριστος καὶ ἐκ ταύτης τεχθήσεται, τὴν τοῦ Χριστοῦ ἐνανθρώπησιν [para]θέλων ἐκμιμεῖσθαι ὁ δεινὸς καὶ παμμίαρος, ὁ μισῶν τὴν ἀλήθειαν. Τῆς αὐτοῦ πονηρίας ἐπάξιον ὄργανον ἀναλήψεται σώματος· ἐκ γυναικὸς μὲν ταῖς φαντασίαις γεννᾶται ἀκαθάρτου· ἐκπλανήσει δὲ ἀνόμους ὡς παρθένος αὐτὸν τίκτει· τέρατα ποιήσει διὰ φαντασίας ὁ ψεύστης καὶ ἀνόσιος ὃν στέρξουσιν ἄνομοι, καὶ σὲ ἀπαρνήσονται, κριτὰ δικαιότατε.

book 8 Ἵνα δὲ οὕτως ὀφθήσεται ὁ κατάρατος καὶ ἀλάστωρ διάβολος, ὁ τοῖς καλοῖς ἀντικείμενος, [para]ὁ τῆς ἀπωλείας υἱὸς ἐπαιρόμενος ὡς θεὸς προσκυνούμενος παρὰ τῶν πλανηθέντων τοῖς τούτου φαντάσμασιν, παρ’ αὐτῶν καὶ δεχθήσεται τῶν τὴν ἀγάπην τῆς ἀληθείας Χριστοῦ μὴ δεξαμένων, ἀλλὰ μᾶλλον πιστευσάντων ἐν τῷ ψεύδει τῷ τοῦ πλάνου· λόγους δὲ λαλήσει κατὰ τοῦ ὑψίστου ὁ δράκων ὁ ἀνήμερος, καὶ πᾶσιν ἐπέρχεται τοῖς σὲ περιμένουσιν, κριτὰ δικαιότατε.

book 9 Ναὸν δὲ τότε ποιήσεται περιούσιον τῶν Ἑβραίων τὸ σύστημα πλανῶν καὶ ἄλλους ὁ ἄνομος, [para]ὅταν πεπλασμένας φαντασίας ἐργάσηται καὶ σημεῖα ὁ τύραννος· ἐκ μορφῆς εἰς ἑτέραν μορφὴν μεταβάλλεται, εἰς ἀέρα διίπταται καὶ σχηματίζει ὥσπερ ἀγγέλους τοὺς δαίμονας πανούργως τοῖς αὐτοῦ ὑπηρετεῖσθαι ἐπιτάγμασι σπουδαίως. Θλῖψις καὶ ἀνάγκη ἔσται τοῖς ἀνθρώποις μεγάλη τε καὶ ἄμετρος, δι’ ἧς δοκιμάζονται οἱ δοῦλοί σου ἅπαντες, κριτὰ δικαίοτατε.

book 10 Ὁ μὲν λιμὸς μέγας γενήσεται, καὶ ἀρνήσεται καὶ ἡ γῆ τοὺς καρποὺς αὐτῆς, καὶ ὄμβροι ὅλως οὐκ ἔσονται· [para]πάντα τὰ φυτὰ δὲ μαρανθήσεται ἄθροον καὶ βοτάναι ξηραίνονται. Ἀπὸ τόπου εἰς τόπον οἱ ἄνθρωποι φεύξονται καὶ θρηνήσουσιν ἄπαυστα· ὁ διωγμὸς δὲ ἐπικρατήσει ὁ κατὰ τῶν ἁγίων, καὶ ἐν ὄρεσιν ἐρήμοις καὶ βουνοῖς καὶ τοῖς σπηλαίοις γίνονται φυγάδες φόβῳ τοῦ τυράννου, τὸν δράκοντα ἐκκλίνοντες, βοῶντες· «Ἐπίβλεψον καὶ σῶσον τοὺς δούλους σου, κριτὰ δικαιότατε.»

book 11 Ὑπὸ πολλῆς δολιότητος ὁ παγκάκιστος ὥσπερ πρᾶος ἐλεύσεται, ὡς ὁ ποιμὴν ὁ καλὸς ἡμῶν· [para]τούτου γὰρ μιμεῖται τὴν φωνὴν καὶ προτρέπεται ἐκ τῆς μάνδρας τὰ πρόβατα· καὶ πολλοὶ ὑπακούσονται καὶ ἀπελεύσονται πρὸς αὐτὸν ἀπατώμενοι, καὶ τὴν σφραγῖδα τὴν τοῦ σωτῆρος ἐκ τούτων ἀφαιρεῖται καὶ σφραγῖδα ἀπωλείας ὡς ἰδίοις ἐγχαράττει· ὅσοι δὲ νοοῦσι τούτου τὴν ἀπάτην μισοῦσι καὶ βδελύσσονται αὐτὴν τὴν φωνὴν αὐτοῦ καὶ μόνον σὲ στέργουσι, κριτὰ δικαιότατε.

book 12 Ῥοιζοῦται τότε ὁ δόλιος καὶ παγκάκιστος δυσμενῶς ὀργιζόμενος, καὶ ὥσπερ δράκων ἀνήμερος [para]πᾶσι τοῖς ἀνθρώποις ὡς ἐχθρὸς ἐπελεύσεται, τοῖς ἁγίοις δὲ μάλιστα· καὶ προβάλλεται τὸν κεκρυμμένον ἰὸν αὐτοῦ κατὰ πάντων ὁ ἄσπλαγχνος· κινήσει φόβον καὶ φαντασίας καὶ κτύπους ἐν ἀέρι ἐμποιοῦντας φρίκην πᾶσαν καὶ δειλίαν τοῖς ἀνθρώποις· σείεται τὰ πάντα γῆς καὶ τῆς θαλάσσης· τὰ ἅγια ἀρθήσεται· διόπερ οἱ δίκαιοι· «Ἐμφάνηθι, κράζουσι, κριτὰ δικαιότατε.»

book 13 Ὥστε καὶ πάντες θανήσονται διωκόμενοι οἱ Χριστὸν ἀναμένοντες· ψαλμοὶ καὶ ὕμνοι παυθήσονται, [para]οὐδὲ λειτουργία, οὐχ ἁγίασμα ἔσεται, προσφορὰ ἢ θυμίαμα· ἐπὶ τρεῖς γὰρ καὶ ἥμισυ χρόνους ἀρθήσεται ἡ θυσία, ὡς γέγραπται. Σεισμοὶ καὶ θνήσεις καὶ πᾶσα θλῖψις κρατήσει ἐν τῷ κόσμῳ, καὶ ἐκλείψουσι παιδία ἐν τοῖς κόλποις τῶν μητέρων· θνήσκει γὰρ καὶ μήτηρ καὶ πρὸ τοῦ παιδίου· ἐν ἀγορᾷ τὰ λείψανα ὁ θάπτων οὐ φαίνεται· ἐγείρεις δὲ ἅπαντας, κριτὰ δικαιότατε.

book 14 Μία δὲ πόλις ἢ ἔρημος οὐκ ἰσχύσουσι περισώζειν τοὺς φεύγοντας· συνέχει πένθος τὰ πέρατα· [para]πάντες μετ’ ὀδύνης ἐν ἡμέρᾳ προσεύξονται, ἵν’ ἑσπέρα γενήσεται· ἐπελθούσης δὲ πάλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νυκτός, ἵνα ἴδωσι τὴν ἡμέραν προσεύξονται· μακαριοῦσι τοὺς ἐν τοῖς τάφοις δακρύοντες οἱ ζῶντες, καὶ πατὴρ μὲν συναντήσας περιπλέκεται τῷ τέκνῳ, καὶ περιπλακέντες θνήξουσιν οἱ δύο· πεσοῦνται οἱ ἱστάμενοι, μακάριος ἔσται δὲ ὁ φέρων καὶ στέργων σε, κριτὰ δικαιότατε.

book 15 Ἅμα τὴν θλῖψιν τὴν ἄφατον ἣν ἐνδείκνυται ὁ πικρὸς ἀλιτήριος, πληροῦνται τότε τὰ σκάνδαλα, [para]ὅτι ὁ δεσπότης διὰ τοὺς ἐκλεκτοὺς αὐτοῦ κολοβώσει, ὡς γέγραπται, τὰς ἡμέρας τῆς θλίψεως περιφειδόμενος τῶν ἰδίων ὡς εὔσπλαγχνος. Καὶ λοιπὸν ἥξει ἐκ τῶν ὑψίστων ὡς ἥλιος ἀστράπτων ἐν νεφέλαις μετὰ δόξης ὡς Θεὸς σεσαρκωμένος, ὥσπερ καὶ ἀνῆλθε πάντων βασιλεύων ὁ ἅγιος καὶ ἄχραντος, ὃν τρέμουσιν ἄγγελοι κραυγάζοντες· «Δόξα σοι, κριτὰ δικαιότατε.»

book 16 Νυμφίε Θεέ, σωτὴρ ἡμῶν, ἵνα δείξῃς σου τὴν ἀνείκαστον δύναμιν, ἀγγέλων πάντα τὰ τάγματα [para]καὶ τῶν ἀρχαγγέλων ἀνυμνοῦντα προτρέχουσι πρὸ τοῦ θρόνου σου, κύριε· φλὸξ δὲ πέλουσιν οὗτοι πυρὸς κατακαίουσα καὶ τὴν γῆν ἐκκαθαίρουσα· καὶ ποταμὸς δὲ πεπληρωμένος φρικτοῦ πυρὸς προτρέχει· Χερουβὶμ καὶ Σεραφὶμ δὲ μετὰ τρόμου λειτουργοῦσι καὶ δοξολογοῦσι λέγοντες ἀπαύστως τὸν ὕμνον τὸν τρισάγιον· τὰ πρόσωπα κρύπτουσι κραυγάζοντα· «Δόξα σοι, κριτὰ δικαιότατε.»

book 17 Ὅλα τὰ μνήματα σείονται καὶ ἀνοίγονται ἐνηχούσης τῆς σάλπιγγος, καὶ οἱ νεκροὶ ἀναστήσονται· [para]πάντες δὲ οἱ ζῶντες ἁρπαγήσονται ἄθροον, συντελεῖται δὲ ἅπαντα· θεωροῦσι τὸ κάλλος ἐκεῖνο τὸ ἄφραστον τοῦ νυμφίου καὶ τρέμουσιν ἁμαρτωλῶν τε καὶ τῶν δικαίων τὰ γένη καὶ τὰ φῦλα· φοβερὰ ὑπάρχει ὄντως τοῦ Χριστοῦ ἡ παρουσία. Μέγας οὐρανὸς μὲν σχίζεται ἐξαίφνης, ἡ γῆ δὲ ἐναλλάσσεται, καὶ πάντα τὰ ἔθνη σοι ἐξομολογήσονται, κριτὰ δικαιότατε.

book 18 Ὕστερον πάλιν οἱ δίκαιοι θεασάμενοι τοῦ κυρίου τὸ πρόσωπον, ἐν τῷ νυμφῶνι γενόμενοι [para]καὶ ἐν παρρησίᾳ προσκυνοῦντες τὸν ὕψιστον μετ’ ἀγγέλων παρίστανται· τὸν ἀγῶνα τὸν ἴδιον ἕκαστος δίκαιος ἐπιδείξει γηθόμενος, ὅτε τὰ ἔργα γεγυμνωμένα καὶ τετραχηλισμένα φανεροῦνται ἐναντίον τοῦ κριτοῦ καὶ βασιλέως· ὅσοι γὰρ τὴν πίστιν μετὰ καὶ τῶν ἔργων βεβαίαν ἐπιδείξουσι καυχώμενοι κράξουσι· «Τὴν χάριν σου δὸς ἡμῖν, κριτὰ δικαιότατε.»

book 19 Τότε ὁ δόλιος ἄγεται πρὸ τοῦ βήματος ὑπ’ ἀγγέλων δεσμούμενος σὺν πᾶσι τοῖς λειτουργοῖς αὐτοῦ· [para]ἄγονται δὲ ἅμα οἱ αὐτῷ πειθαρχήσαντες καὶ Χριστὸν ἀρνησάμενοι· ὁ ἐχθρὸς καὶ οἱ δαίμονες τούτου βληθήσονται εἰς τὸ πῦρ τὸ αἰώνιον, οἱ ἀσεβοῦντες ἀποκληροῦνται μετὰ τοῦ διαβόλου σὺν αὐτῷ τὰς αἰωνίους ὑπομένοντες κολάσεις· ὅσοι δὲ ἐν νόμῳ ἥμαρτον ἑκόντες ἐννόμως καὶ κριθήσονται. Δικαία ἡ κρίσις σου καὶ ἀπροσωπόληπτος, κριτὰ δικαιότατε.

book 20 Ὅτε δικαίαν ἐξέτασιν πρὸ τοῦ βήματος τοῦ Χριστοῦ ὑπομείνωμεν ἁμαρτωλοί τε καὶ δίκαιοι, [para]τότ’ ἐκ δεξιῶν μὲν οἱ εὐάρεστοι στήσονται ὥσπερ φῶς ἀπαστράπτοντες· τὰ εὐώνυμα λήψονται οἱ ἁμαρτήσαντες μετ’ ὀδύνης καὶ θλίψεως· οὐδὲ γὰρ τόπος ἀπολογίας δοθήσεται ἐκείνοις, ὅτι πάντας διελέγχει τὰ ἑκάστῳ πεπραγμένα. Καὶ γὰρ σωτηρίας πρόξενος ὑπῆρχεν ἡ πρώτη ἐπιφάνεια· ἡ ἄλλη δὲ κρίσεως, ἣν πᾶσιν ἠπείλησας, κριτὰ δικαιότατε.

book 21 Ἔσονται δὲ τότε ἄφθαρτοι καὶ ἀθάνατοι μετ’ ἀνάστασιν ἅπαντες· φθορὰ γὰρ πᾶσα ἐλήλαται· [para]φόβος δὲ οὐκ ἔσται τοῦ λοιποῦ ὡς ἐπέρχεται ἢ τροπὴ ἢ καὶ θάνατος· ἀλλ’ αἰώνιον ἔσται ἀεὶ τὸ πολίτευμα, ἀτελεύτητον, ἄτρεπτον· οἱ ἐν τῷ σκότει τῷ ἐξωτέρῳ βαλλόμενοι δικαίως δι’ αἰῶνος τῇ κολάσει ἀφορίζονται θρηνοῦντες· δίκαιοι δὲ πάλιν ἐν τῇ βασιλείᾳ χαρὰν τὴν ἀνεκλάλητον, ὡς γέγραπται, λήψονται ὑμνοῦντες τὸ κράτος σου, κριτὰ δικαιότατε.

book 22 Ποῖα καὶ πόσα θρηνήσουσιν οἱ κατάκριτοι ἐν τῇ ὥρᾳ τῆς κρίσεως, ὧν εἷς καὶ πρῶτος καθέστηκα, [para]βλέποντες κριτὴν μὲν φοβερὸν προκαθήμενον ἐπὶ θρόνου τὸν ὕψιστον, τῶν δικαίων τε καὶ τῶν ἁγίων τὰ τάγματα ἐν χαρᾷ διαλάμποντα, ἁμαρτωλοὺς δὲ ἐν κατηφείᾳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρίσει αἰωνίᾳ· καὶ μετάνοιαν ματαίαν ἐπιδείξονται βοῶντες· «Εἴθε ἐν τῷ κόσμῳ τὸν τῆς μετανοίας καρπὸν ἐπεδειξάμεθα, καὶ εὕραμεν ἔλεος καὶ χάριν καὶ ἄφεσιν, κριτὰ δικαιότατε.»

book 23 Οὗτος ὁ τρόπος τῆς κρίσεως. Ἀλλὰ φύγωμεν τὴν αἰώνιον κόλασιν· τὰ πρόσκαιρα βδελυξώμεθα, [para]τῶν δὲ αἰωνίων καὶ μελλόντων φροντίσωμεν, ἵνα ἔλεος εὕρωμεν. Μὴ νομίσωμεν ὅτι, ἐπείπερ ἡμάρτομεν, πάντως ἀποβαλλόμεθα· καὶ γὰρ τὸ τραῦμα τῆς ἁμαρτίας φαρμάκῳ μετανοίας ἰατρεύσομεν συντόμως, ἐὰν ἄρα βουληθῶμεν. Νῦν οὖν τοῦ σωτῆρος πάντες δεηθῶμεν βοῶντες· «Δὸς κατάνυξιν τοῖς δούλοις σου, κύριε, ἵν' εὕρωμεν ἄνεσιν, κριτὰ δικαιότατε.»

book 24 Σῶτερ τοῦ κόσμου πανάγιε, ὡς ἐπέφανας καὶ τὴν φύσιν ἀνέστησας κειμένην ἐν παραπτώμασιν, [para]οὕτως ὡς οἰκτίρμων ἀοράτως ἐμφάνηθι καὶ ἐμοί, ἀνεξίκακε· ἐν πολλαῖς ἁμαρτίαις ἐμὲ κατακείμενον ἐξανάστησον, δέομαι, ὅτι ἃ λέγω καὶ συμβουλεύω τοῖς ἄλλοις οὐ φυλάττω· ἀλλά, σὲ καθικετεύω, δὸς καιρόν μοι μετανοίας, καὶ ταῖς ἱκεσίαις τῆς ἀειπαρθένου καὶ θεοτόκου φεῖσαί μου καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, κριτὰ δικαιότατε.

book pro Λαμπάδα ἄσβεστον τὴν ψυχὴν νυμφίῳ δείξωμεν τῷ Χριστῷ· [para]σὺν αὐτῷ εἰσελευσώμεθα· νυμφὼν γὰρ ἀποκλείεται· μὴ ἀπομείνωμεν ἔξω βοῶντες· «Ἄνοιξον».

book 1 Τί ῥαθυμεῖς, ταπεινή μου ψυχή; Τί μεριμνᾷς ἃ οὐ προσήκει καὶ ἀσχολῇ πρὸς πᾶν ἀνωφέλητον [para]τῶν μελλόντων καιρῶν, καὶ κρατεῖς τὸ παρὸν ὡς αἰωνίῳ τούτῳ προσέχουσα; Ἡ ἐσχάτη ἐγγὺς καὶ ἀρχή σοι ἐστὶ τοῦ ἐπιβλέπειν εἰς ματαιότητα· [para]ἀνάνευσον λοιπὸν πρὸς Ἰησοῦν ὡς ἡ συγκύπτουσα· ἐλύθης τῶν δεσμῶν σου, μὴ συγκάμψῃς τὸν νῶτόν σου· γνωμικῆς γὰρ κατοχῆς οὐκ ἔστι λύσις·

book 1 διὸ ἀνάνηψον, γρηγόρησον ὡς ἀπὸ ὕπνου· [para]ὁ νυμφίος ἔρχεται· μὴ ἀπομείνωμεν ἔξω βοῶντες· «Ἄνοιξον».

book 2 Οὕτω ποτὲ καὶ παρθένοι μωραὶ ἔπαθον, ὅτε οὐ συνῆκαν τοῦ νυμφιοῦ τὴν ἄθροον ἔλευσιν· [para]διὰ τοῦτο, ψυχή, ὡς ἡμέρα ἐστίν, ἐπὶ τὸ ἔργον ἡμῶν ἐξέλθωμεν, ὅτι ἔρχεται νὺξ ἥνπερ εἶπεν Χριστός, ἐν ᾗ οὐδεὶς ἰσχύσει ἐργάσασθαι, καὶ μένομεν πτωχοὶ καὶ πένητες· οὐ γὰρ ἐκάμομεν. Πτωχοὺς γὰρ εἰς τὸ μέλλον οὐκ οἰκτείρουσι πλούσιοι· οὐ γὰρ οἴκτειραν μωρὰς σοφαὶ παρθένοι·

book 2 ἐκεῖ ἀνίλεως ἡ κρίσις τῷ μὴ ἐλεοῦντι· [para]ἀλλ' ἐνταῦθα φθάσωμεν τὸν τοῦ εὐσπλάγχνου πυλῶνα βοῶντες· «Ἄνοιξον».

book 3 Ὕπνωσας ὕπνον, ψυχή μου, κενόν· κεῖσαι καὶ ῥέγχεις ἕως πότε; Γρηγόρησον κἂν νῦν πρὸς ὃ βλέπομεν· [para]ἀπειλαὶ ἐπαχθεῖς καὶ σεισμοὶ συνεχεῖς καὶ τῶν πολέμων κτύποι ἐπάλληλοι συνετάραξαν γῆν μετὰ τῶν ἐν αὐτῇ καὶ ἐφυγάδευσαν καὶ τὴν θάλασσαν. [para]Πτοήθητι λοιπὸν ὡς Ἰωνᾶς καὶ ἀφυπνίσθη[τι]· ἠχοῦσι κατὰ κόσμον τῶν σημείων αἱ σάλπιγγες προ[μη]νύουσαι Χριστὸν τοῖς προσδοκῶσιν, ὅτι ἐλεύσεται καὶ ἐνδημήσας ἀποκλείσει τὴν ἁγίαν εἴσοδον 〈–〉 τῶν σημείων 〈–〉 〈«Ἄνοιξον»〉.

book 4 Ταῦτα καὶ νῦν θεωροῦμεν, ψυχή· θύραι εἰσίν, οὐκ ἐπὶ θύραις· ἐπέστη γὰρ καὶ πάρεστιν ἕτοιμα· [para]οὐκ ἐλλείπει οὐδὲν ὧνπερ [εἶ]πε Χριστός, ἀλλ' ὡς προεῖπε πάντα γενήσεται· καὶ λιμοὶ καὶ [λο]ιμοὶ καὶ σεισμοὶ συνεχεῖς, καὶ ἔθνος ἐπὶ ἔθνος ἐγήγερται· [para]τὰ ἔσω φοβερά, τὰ ἔξω δὲ μάχης πεπλήρωνται· οὐκ ἔστι ποῦ σωθῆναι· πανταχοῦ γὰρ ὁ κίνδυνος· οὐδαμοῦ καταφυγή, φυγὴ δὲ πᾶσιν·

book 4 ἡ πύλη κέκλεισται, ἡ εὐσπλαγχνία ἐσφρα[γί]σθη· [para]οὐ γὰρ ἠβουλήθημεν ἔνδοθεν εἶναι, 〈νῦν ἔξω βοῶμεν· «Ἄνοιξον»〉.

book 5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Ἄκ]ουσον ταῦτα καὶ κλαῦσον, ψυχή· στέναξον ἤδη κατὰ γνώμην, πρὶν ἢ φθασθῇς καὶ κλαύσῃς μὴ θέλουσα, ὅτε πᾶσα ἡ γῆ δαπανᾶται πυρὶ [para]καὶ ὁ οὐρανὸς ὡς χάρτης εἱλίσσεται, ὅτε φεύγει βυθὸς καὶ ὁ τούτου πυθμὴν ἀναφανήσεται ὡς οὐδέποτε· [para]φωστῆρες οὐκ εἰσίν· ἀστέρες γὰρ ὡς φύλλα πίπτουσιν. Τοσαύτη ἔσται θλῖψις, ὅτε ταῦτα ἐλεύσεται· σαλευθήσονται τῶν ἄνω αἱ δυνάμεις ἐν φόβῳ κράζουσαι· «Ὅπου 〈ἂν〉 γένηται τὸ πτῶμα, [para]ἀετοὶ συναχθήσονται ἀφέντες ἔξω τοὺς γύπας 〈βοῶντας· Ἄνοιξον»〉.

book 6 Πόσην ὀδύνην ποιεῖ ἡ φωνὴ τοῖς ῥαθυμήσασι καὶ πᾶσιν ἁμαρτωλοῖς, ὧν πρῶτος ἐγώ εἰμι· ἐκριζοῖ γὰρ ἡμᾶς ὡς ποτὲ τὴν συκῆν [para]ἥτις οὐ δέδωκε τὸν καρπὸν αὐτῆς· καὶ γεέννης νομὴ ὡς ἀξίνης τομῇ ἀποτεμνόμενοι γενησόμεθα, [para]ὃν τρόπον Ἰησοῦς ὁ τῶν ψυχῶν κληροῦχος ἔφησε. Ψυχή μου, νεωθῶμεν καὶ ποιήσωμεν γέννημα ἀγαθὸν ὡς ἀγαθοῦ σπορέως σπέρμα, ἵν’ ὅταν ἔρχηται συναγαγεῖν εἰς ἀποθήκας [para]τοὺς καλοὺς καρποὺς αὐτοῦ, μὴ ἀπομείνωμεν ἔξω βοῶντες· «Ἄνοιξον».

book 7 Ἔφθασεν, ἔφθασεν ὁ θερισμός· τῆς συντελείας ἡ δρεπάνη εὐτρέπισται καὶ μᾶλλον ἠκόνισται· [para]τῶν σεισμῶν ὁ αὐχ[μὸς] ὥσπερ καύσων σφοδρὸς ἐπὶ τὴν ἄρουραν περικέχυτ[αι]· οἱ ταχεῖς θερισταὶ πρὸς τὸ ἔργον αὐτῶν τὰ ἐπιτήδεια ἐ[πι]φέρονται, [para]καὶ μένουσιν ἰδεῖν τί ὁ καλὸς γεοῦχος βούλε[ται]. Ψυχή μου, τί τελοῦμεν; Ζιζανίων γὰρ γέμομεν καὶ χωρίζ[ουσιν] ἡμᾶς ἀπὸ τοῦ σίτου, πρὶν συνδεσμήσωσι καὶ παραδώσ[ω]σιν εἰς καῦσιν· [para]δεῦρο λοιπόν, προλάβωμεν διὰ δακρύων καὶ 〈γόων βοῶντες· «Ἄνοιξον»〉.

book 8 Ἴδε, καιρὸς χαλεπὸς ὁ παρών· τί ἀναμένομεν, ψυχή μου; ἡμέρα γὰρ ἐστὶν ἐκδικήσεως· [para]ἐξεκαύθη θυμὸς ἐφ’ ἡμᾶς δι’ ἡμᾶς ὅτι ἡμεῖς αὐτὸν ὑπανήψαμεν· καὶ τὸ μέλλον γὰρ πῦρ ἐξ ἡμῶν καθ’ ἡμῶν, οὐδὲ γὰρ ὕλη ξύλων εὑρίσκεται· [para]οὐ φαίνεται στοιβή, ἀλλ’ ἀμοιβὴ πυροῖ τὴν κάμινον· ἑκάστου ἡ κακία ὡς ἡ βάτος γενήσεται καιομένη καὶ οὐ κατακαιομένη· ἀεὶ γὰρ ἅπτεται καὶ οὐδέποτε δαπανᾶται, [para]εἰ μὴ φθάσῃ δάκρυα τῶν ἀπεντεῦθεν ἐν θλίψει 〈βοώντων· «Ἄνοιξον»〉.

book 9 Νὺξ πρὸ νυκτὸς καὶ πρὸ σκότους ἀχλὺς πάντας κατέλαβεν ἐξαίφνης, καὶ νῦν ἐσμεν ὡς πρὶν 〈οἱ〉 Αἰγύπτιοι ἐν ὀμίχλῃ πληγῶν καὶ θυέλλῃ σεισμῶν [para]καὶ τῶν πολέμων ζόφῳ κρατούμενοι· καὶ οὐ μέχρι αὐτῶν ἐξαρκεῖ ἡ ὀργή· ἡ Ἐρυθρὰ γὰρ πάντας ἐκδέχεται, [para]ἡ γέεννα ἐκεῖ, οὐ πρόσκαιρος, ἀλλ’ εἰς ἀπέραντον. Πολὺ γὰρ παρωργίσθη Ἰησοῦς ὁ σωτὴρ ἡμῶν, ὅτι θαύματα ποιῶν οὐκ ἐπιστεύθη·

book 9 διὸ ἐν μάστιξι τὰς ἀδικίας τῶν ἀπίστων [para]ἀντιεπεσκέψατο, ἵνα κἂν οὕτω πεισθῶμεν 〈βοῶντες· «Ἄνοιξον»〉.

book 10 Ὅσοι οὖν τὸν νοητὸν Φαραὼ καὶ τὴν πικρὰν αὐτοῦ δουλείαν ἐφύγομεν, εἰς τέλος μισήσωμεν· [para]ἐγεννήθημεν νῦν Ἰσραὴλ τοῦ Θεοῦ, μὴ ὑποστρέψωμεν εἰς τὴν Αἴγυπτον· οὐκ εἰς χώραν, φημί, ἥνπερ ἦλθε Χριστός, ἀλλ’ εἰς τὴν τῷ Μωσεῖ μὴ πιστεύσασαν· [para]καρδίαν γὰρ σκληρὰν καὶ ἀπειθῆ νοοῦμεν Αἴγυπτον, καρδίαν πτοουμένην ἐπελθούσης τῆς θλίψεως, ἀπελθούσης δὲ αὐτῆς τραχυνομένην, ἥνπερ ἐσχήκαμεν, καὶ ὅτι ἔχομεν δηλοῦμεν [para]ἀπὸ τῶν καρπῶν ἡμῶν· ἐν ταῖς ἀνάγκαις γὰρ μόνον βοῶμεν· «Ἄνοιξον».

book 11 [Ὕπε]ρθε τῆς κεφαλῆς ἡ πληγή, καὶ ἡ καρδία οὐ λυπεῖται· [ἀλ]γεῖ ἡ σάρξ, καὶ ὁ νοῦς οὐκ αἰσθάνεται· [para]μεμαστίγωται [πᾶ]ς, καὶ οὐδεὶς ἐξ ἡμῶν παρακαλεῖ θερμῶς τὸν μαστί[ζο]ντα. Ὡς ἱμάντα Χριστὸς τὸν σεισμὸν καθ’ ἡμῶν ἀνεκαίνι[σεν], ὅτι ἐζήλωσεν [para]ὁ πρὶν ἐν ἱερῷ φραγέλλιον ποιήσας κύριος· [ἡ]μεῖς δὲ ὡς παιδία ταῖς φρεσὶν ἐγενήθημεν μεριμνῶντες [τὸ] φαγεῖν, πιεῖν καὶ παίζειν· ἐν ἀγοραῖς ἐσμεν καθήμενοι καὶ προσφωνοῦντες· [para]«Εἰ καὶ κρίσις ἔρχεται, τέως τερφθῶμεν, καὶ τότε βοῶμεν·

book 11 ‘Ἄνοιξον’».

book 12 [Ῥῖ]ψον, ψυχή μου, τὸ ῥῆμα χαμαί, πάτει τὸν νοῦν τῶν ἀπειθούντων· ἡ κρίσις γὰρ ἐγγίζει, ὡς γέγραπται· [para]ὁ πατὴρ οὐ κρινεῖ, ἵνα μή τις εἰπῇ ὅτι οἰκτείρει τοὺς ὑϊοὺς αὐτοῦ· ὁ υἱὸς δὲ κρινεῖ καὶ δεικνύει ἡμῖν ἃ δι’ ἡμᾶς ὑπέστη παθήματα, [para]«Ἐμβλέψατε», βοῶν, «[εἰ] χρεωστῶν τοιαῦτα πέπονθα, εἰ ἔσχε τις ἀγάπην κατὰ ταύτην ἣν ἔδειξα, τὴν ψυχήν μου δεδωκὼς ὑπὲρ τῶν φίλων·

book 12 καὶ θανατούμενος τοῖς μαθηταῖς μου διεθέμην [para]καὶ τὰς κλεῖς ἐπίστευσα τῷ Πέτρῳ λέγων· ‘Σὺ ἆρον 〈βοῶντας· Ἄνοιξον‘»〉 .

book 13 [Ὢ] ποταπὸν χαλινὸν καὶ κημὸν οὗτος ὁ λόγος μοι ἐμβάλλει· οὐκ ἔχω γὰρ πρὸς τοῦτόν τι φθέγξασθαι· ἐὰν εἴπω Χριστῷ ὅτι «Θέλημα ἦν [para]καὶ οὐκ ἀνάγκη τοῦ σταυρωθῆναί σε», ἀντεπάγει ἐμοί· «Καὶ γὰρ θέλημα ἦν, ἀλλ’ ὑπὲρ σοῦ ἐγένετο, ἄνθρωπε· [para]αὐτὸς ἦς χρεωστῶν, ἐγὼ δὲ 〈σοὶ〉 οὐκ ἐχρεώστουν.» Ψυχή μου, σκέψαι λόγον, ἵν’ ἐκεῖσε προσάξωμεν τῷ Θεῷ ἵν’ ἐν αὐτῷ δικαιωθῶμεν·

book 13 ἀλλ’ οὐχ εὑρίσκομεν, εἰ μὴ σκεψάμενοι τρωθῶμεν [para]καὶ Χριστῷ βοήσωμεν· «Ὁ πάντας θέλων σωθῆναι, καὶ ἡμῖν ἄνοιξον.»

book 14 Μάθε, ψυχή μου, τὸν νοῦν τοῦ κριτοῦ, τί ἐβουλεύσατο, τί εἶπεν τοῖς μαθηταῖς, ἡνίκα διέθετο· [para]«Μὴ ἐκλίπῃ, φησί, τῶν καρδίων ὑμῶν ἡ προσδοκία τῆς παρουσίας μου· μεθ’ ὑμῶν γάρ εἰμι, ἕως οὗ αἱ σποραὶ αἱ τοῦ αἰῶνος τούτου ἐκλίπωσι· καὶ ἔρχομαι πάλιν ἀπ’ οὐρανῶν μετὰ δυνάμεως.» Εἰς τί οὖν κοπιῶμεν; Διὰ τί δὲ μοχθήσαντες ἐνεβάλομεν οὐδὲν τῷ βαλαντίῳ; Καὶ εἴθε κοῦφον ἦν καὶ μὴ πεπλήρωτο̱ ἀδ̱ικίας· [para]οὐ γὰρ [ἐνε]πόδισε τῇ διανοίᾳ σχολάζειν τοῦ βοᾶν· «Ἄνοιξον».

book 15 Ἄνοιξον, κύριε, ἄνοιξόν μοι τῆς εὐσπλαγχνίας σου τὴν θύραν πρὸ τοῦ καιροῦ τῆς ἀποδημίας μου· [para]ἀπελθεῖν με γὰρ δ[εῖ καὶ] ἐλθεῖν παρὰ σοὶ καὶ περὶ πάντων ἀπολογίσασθαι ὧν ἐν [λό]γοις λαλῶ καὶ ἐν ἔργοις τελῶ καὶ ἐν καρδίᾳ διαλογίζομαι· [para]καὶ θροῦς γὰρ γογγυσμῶν τὸ οὖς τὸ σὸν οὐκ ἀποκρύβεται. «Ἐκ[τή]σω τοὺς νεφρούς μου», ὁ Δαυὶδ ψάλλων κράζει σοι, καὶ «ἐν τῷ βιβλίῳ σου γέγραπται πάντα»·

book 15 ἐν ᾧ τὰ στίγματα ἀναγινώσκ[ων] τῶν κακῶν μου [para]τῷ σταυρῷ σου χάραξον, ὅτι ἐν τούτῳ καυχῶμαι βοῶν σοι· «Ἄνοιξον».

book 16 Ναί, ἀδελφοί μου, τ̱ὰ̱ αὐ̱τ̱ὰ καὶ ἡμεῖς εἴπωμεν πάντες πρὸς τὸν πλάστην, ἕως ἔστι πνοὴ ἐν ῥισὶν ἡμῶν, [para]πρὶν ἐπέλθῃ ἡμῖν ἡ ὀργὴ ὡς ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ αἰφνίδιον. Οὐ γὰρ πλεῖον ἡμῶν οἱ ἐν Τύρῳ κακοὶ οὐδ’ οἱ ἐν τῷ Καρμήλῳ δεινότεροι· [para]ὡσαύτως καὶ ἡμᾶς ὀλέσθαι δεῖ, ἐὰν μὴ νήψωμεν· ἀρκοῦσαν Πτολεμαίοις τὰ συμβάντα εἰς ἔλεγχον τῆς σκληρότητος ἡμῶν καὶ ἀπειθείας·

book 16 μετανοήσωμεν πρὸς τὰ γενόμενα ὁρῶντες, [para]ἵνα τὰ ἐρχόμενα φύγωμεν, ὅτε ἐν θλίψει βοῶμεν· «Ἄνοιξον».

book 17 Οὕτως ἡμῶν ἐσκληρύνθη ὁ νοῦς ὅτι τῶν ἄλλων τὰς συμπτώσεις ἀκούσαντες οὐδὲν διωρθώσαμεν· [para]οὐκ ἔστι συνιὼν οὐδὲ εἷς ἐκζητῶν, ἀλλ’ ἐξεκλίναμεν, ἠχρειώθημεν. Νινευῖται ποτὲ ἐπὶ μίᾳ φωνῇ τῇ τοῦ προφήτου μετεμελήθησαν, [para]ἡμεῖς οὔτε φωνήν, οὔτ’ ἀπειλὴν ἐνενοήσαμεν· κλαυθμῷ ὁ Ἐζεκίας Ἀσσυρίους ἐτρέψατο ἐξεγείρας κατ’ αὐτῶν τὴν ἄνω δίκην· ἰδοὺ Ἀσσύριοι καὶ πρὸ αὐτῶν Ἰσμαηλῖται [para]ᾐχμαλώτευσαν ἡμᾶς, καὶ οὐκ ἐκλαύσαμεν οὔτε βοῶμεν· «Ἄνοιξον».

book 18 Ὕψιστε δέσποτα, πάντων κριτά, τὶ τῶν ἡμῶν μὴ περιμείνῃς· οὐ χρεία γὰρ σοὶ τῶν ἀγαθῶν ἡμῶν, [para]ὅτι ἔγκειται πᾶς [ἐπὶ] τὰ πονηρὰ καὶ διανοίᾳ καὶ τῷ θελήματι. Διὰ τοῦτο, [σωτήρ], τὰς ἡμέρας ἡμῶν κατὰ τὸ θέλημά σου διοίκησον, [para]μὴ [μέν]ων τὴν ἡμῶν ἐπιστροφήν· οὔτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἔρχεται· κἂν ἔλθῃ [εἰ]ς ὀλίγον, οὐκ ἐμμένει εἰς τέλειον, ὡς τὸ σπέρμα τὸ πεσὸν [κατ]ὰ τὰς πέτρας· ὡς χόρτος δώματος πρὶν ἀναβῆναι [ἐξ]ηράνθη· [para]ἀλλ' ἐφάπλωσον ἡμῖν τοὺς οἰκτιρμούς σου καὶ [πᾶσι]ν τοῖς βοῶσιν·

book 18 Ἄνοιξον.

book pro Τῆς κολυμβήθρας τὰ τέκνα, οἱ νεοφώτιστοι πάντες εὐχαριστοῦντες βοῶμέν σοι, Χριστὲ ὁ Θεός· «Ἐφώτισας ἡμᾶς τῷ φωτὶ τοῦ προσώπου σου, ἐνέδυσας στολὴν τὴν ἀξίαν τοῦ γάμου σου· δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας».

book 1 Τίς εἴπῃ, τίς δείξῃ Ἀδὰμ τῷ πρωτοπλάστῳ [para]τὸ κάλλος, τὸ καῦχος, τὸ κῦρος τῶν αὐτοῦ τέκνων; Τίς πάλιν διηγήσεται καὶ τῇ ταλαίνῃ Εὔᾳ ὅτι οἱ ἐκ ταύτης ἐβασίλευσαν στολὴν φοροῦντες δόξης, καὶ μετὰ πολλῆς δόξης [para]δοξάζουσι τὸν δοξάσαντα τῷ σώματι, τῷ πνεύματι καὶ τῷ σχήματι λάμποντες; Βαβαὶ τοῦ θαύματος· οἱ πρώην ἄνθρωποι [para]ἐξαπίνης ἄγγελοι, οἱ πήλινοι πύρινοι·

book 1 καὶ τίς τούτους ὕψωσε; Πάντως ἡ ἀνάστασις ἡμῶν. Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.

book 2 Οὐκέτι ὡς ξένοι τῶν θείων ἐξωθοῦνται, [para]ἀλλ' ἄρτι ὡς ἴδιοι τὸ «δεῦτε» ἤκουσαν πάντες· οὐκέτι παραστήκουσι τῇ θύρᾳ τοῦ νυμφῶνος, [para]ὅτι τὸν νυμφίον ἐνεδύσαντο· οὐκέτι ἀπιστοῦνται, ἀλλὰ πάντα θαρροῦνται· [para]οὐκέτι ὡς κατάσκοποι, ἀλλ' ὄντως ὡς ἐπίσκοποι τῶν ἁγίων ἐφάπτονται· οὐκέτι κρούουσι τὴν θύραν κράζοντες· [para]«Ὦ οἰκτίρμον, ἄνοιξον», ἀλλ' ἔνδοθεν ᾄδουσι· «Σὺ ἐφώτισας ἡμᾶς πάντας, ἡ ἀνάστασις ἡμῶν. [para]Δόξα σοι, 〈δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.〉 ».

book 3 Ὑψώθη ἡ πάλαι ταπεινωθεῖσα φύσις, [para]ὑψώθη, ἐπήρθη καὶ θείαν ἔφθασε φύσιν· ἐγένετο ὁ ἄνθρωπος θεὸς Θεὸν φορέσας· [para]εὗρεν ὃν ἐζήτει εἰς παράδεισον· ἐκ 〈εῖ〉 ζητήσας ἄλλο μετέπεσεν εἰς ἄλλο· [para]ἐνταῦθα δὲ ἐζήτησε καὶ τάχος ἐβασίλευσε καὶ θεὸς ἐχρημάτισεν· ἐκεῖ ἐδίψησε καὶ ὧδε ἔπιεν, [para]ἐκεῖ ἐπεθύμησε καὶ ὧδε ἐπέτυχε. Καὶ τίς τούτῳ δέδωκε; Πάντως ἡ ἀνάστασις ἡμῶν. —Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.

book 4 Τρανὸς εἶ, λαμπρὸς εἶ, Ἀδάμ, καὶ ζηλωτὸς ὢν [para]τοῦ σὲ μισοῦντος ἐκτήκεις βάσκανον ὄμμα· ὁρῶν σε γὰρ ὁ τύραννος μαραίνεται καὶ κράζει· [para]«Τίς ἐστιν ὃν βλέπω; Οὐκ ἐπίσταμαι· ὁ χοῦς ἀνενεώθη, ἡ κόνις ἐθεώθη, [para]ὁ πένης καὶ ἐλάχιστος ἐκλήθη καὶ ἐλούσατο καὶ εἰσελθὼν ἀνέπεσεν· πρὸς δεῖπνον ἕλκεται, φαγεῖν ἐτόλμησε [para]καὶ πιεῖν ἐθάρρησεν αὐτὸν τὸν ποιήσαντα. Καὶ τίς τούτῳ δέδωκε; Πάντως ἡ ἀνάστασις αὐτοῦ.» [para]—Δόξα σοι, δό〈ξα σοι ὅτι οὕτως ηὐδόκησας.〉

book 5 «Ἀρχαίων πταισμάτων αὐτοῦ οὐ μνημονεύει, [para]προτέρων τραυμάτων οὐλὴν οὐδ' ὅλως ἐμφαίνει· πολύχρονον παράλυσιν παρὰ τὴν κολυμβήθραν [para]ἔρριψεν ὡς πάλαι ὁ παράλυτος, καὶ νῦν ἐπὶ τῶν ὤμων τὴν κλίνην οὐ βαστάζει, [para]ἀλλ' ὄντως ἐπιφέρεται σταυρὸν τοῦ ἐλεήσαντος καὶ ἐμὲ ἀπολέσαντος· πολλοὺς ἐν ὕδασι πολλάκις ἔλουσεν ὁ φιλάνθρωπος πρότερον, καὶ οὕτως οὐκ ἔλαμψαν· φαιδροὺς τούτους ἔδειξεν ἄρτι ἡ ἀνάστασις αὐτῶν.» [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 6 «Πηγῆς ἀενάου τῆς ἐν τῷ παραδείσῳ [para]τὰ νάματα ὄντως εἰς ποταμοὺς διαιροῦνται, καὶ τούτοις 〈καταντ〉 λούμενος ὁ Ἀδὰμ ἀρρωστήσας [para]μίαν ἀλγηδόνα οὐ κατέπαυσε· κατέκλυσε τὸ ὕδωρ τὴν γῆν ἐπὶ τοῦ Νῶε, [para]καὶ ὅμως οὐκ ἀπέσμηξε τὸν πρώην ἀρρωστήσαντα, ἀλλὰ μᾶλλον ἀπέπνιξε· καὶ τί ἐγένετο, ὅτι τὰ ὕδατα [para]τοῦ βυθίζειν ἔλαθε καὶ σῴζειν μεμάθηκεν; Ὄντως μετεσκεύασε ταῦτα ἡ ἀνάστασις αὐτῶν.» —Δόξα σοι, δόξα 〈σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 7 «Ἰδοὺ μεῖζον βλέπω τῆς Ἐρυθρᾶς θαλάσσης· [para]ἐκείνη δειχθεῖσα βυθὸς βατὸς τοῖς ἀνθρώποις οὐκ ἔλουσεν, οὐκ ἔσωσεν αὐτοὺς τῆς ἁμαρτίας· [para]ἐνταῦθα δὲ καὶ ἔλουσε καὶ

ἔσωσε· κἀκεῖ μὲν οὐχὶ πάντας, ἀλλὰ τὸν λαὸν μόνον [para]ἐδέξατο τὰ ὕδατα· ἐνταῦθα δὲ ἑκάστοτε πᾶσιν ἔθνεσι πρόκειται· οὐκ ἀποστρέφονται, οὐκ ἀποκρίνονται· [para]‘Μὴ Φαραωνίτης εἶ;‘, ἀλλ’· ‘Εἴ τις εἴ, εἴσελθε‘·

book 7 ζῶν γὰρ ὕδωρ ἔδειξε τούτοις ἡ ἀνάστασις αὐτῶν.» [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 8 «Ναμάτων κακίστων πηγή ποτε ἰάθη [para]ὑπὸ Ἐλισσαίου τοῦ σοφωτάτου προφήτου· ἐστείρου γὰρ τὰ γύναια ἡ τῶν ὑδάτων γεῦσις [para]νόσον ἀτεκνίας παρεχόμενα· καὶ ὅμως ἰαθέντα καὶ μεταποιηθέντα οὐκ ἔμαθον τὰ ὕδατα καθαίρειν ἁμαρτήματα καὶ καινίζειν τὰ πνεύματα· ἀλλ’ ὧδε ἔμαθον καὶ πάντας ἥγνισαν [para]καὶ τοῖς πᾶσι γεγόνασι λουτρὸν ἀνακτίσεως· καὶ ἤνοιξε δωρεὰν τοῦτο ἡ ἀνάστασις αὐτῶν.» [para]—Δό〈ξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 9 «Οὐκ οἶδα τί λέξω, οὐκ οἶδα τί τελέσω· [para]στενά μοι παντόθεν, ἀπορῶ πρὸς ἃ βλέπω· ἡ χάρις ἄνευ δόσεως, τὸ δῶρον ἄνευ δώρου· [para]τίς οὖν ἐπὶ τοῦτο οὐκ ἐπείγεται; Πτωχὸς ἔχει ὀκνῆσαι ἢ πλούσιος ὀκλάσαι; [para]οἱ ἄμορφοι αἰσχύνονται; οἱ δοῦλοι οὐκ ἐπείγονται; οἱ δεσπόται οὐ τρέχουσιν; Οἱ πάντες ἔρχονται· καὶ γὰρ ἀκήκοαν [para]τοῦ δεσπότου φήσαντος· ‘Πηγὴ παρ’ ἐμοὶ ζωῆς· ἐγὼ λούω πάντας καὶ σμήχω ἡ ἀνάστασις ὑμῶν‘.» [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 10 «Ὑπνοῦντας τοὺς πάντας εἰς Ἅιδου κατωτάτου [para]καθάπερ χειμάρρους ὁ τοῦ λουτροῦ τούτου ἦχος ἀφύπνωσεν, ἀνέστησε τοὺς ἐκ τοῦ παραβάντος καὶ τῇ κεφαλῇ μου ἐπεβίβασε· καθῆρε ῥυπωθέντας καὶ ἄνευ ἀργυρίου [para]ἐπλούτισε τοὺς ἅπαντας καὶ μόνον λόγον ἔλαβε παρ’ αὐτῶν ἀνθ’ ὧν ἔδωκε· ‘Πιστεύω‘, ἔφησαν, καὶ πάντα ἔλαβον· [para]ἐμοὶ ἐνεφύσησαν καὶ οὕτως ἐβόησαν· ‘Πιστεύομεν ὅτι ῥύεται ἡμᾶς ἡ ἀνάστασις ἡμῶν‘.» [para]—Δόξα σοι, δόξα σοι, ὅτι οὕτως 〈ηὐδόκησασ〉 .

book 11 Ῥημάτων τοιούτων τὸν ὄχλον ὄντως χέει [para]ὁρῶν ὁ Βελίαρ τὸν νεοφώτιστον ἄρτι, καὶ νῦν ὑπὲρ τὸ πρότερον δριμύτερον προσέχει [para]τῷ τῆς κολυμβήθρας γεννήματι· Διὸ παρακαλῶ σε ὡς πλεῖον ἀγαπῶν σε· [para]τερπνέ μου νεοφώτιστε, ἀεὶ γενοῦ ὃ κέκλησαι, πανταχοῦ νεοφώτιστος· τερπνὸς ἑκάστοτε, ὡραῖος πάντοτε, [para]μὴ νυμφίος σήμερον καὶ αὔριον ἄγαμος· ἥρμοσε γάρ σε τῷ δεσπότῃ ἡ ἀνάστασις ἡμῶν.

book 11 —Δόξα σοι, δόξα 〈σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 12 Ὡς εἶπες «Πιστεύω», ἐπίμεινον πιστεύων, [para] 〈καὶ〉 ὡς συνετάξω, οὕτω πολίτευσαι ἔξω· μὴ ἅμα τῷ ἐνδύματι ἐκδύσῃς σου τὴν δόξαν· [para]μεῖνον λευκοφόρος τὴν διάνοιαν. Μὴ εἴπῃ σοι ὁ πλάνος· «‘Επτὰ ἡμέρας μόνας [para]ὀφείλεις συναυλίζεσθαι ᾧ ἔφθασας συντάξασθαι, καὶ μετέπειτα πάρελθε»· ἀλλ’ ὥσπερ ἔμαθες καὶ χαίρων ἔψαλλες· [para]«Ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε σήμερον», οὕτως ὕμνησον καθ’ ἡμέραν τὴν ἀνάστασιν ἡμῶν. [para]—Δόξα σοι, δό〈ξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉 .

book 13 Μὴ γάρ σοι ἀνάγκης ἐπιτεθείσης ἦλθες [para]ἢ ἄλλου βιαίως ἑλκύσαντός σε εἰσῆλθες· αὐτὸς αὐτὸν κατήπειξας ἀκούσας τοῦ εἰπόντος· [para]«Δεῦτε οἱ διψῶντές με καὶ πίετε». Καὶ μόνον ὡς εἰσῆλθες καὶ τοῦτο ἐρωτήθης· [para][Πιστεύεις ὅτι κέκτημαι πηγὴν ζωῆς, ὦ ἄνθρωπε;», τὸ «Πιστεύω» ἀντέφησας. Παρῆσαν ἅγιοι, συνῆσαν ἄγγελοι, αἱ δυνάμεις ἵσταντο, ἀρχαί, θρόνοι ἤκουον σοῦ βοῶντος ὅτι «Πιστεύω τὴν ἀνάστασιν ἡμῶν.» [para]—Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.

book 14 Ἀλλ’ ὅτι πρὸς τούτους, ἐὰν ἀρνήσῃ, ἔχεις, [para]φυλάττου, ὦ φίλε, καὶ ἀσφαλίζου παντόθεν· μὴ κτήσῃ κατηγόρους σου τοὺς ἄνω καὶ τοὺς κάτω· [para]πᾶσα γὰρ ἡ κτίσις σοῦ ἀκήκοεν. Πολλάκις δὲ καὶ φόβῳ τῶν νῦν κρατούντων νόμων [para]προσῆλθες τῷ βαπτίσματι καὶ γέγονας ὃ γέγονας τὸν καιρὸν αἰσχυνόμενος· καὶ τί σοι γένηται, ὅταν ἐλεύσεται [para]ὁ καιρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς κρίσεως καὶ πάντα ἐλέγχεται καὶ τοῖς πᾶσιν ἀνταποδώσει ἡ ἀνάστασις ἡμῶν; [para]—Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.

book 15 Νουθέτει, ὦ φίλε, σαυτὸν ἐν τοῖς τοιούτοις, [para]κἂν φόβῳ προσῆλθες, λοιπὸν ἐπίμεινον πόθῳ· ἀγάπησον ἃ ἔλαβες καὶ σφίγξον ἃ κατέχεις· [para]μὴ αὐτομολήσῃς πρὸς τὰ πρότερα· μὴ γένῃ καταγέλως τοῦ νῦν σε φοβουμένου· [para]ἐὰν γὰρ θεωρήσῃ σε δραμόντα πρὸς τὰ πρότερα, ἐπιχαίρων σοι φθέγγεται· «Οὐκ ἀπετάξω μοι καὶ τῇ λατρείᾳ μου; [para]οὐ Χριστὸν ἠγάπησας κἀμοὶ ἐνεφύσησας; οὐκ ἠρνήσω με λέγων· ‘Σέβω τὴν ἀνάστασιν ἡμῶν;‘» [para]—Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησας.

book 16 Οὐκοῦν ἵνα μή σε ὁ ἐχθρὸς ὀνειδίσῃ [para]μήτε ὁ οἰκτίρμων ὡς παραβάτην σε κρίνῃ, ἐπίβλεψον τῷ ὅπλῳ σου ᾧ νῦν ἐθωρακίσω, [para]φρόνησον ἐπάξια τοῦ κάλλους σου· μνημόνευε καθ’ ὥραν τί ἦς καὶ τί ἐγένου, [para]εἰς νοῦν φέρε ἑκάστοτε τὴν πρώτην σου εὐτέλειαν καὶ τὴν νῦν βασιλείαν σου· μὴ λάθῃς, ἄνθρωπε, τῶν γενομένων σοι· [para]μὴ κριθῇς ἀνόητος καὶ κτήνεσιν ὅμοιος, σύνες πάντα καὶ ἀνευφήμει τὴν ἀνάστασιν ἡμῶν. [para]—Δόξα σοι, δόξα 〈σοι, ὅτι οὕτως ηὐδόκησασ〉.

book 17 Υἱόν σε ὁ πλάστης καὶ κληρονόμον ἔχει· οὓς γὰρ ἀποτίκτει ἡ μήτρα τῆς κολυμβήθρας λαμβάνει ὁ φιλόστοργος πατὴρ ὁ ἐπὶ πάντων [para]καὶ εἰς κληρονόμους ἀναγράφεται. Ἰδὲ οὖν, ἀδελφέ μου, πατέρα τίνα ἔχεις [para]καὶ τούτῳ προσκολλήθητι· μὴ λίπῃς τὸν γεννήσαντα καὶ λοιπὸν κατεντύχῃ σου βοῶν· «Ἀκούσατε, υἱὸν ἐγέννησα [para]καὶ γεννήσας ὕψωσα· αὐτὸς δὲ ἠθέτησεν ὁ πρὸ ὥρας κράζων μοι· ‘Σέβω τὴν ἀνάστασιν ἡμῶν.‘» [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉.

book 18 Ἀνάτεινον ὅλον σαυτὸν ἐπὶ τὸ θεῖον· [para]καὶ γὰρ ὄντως ὅλων τῶν θείων νῦν ἠξιώθης· οὐδέν σου μέρος ἄμοιρον ἐγένετο τῆς δόξης· [para]ἅπαντα δὲ σύμπασιν ἡγίασται. Μὴ σπεύσῃς σου μολῦναι τὰ ὄμματα ταῖς θέαις· [para]τὰ ὦτα μὴ σπιλώσῃ σου ὁ φθόγγος ὁ ὀλέθριος ὁ καλῶν εἰς ἀπώλειαν· μὴ βορβορώσῃς σου τὸ στόμα ᾄσμασιν οἷς ἐχθρὸς μὲν τέρπεται, ψυχὴ δὲ βαρύνεται· ἁπλῶς ὕμνει πάντοτε βοῶν τὴν ἀνάστασιν ἡμῶν. [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉.

book 19 Ἰδοὺ ἀνεκτίσθης, ἰδοὺ ἀνεκαινίσθης· [para]μηκέτι συγκάμψῃς τὸν νῶτον ἐν ἁμαρτίαις· ἐκτήσω, νεοφώτιστε, σταυρὸν ὡς βακτηρίαν, [para]τούτῳ τὴν νεότητά σου στήριξον· αὐτὸν ἐν τῇ εὐχῇ σου, αὐτὸν ἐν τῇ τραπέζῃ [para]αὐτὸν ἐπὶ τῆς κλίνης σου ὡς καύχημά σου πρόφερε πανταχοῦ, νεοφώτιστε· καὶ γὰρ οἱ δαίμονες ὡς κύνες ἄγριοι [para]ὑλακτοῦσι πάντοτε, πρὸς οὓς ἀναβόησον· «Σταυρὸν ἔχων ἵσταμαι στέργων τὴν ἀνάστασιν ἡμῶν.» [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉.

book 20 Νῦν ὅτι τῇ ποίμνῃ Χριστοῦ συναγελάζει, [para]ἀπόσχου τῶν λύκων, μὴ συμμιγῇς ἀκαθάρτοις· ἀμνὸς εἶ ἁπαλόσαρκος· μὴ ἀποσκληρυνθήσῃ; [para]μὴ ἀπολιθωθήσῃ; Ἔσο πέτρινος. Μὴ εἴπῃ σοι ὁ πλάνος· «Μὴ ψέγε οὓς οὐ σέβει»· [para]μηδ’ ὅλως ὑποσύρῃ σε καιροὺς παρατηρήσασθαι καὶ ἡμέρας φυλάξασθαι, τοῦ μὲν μὴ ἅπτεσθαι, τοῦ δὲ ἀπέχεσθαι· [para] 〈– –〉 τῶν πάντων κυρίευσον· πάντα γάρ σοι δέδωκε δοῦλα ἡ ἀνάστασις ἡμῶν. [para]—Δόξα 〈σοι, δόξα σοι, ὅτι οὕτως ηὐδόκησασ〉.

book 21 Οὐ λέγει ἐφάπαξ· «Ἀπόστα τοῦ Θεοῦ σου», [para]ἀλλὰ κατὰ μέρος τῶν θείων ἀποσυλεῖ σε, δεικνύων σοι ἐνύπνια καὶ δι’ αὐτῶν πτοῶν σε [para]καὶ ἐν τοῖς ὀνείροις σου φαντάζων σε· «Τοῦ τόπου τούτου χώρει, τοῦ δένδρου τούτου φεῦγε, [para]τὸ φρέαρ τοῦτο τίμησον· ἐγὼ γὰρ τούτῳ ἕπομαι καὶ μέλλω εἶναι ἄγγελος.» Μὴ τούτοις πείσῃ σε καὶ ὑποφθείρῃ σε, [para]καὶ νομίσῃς, ἄνθρωπε, τὸν δαίμονα ἄγγελον·

book 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον πάτησον αὐτὸν σέβων τὴν ἀνάστασιν ἡμῶν. [para]—Δόξα σοι, δόξα σοι, ὅτι οὕτως ηὐδ〈όκησασ〉.

book 22 Σωφρόνει καὶ φρόνει λοιπὸν τὰ τοῦ κυρίου· [para]αὐτοῦ γὰρ ἐκλήθης καὶ εἶ πιστὸς οἰκονόμος· διὸ καὶ παρακάλεσον τὸν ἐμπιστεύσαντά σοι [para]ὑπὲρ τῆς εἰρήνης τῶν ψυχῶν ἡμῶν· εἰπὲ τῷ νυμφιῷ σου τῷ νῦν σοι συνημμένῳ· [para]«Προσπίπτω σοι, ἐπίνευσον καὶ δὸς ὡς πολυέλεος τὴν εἰρήνην τῷ κόσμῳ σου, ταῖς ἐκκλησίαις σου τὴν σὴν βοήθειαν, [para]τοῖς ποιμέσιν εὔνοιαν, ταῖς ποίμναις ὁμόνοιαν, ἵνα πάντες πάντοτε̲ ὑ̲μ̲νοῦμεν τὴν ἀνάστασιν ἡμῶν.» —Δόξα σοι, δόξα σοι, ὅτι οὕτ〈ως ηὐδόκησασ〉.

book pro 1 Ὡς εὐσεβείας κήρυκας καὶ ἀσεβείας φίμωτρα τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας τῇ ὑφηλίῳ λάμποντα· [para]ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ τελείᾳ τοὺς σὲ δοξάζοντας καὶ μεγαλύνοντας διαφύλαξον ψάλλειν καὶ ᾄδειν σοι· Ἀλληλούϊα.

book pro 2 Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων· [para]διό, σωτήρ, οἱ οἰκοῦντες αὐτὰ εἰς τοὺς αἰῶνας αἰνέσουσί σε ᾄδοντες, ψάλλοντες σὺν τῷ προφήτῃ Δαυίδ· Ἀλληλούϊα.

book pro 3 Οἱ ἐκ τοῦ βίου σήμερον πρὸς νοητὸν παράδεισον τὴν κατοικίαν ποιήσαντες ἅπαντες ἐν μετανοίᾳ κράξωμεν· [para]«Σῶσον, μόνε οἰκτίρμων, τοὺς εἰς σὲ προσφυγόντας· ἰδοὺ γὰρ ἅπαντα ἐγκατελίπαμεν, καὶ σὲ μόνον ποθοῦντες ψάλλομεν· Ἀλληλούϊα.»

book pro 4 Τοὺς ἐπὶ σοὶ προσδραμόντας μὴ παρίδῃς, ὁ Θεός, [para]κα̲ὶ̲ ἐ̲ν̲ τῇ ἀμώμῳ ἀσκήσει διατήρησον αὐτούς, [para]καὶ ἐπάκουσον ἡμῶν ψαλλόντων σοι· Ἀλληλούϊα.

book 1 Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένιζον, λογισμῷ θεωρῶν τὰ γινόμενα, [para]καὶ σκοπήσας αὐτοῦ τὰ ἐπώδυνα τὴν ζωὴν τῶν βροτῶν ἐταλάνισα· ὑμᾶς δὲ μόνους ἐμακάρισα τοὺς καλὴν ἐπιλεξαμένους μερίδα, [para]τὸ ποθεῖν τὸν Χριστὸν καὶ συμμένειν αὐτῷ καὶ συμψάλλειν τερπνῶς τῷ προφήτῃ Δαυίδ· Ἀλληλούϊα.

book 2 Οὐδὲ ἕνα βροτῶν εὗρον ἄλυπον· ὁ γὰρ κόσμος ἑκάστοτε τρέπεται· [para]ὃν γὰρ εἶδον τῇ χθὲς ἐπαιρόμενον νῦν ὁρῶ ἀπὸ ὕψους ἐκπίπτοντα, πτωχὸν αἰφνίδιον τὸν πλούσιον, ἐνδεῆ καὶ πεινῶντα τὸν εὐποροῦντα· [para]ἀλλ’ ὑμεῖς τούτων πάντων ἐστὲ παρεκτός· ἐδουλώθητε γὰρ ψυχικῶς τῷ ψαλμῷ· Ἀλληλούϊα.

book 3 Ὑψαυχεῖ κατὰ πένητος πλούσιος, κατεσθίων αὐτοῦ πᾶσαν ὕπαρξιν· [para]κοπιᾷ γεωργὸς καὶ ὁ κτήτωρ τρυγᾷ· ἄλλου κάμνοντος, ἄλλος εὐφραίνεται· ἱδρῶν συνάγει ὁ πενόμενος ἵνα μόχθῳ κομίσηται ἃ σκορπίζει· [para]ἀλλ’ ὑμῶν πᾶς ὁ κόπος πεφύλακται· οὐ γὰρ ἔχετε μέριμναν ἄλλην εἰ μὴ ἀλληλούϊα.

book 4 Τοὺς ἀγάμους ἐλπίδες συγκόπτουσι, τοὺς ἐν γάμῳ φροντίδες συντήκουσι· [para]τοὺς ἀτέκνους ἡ λύπη ἐμάρανε, πολυτέκνους ἡ θλῖψις ἀνάλωσεν· οἱ μὲν τῷ γάμῳ ἐποδύρονται, ἄλλοι πάλιν τὴν ἀτεκνίαν θρηνοῦσιν· [para]καὶ ὑμῶν ἐπὶ τούτοις ὁ γέλως πλατύς· ἀπαράλλακτος γὰρ ἡ χαρὰ ἡ ὑμῶν· ἀλληλούϊα.

book 5 Ἁλμυρὰ τῆς θαλάσσης τὰ ὕδατα, γλυκηρὰ τῇ κοιλίᾳ τὰ βρώματα· [para]ῥιψοκίνδυνοι πλέουσιν ἄνθρωποι· ἡ γαστὴρ γὰρ αὐτοὺς κατηνάγκασε· ψυχὰς σανίσιν ἐμπιστεύουσιν, τροφῆς χάριν καὶ ζάλης καταφρονοῦσιν· [para]ἀλλ’ ὑμῶν ἡ γαλήνη ἀχείμαστος· ὡς λιμένα γὰρ εὔδιον ἔχετε̲ ἀ̲ε̲ὶ̲ ἀλληλούϊα.

book 6 Πειρατὰς καὶ χειμῶνος τοὺς κλύδωνας παρορῶσιν οἱ χρήματα στέργοντες· τῶν κυμάτων τὸ γαῦρον θεώμενοι δειλιῶσιν, ἀλλ’ ὅμως οὐ φεύγουσιν· ἐλπὶς γὰρ πλούτου τούτους ἕλκουσα, κἂν πνιγμὸν ἀπειλήσῃ, οὐ καταπλήττει· [para]τὸ δὲ σκάφος ὑμῶν ἀναυάγητον· ὡς γὰρ ἄγκυρα ἔστιν ὑμῖν ὁ ψαλμός· ἀλληλούϊα.

book 7

[Εἰ καὶ μέχρις αἰῶνος παρέμενον τὰ παρόντα μηδέπω λυόμενα, [para]οὐδὲ οὕτως τοῖς ἔχουσι σύνεσιν αἱρετὰ καὶ ποθούμενα ἔδοξεν· ὅτι δὲ τὸ τάχος παρέρχονται καὶ πρὸ τέλους πολλάκις ὀλλύμενα, [para]ὁ ἐάσας αὐτὰ τρισμακάριστος, ἐὰν πίστει καὶ πόθῳ μελετᾷ τὸν ψαλμόν· Ἀλληλούϊα.]

book 8 Ἵνα δὲ συνελὼν εἴπω, ἅπαντα τὰ ἐν κόσμῳ σὺν κόσμῳ παρέρχεται· [para]ὅτε πάντα γὰρ βίου κερδήσομεν, τότε τάφῳ οἱ πάντες οἰκήσομεν· καλῶς οὖν ἔφησεν ὁ πάνσοφος· «Ματαιότης ματαιοτήτων τὰ πάντα». [para]Εἰ γὰρ ἔστι θανεῖν, διὰ τί μοι καμεῖν; Ἀγαθὸν οὖν ἡσύχως τὸ ψάλλειν Θεῷ· Ἀλληλούϊα.

book 9 Νῦν εἰσὶν ἐν ὑμῖν οἱ βοῶντες μοι, κἂν μὴ στόματι, ἀλλὰ τῷ πνεύματι· «Πονηρὸς μὲν ὁ βίος, ὡς ἔφησας, σὺ δὲ τούτου ἀκμὴν ἀπησχόλησαι· δοκὸς ἐπίκειται σοῖς ὄμμασι, καὶ πῶς βλέπεις τὸ κάρφος τῶν ἄλλων ἆραι; [para]Εἰ καλὸν ὃ λαλεῖς, διὰ τί μὴ ποιεῖς;» Ἀληθῶς κατακέκριμμαι, μὴ μελετῶν· Ἀλληλούϊα.

book 10 Ὅμως μέντοι οὐ πάντες ἐχώρησαν ὡς προσέταξεν πᾶσιν ὁ κύριος· [para]τῷ ἑνὶ γὰρ εἰπών, πᾶσιν ἔφησεν· «Πώλησόν σου τὰ πάντα καὶ ἔπου μοι.» Οἱ μὲν οὖν ἤκουσαν ὡς φρόνιμοι, οἱ δὲ οὔτε προσέσχον ὡς ὅμοιοί μου· [para]ἐξ αὐτῶν γάρ εἰμι, κἂν μὴ λέγῃ μοί τις· διὰ τοῦτο ὑμᾶς ἐξαιτῶ τὴν ᾠδήν· Ἀλληλούϊα.

book 11 Ὑπεκκαίω ὑμῶν τὴν προαίρεσιν πρὸς τὸ ψάλλειν καὶ τέρπειν τὸν κύριον, [para]ἵν’ ὑμῖν ὁ μισθὸς ὅταν δίδοται, σὺν ὑμῖν καὶ ἡ μνήμη μου γένηται. Ἀκούσατε οὖν τῶν ῥημάτων μου, τῶν δὲ πράξεων πόρρω ἀποχωρεῖτε· [para]ἀγαπᾶτε τοὺς λόγους τῶν ἔργων ἐκτός· οὐ γὰρ ἔχω εἰπεῖν ὑμῖν ἄλλο εἰ μὴ ἀλληλούϊα.

book 12 Ῥύπον βίου καλῶς ἀπεφύγετε καὶ πηγῇ καθαρᾷ προσεφύγετε· τῶν ἀσάρκων τὸν βίον ζηλώσαντες τῆς σαρκὸς μὴ ποιεῖσθε τὴν πρόνοιαν· μὴ ἀγαπᾶτε ἃ ἀφήκατε, οὓς ἐλύσατε μὴ ἐποικοδομεῖτε, [para]ἵνα μὴ τῷ ἐχθρῷ γέλως γένησθε, ἀλλὰ στήκοντες νήφετε ἐν τῇ ᾠδῇ· Ἀλληλούϊα.

book 13 Ὧν τὸν βίον καλῶς ἀπεφύγετε, τούτων νῦν καὶ τὴν μνήμην μισήσατε· [para]ἀφιλόνεικον βίον καὶ ἥσυχον ἀναλάβετε ἅπαξ ὡς ἄγγελοι, τιμῇ ἀλλήλους προηγούμενοι· μὴ ἐρεῖτε· «Τοῦτο σόν», ἢ «Τοῦτο ἐμόν»· [para]οὐ γὰρ ἔχει μονάζων τι ἴδιον, ἀλλὰ πάντων τὸ πᾶν ἔστω ἡ προσευχή· Ἀλληλούϊα.

book 14 Μὴ ἀλλήλων ἁπλῶς κατεπαίρεσθε· «Τί γὰρ ἔχεις, φησίν, ὃ οὐκ ἔλαβες;» [para]Ὁ νηστεύων μὴ κρίνῃ τὸν τρώγοντα, καὶ ὁ τρώγων τιμάτω τὸν ἄσιτον· ὁ μὲν γὰρ τρώγει δι’ ἀσθένειαν, ὁ δὲ πάλιν νηστεύει δι’ ἐγκράτειαν· [para]ἄλλος κάμνει μοχθῶν, ἄλλος ψάλλει ποθῶν, εἷς δέ ἐστιν μισθὸς ἀμφοτέροις ὑμῖν· ἀλληλούϊα.

book 15 Ἀλλ’ ἐρεῖ τις· «Ἐγὼ περισσότερον, ὡς εἰδὼς τὰς γραφάς, ἔχω καύχημα.» [para]Τί οὖν ὁ ἁλιεὺς Πέτρος ἔμαθεν, ὅτι τοῦ Μωϋσέως προτέτακται; Τῶν Αἰγυπτίων πᾶσαν φρόνησιν, ὥσπερ ἔπος, ἐξέμαθεν ὁ προφήτης, [para]καὶ τοῦ Πέτρου λαλοῦντος σιγᾷ Μωϋσῆς· μὴ βδελύξῃ οὖν τὸν ἀμαθῆ ὁ μαθών· ἀλληλούϊα.

book 16 Νευρωθῶμεν τῇ πίστει σφιγγόμενοι, οἱ τῷ σώματι ἀποταξάμενοι· [para]οἱ μισοῦντες ἡμᾶς οὐ καθεύδουσι· ὁπλισώμεθα οὖν, ἵνα ἴδωσι· καὶ τί τὸ ὅπλον τοῦ μονάζοντος· ὑποτάσσεσθαι πράως τῷ ἡγουμένῳ, [para]ἀγαπᾶν τὸν Χριστὸν καὶ φιλεῖν ἀδελφοὺς καὶ εὐπρόθυμον εἶναι αὐτὸν ἐν καιρῷ. Ἀλληλούϊα.

book 17 Ὅταν εἰς καθ’ ἑνὸς ὑπεραίρεσθε, τότ’ ὑπὸ τοῦ ἐχθροῦ παρεμπαίζεσθε· ἔργον ἔχει γὰρ τοῦ ὑπεισέρχεσθαι καὶ φαντάζειν τὸν νοῦν τῶν σαθρῶν ἀδελφῶν· τὸν μὲν ἐπαίρει ὡς καλλίφωνον,

τὸν δὲ πάλιν ὡς τρανόλαλον φυσιοῖ, [para]καὶ τυφλώσας αὐτοὺς ἐγγελᾷ πρὸς αὐτούς· μὴ οὖν τις ἐξ ὑμῶν καταλείπῃ ποτὲ ἀλληλούϊα.

book 18 Ὑπεισῆλθε πολλάκις τῷ κάμνοντι ἀδελφῷ καί φησι· «Τί εἰς μάτην μοχθεῖς; [para]Ἰδοὺ ἄλλος μὴ κάμνων πρωτεύει σου· σὺ δὲ πάντων τυγχάνεις περίψημα.» Κἀκεῖνος τούτοις ὡς ἁπλούστερος πεισθεὶς εἴασεν ὅθεν ἐδικαιοῦτο, [para]καὶ λιπὼν τὸ μοχθεῖν μελετᾷ τὸ λαλεῖν· μὴ οὖν σχῶμεν ποτὲ λαλιὰν παρεκτὸς ἀλληλούϊα.

book 19 Ὁπλισθέντες τῇ πίστει ἑστήκατε τοὺς αὐχένας ὑμῶν κάτω κλίναντες, [para]τὸ μὲν σῶμα εἰς γῆν κάτω νεύοντες, τῇ ψυχῇ δὲ Χριστὸν ἄνω βλέποντες, καραδοκοῦντες καὶ σπουδάζοντες μεταστῆναι τοῦ βίου τούτου [para]καὶ κατοικῆσαι ἐν ταῖς τῶν ἁγίων πάντων σκηναῖς, ἵνα ὥσπερ ἐνταῦθα ἀναβοᾶτε τὴν ᾠδήν· Ἀλληλούϊα.]

book 20 Ψυχικῶς τὸν κανόνα ποθήσατε ὃν καλῶς καὶ φρονίμως ᾑρήσασθε· μετ' ἀλλήλων ἐὰν ἀμφιβάλητε, χώραν τῷ πονηρῷ μὴ παρέχετε. Μηδεὶς ῥεπέτω πρὸς τὴν ἔξοδον· ὡς γὰρ λέων θηρεύει ὁ πανοῦργος [para]καὶ τὴν μάνδραν κυκλῶν ζητεῖ βρῶσιν ἀμνῶν· μή τις οὖν καταλίπῃ ποτὲ τὸν ψαλμόν· Ἀλληλούϊα.

book 21 Ἂν ὁ νοῦς σού ποτε σκανδαλίσῃ σε ἐρεθίζων σε ἐπὶ τὴν ἔξοδον [para]καί φησι· «Τί ἐνταῦθα συγκέκλεισαι; Πόσοι ἔξωθεν ἐδικαιώθησαν», εἰπὲ εὐθέως ἅπερ ἔμαθες, ὅτι «Εἶδον ἐν κόσμῳ ἀντιλογίαν [para]καὶ πολλὴν ἀνομίαν ἐν πόλεσιν· διὸ μένω ἀεὶ κελαδῶν τῷ Θεῷ· Ἀλληλούϊα.»

book 22 Λέγει πάλιν πρὸς σέ· «Καὶ πῶς δύνασαι τῷ κανόνι στοιχεῖν τοῦ μονάζοντος; [para]ὁ ζυγὸς γὰρ βαρὺς καὶ δυσαύχενος, καὶ ὁ τοῦτον μὴ φέρων ἀχρήσιμος.» Ἐρεῖς εὐθέως πρὸς τὸν δόλιον· «Ὁ κανὼν κατὰ δύναμιν ἀπαιτεῖ με· [para]ἂν γὰρ τοῦτο μὴ θέλω, τὸ ἄλλο κρατῶ· ἂν μὴ ἰσχύσω καμεῖν, μελετῶ τὸν ψαλμόν· Ἀλληλούϊα.»

book 23 Μετὰ τῶν ἐργατῶν ὧν ἐκάλεσεν ἔνδον τοῦ ἀμπελῶνος ὁ κύριος, [para]τοῦ καμεῖν καὶ ὑμεῖς ἐσπουδάσατε· τὸ σαθρὸν τῆς σαρκὸς ἀπωσάμενοι ἀγγέλων τάξιν ἀνελάβετε, ἵν' εἰσέλθητε τὴν ἑνδεκάτην ὥραν [para]μετὰ τῶν ἐνεγκάντων τὸν καύσωνα· καὶ ὑμῶν γὰρ ὁ κλῆρός ἐστι τῆς ᾠδῆς· Ἀλληλούϊα.

book 24 Ὁ εἰπών· «Ἐγὼ πέλω ἡ ἄμπελος καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα» [para]ἑρμηνεύων ἡμῖν τὴν συνάφειαν τὴν αὐτοῦ πρὸς ἡμᾶς τοῦτο ἔφρασε· διὸ ἐν τούτῳ ἐργασώμεθα ἵνα οὕτω γενώμεθα μετὰ κόπου [para]ὡς αὐτὸς ἐν ἡμῖν καὶ ἡμεῖς ἐν αὐτῷ, ὅτι θέλει καὶ χαίρει ἀκούειν ἡμῶν· Ἀλληλούϊα.

book 25 Στερρωθέντες τῇ πίστει οὖν στήκετε, τοὺς αὐχένας ὑμῶν κάτω κάμπτοντες, τῇ ψυχῇ δὲ Χριστὸν ἄνω βλέποντες· τῶν ἐν γῇ παντελῶς μὴ φροντίσητε, καραδοκοῦντες καὶ σπουδάζοντες μετὰ τὸ μεταστῆναι τοῦ βίου τούτου [para]κατοικῆσαι ἐν ταῖς τῶν ἁγίων μοναῖς, ἵνα ὥσπερ ἐνταῦθα βοᾶτε κἀκεῖ· Ἀλληλούϊα.

book 26 Ὁ καιρὸς τῆς χαρᾶς ὑμῶν ἔφθασεν· ὁ γὰρ κύριος τάχιον ἔρχεται, [para]ὁ νυμφὼν τὸν νυμφίον ἐκδέχεται, καὶ ὑμεῖς ταῖς λαμπάσιν ἀστράπτετε· ὡς εὖ φρονοῦντες παρθενεύετε· παρθενεία γάρ ἐστι ψυχῆς ἁγνεία, [para]δι' ἧς ἔχετε βλέπειν τὴν δόξαν Χριστοῦ δᾳδουχοῦντες αὐτῷ καὶ βοῶντες ἀεί· Ἀλληλούϊα.

book 27 Ὑπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε κατακρίνειν ἐμὲ τότε μέλλοντες· διὰ τοῦτο κυρίῳ δεήθητε ἵνα ἄνεσιν εὕρω σὺν πᾶσιν ὑμῖν καὶ ἀπολαύσω σὺν ὑμῖν κἀγὼ τῆς χαρᾶς ἐκείνης τῆς αἰωνιζούσης· [para]τοῦ Θεοῦ γάρ ἐστε εὐωδία ὑμεῖς, καὶ αἰτοῦμαι ὑμᾶς τοῦ συμψάλλειν ἀεί· Ἀλληλούϊα.

book 28 Τῶν ἀγγέλων τὸν βίον βιῶσαι νῦν μέγα ὑμῖν παρέσχεν ὁ κύριος· [para]μεῖζον πάλιν καὶ τοῦτο εὑρήκατε, ἔχειν ὡς ἀδελφὸν τὸν ἡγούμενον πραέως πάντων ἀνεχόμενον, πτωχὸν ἤθει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλούσιον τῇ φρονήσει, [para]τάξει ὑπὲρ ὑμᾶς καὶ βουλῇ καθ' ὑμᾶς, πάντας στέργοντα, πάντας καλοῦντα εἰπεῖν· Ἀλληλούϊα.

book 29 Οὐκ ἀρκεῖ μοι ὁ λόγος πρὸς ἔπαινον τῆς τοσαύτης αὐτοῦ ἡμερότητος· [para]καὶ εἰσὶν ἐν ὑμῖν μαρτυροῦντές μοι καὶ κυροῦντες τοῖς λόγοις τοὺς λόγους μου, ὅτι πολλάκις ἀπεδήμησαν ἐκ τῆς μάνδρας ταύτης πολλοὶ τῶν ἀμνῶν [para]καὶ τῇ τούτου εὐχῇ ἐπανέλυσαν, οὓς δεξάμενος πάλιν προσήνωσε βοᾶν· Ἀλληλούϊα.

book 30 Σὺ οὖν, δέσποτα, ὡς παντοδύναμος τὴν ζωὴν ἡμῶν πᾶσαν κυβέρνησον· τῷ ποιμένι τὴν ποίμνην συντήρησον, καὶ ἐμὲ ταῖς εὐχαῖς αὐτοῦ στήριξον· τοῦ ἀγελάρχου τὸ μνημόσυνον πολλοῖς χρόνοις ἡμῖν ἐκτελεῖν παράσχου, [para]καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐγκατάσπειρον πρὸς τὸ ψάλλειν τερπνῶς καὶ ἀεί σοι βοᾶν· Ἀλληλούϊα.

book pro Τοὺς ἐν θλίψει, κύριε, κατεχομένους [para]μὴ παρίδῃς κράζοντας ἐν μετανοίᾳ σοι, σωτήρ· «Τῇ εὐσπλαγχνίᾳ σου δώρησαι [para]πᾶσιν ἀνθρώποις ζωὴν τὴν αἰώνιον.»

book 1 Τὸ ἰατρεῖον τῶν ψυχῶν τοῖς γνώμῃ ἀρρωστοῦσι προέθηκεν ἀφθόνως ὁ μόνος τῶν σωμάτων καὶ τῶν ψυχῶν ἰατρευτής, ἵνα οἱ νοσοῦντες ἰατρείαν ἐξ αὐτοῦ [para]αἰτοῦσι καὶ λαμβάνουσιν. Ὁ ῥύστης μὲν γὰρ σπεύδει τὰ τραύματα πάντων θεραπεύειν καὶ πρὸ πάσης ἱκεσίας χαρίζεται πάντα συμφερόντως· συστέλλει δέ ποτε τὴν χεῖρα πρὸς δόσιν διεγείρων τὸ νωθρὸν τὸ τῶν ῥᾳθύμων, [para]πλάττων ὡς σοφὸς τὴν ἴασιν τῶν πταιόντων, ἵνα παρέχῃ ζωὴν τὴν αἰώνιον.

book 2 Ὁ τῆς ζωῆς γὰρ χορηγός, ἡ πάντων σωτηρία πρὸς πάντας ἡπλωμένη, οὐ περιγραφομένη, ἀεὶ ἀέναος πηγὴ [para]πᾶσι μὲν δωρεῖται ὡς δεσπότης ἀγαθὸς μεγάλα τὰ χαρίσματα· θέλει δὲ αἰτεῖσθαι τὰς χάριτας, ἵνα συνεθίσῃ τοὺς οἰκέτας τοῦ προσφέρειν τὴν δέησιν τούτῳ ὡς δεσπότῃ· ὀργίζεται δέ που ἐπὶ ῥαθυμίαις, προσποιούμενος ἀεὶ ὅπερ οὐκ ἔχει· [para]χρηστότητος γὰρ τὸ ἔργον ὑπάρχει τοῦτο, ἵνα παρέχῃ ζωὴν τὴν αἰώνιον.

book 3 Ὑπόδειγμα δὲ ἀληθὲς τῆς τούτου εὐσπλαγχνίας καὶ ὅτι οὕτως ἔδει, ἐν σχήματι δὲ μόνῳ ὀργίζεται ὁ ἀγαθός, τοὺς Ἰσραηλίτας ἁμαρτήσαντάς ποτε [para]καλῶν πρὸς ἐπιστροφὴν πρὸς τὸν Μωσέα λέγει τὸν δίκαιον· «Ἔασόν με, φίλε, θυμωθῆναι καὶ ἐκτρῖψαι τοῖς νόμοις μου τοὺς μὴ πειθαρχοῦντας» Κεκράτητο μὲν γὰρ τῇ φιλανθρωπίᾳ, ἐπιγράφει δὲ Μωσῇ δῆθεν τὸ σχῆμα· [para]«Ἔασον, φησίν, ἐκτρίψω τοὺς ἀπειθοῦντας, ἵνα καὶ δώσω ζωὴν τὴν αἰώνιον.»

book 4 Τούτῳ γὰρ δῆθεν τῷ Μωσῇ τὴν πᾶσαν ἐπιγράφει κατάστασιν ὁ κτίστης, δεικνὺς φιλανθρωπίας μεστὴν ὑπάρχειν τὴν ὀργήν· [para]τίθησιν εἰς χεῖρας Μωϋσέως τοῦ θυμοῦ ὁ πλάστης τὴν διοίκησιν, ἱνὰ ἀκούων τούτου τὸ «Ἄφες με» ἔννοιαν κινήσῃ ὅτι ὅλως ἐξισχύει κρατεῖν αὐτοῦ, ὅταν ὀργισθείη, προσπέσῃ δὲ αὐτῷ καὶ κράξας βοήσῃ· «Ἀμνησίκακε Θεὲ καὶ πανοικτίρμον, [para]οὐ μή σε ἀφῶ, ἂν μή μοι κατεπαγγείλῃ τούτοις παρέχειν ζωὴν τὴν αἰώνιον.»

book 5 Ἄγαν ἦν οἰκονομικὸν καὶ τὸ τῆς Χαναναίας, ὅτιπερ θεραπεύειν ἀπείπετο ὁ κτίστης τὴν θυγατέρα τὴν αὐτῆς· [para]«Ἆραι γὰρ τὸν ἄρτον τὸν τῶν τέκνων καὶ βαλεῖν κυσί, φησίν, οὐ δίκαιον.» Ἔνδοθεν ὁ δεσπότης φιλάνθρωπος, ἔξωθεν ὀργίλος· οὐκ ὀκνεῖ γὰρ ὑπολήψεις προσκτήσασθαι τῶν καθυβριζόντων, σπουδάζων ὡς σοφὸς τὴν ὑβριζομένην στεφανῶσαι τὴν καλῶς ἀνεχομένην· [para]οὔτε γὰρ ναρκᾷ τὸ γύναιον πρὸς τὴν ὕβριν, ἀλλὰ καὶ αἰτεῖται ζωὴν τὴν αἰώνιον.

book 6 Πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα κρεῖττον ἐξ ὕψους καταβαίνει ἐκ τοῦ πατρὸς τῶν φώτων, ὡς ὁ ἀπόστολός φησιν, [para]ἀλλ' οὐ κατ' ἀνάγκην· τῇ αἰτήσει δὲ ἡμῶν θελήσει παραγίνεσθαι. Τῷ μὲν γὰρ ἡ ἀνάγκη ἐχθρά ἐστι πᾶσά τε ἡ βία· οὐ γὰρ θέλει τῶν ἀνθρώπων βιάζεσθαι γνώμας τὰς ἐν τούτοις· αὐτὸς ὡς ἀγαθὸς τὴν βίαν ἐκ τούτων ὑπομένει ἐνδιδούς· χαίρει γὰρ ὄντως [para]παρὰ βιαστῶν ἁρπάζεσθαι βασιλείαν, πᾶσι δὲ δοῦναι ζωὴν τὴν 〈αἰώνιον〉.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 7 Ἐν τούτοις βούλεται Θεός· ἡμεῖς δὲ ἀμελοῦμεν καὶ φεύγομεν προθέσει τὴν χάριν τοῦ σωτῆρος ἐπιθυμοῦντες τῶν κακῶν· [para]πρᾶξις γὰρ ὁποία εὑρεθήσεται ἡμῖν ἢ ποῖος λόγος ἄξιος πρὸς τὸν ὑπὲρ ἀνθρώπων ἑλόμενον πάντα ὑπομεῖναι; Τίς ἡμᾶς δὲ ἐξελεῖται καὶ ῥύσεται ἄρα ἐν ἀνάγκῃ; Καὶ μὴ αὐτὸς ἡμᾶς Χριστὸς καθ’ ἑκάστην προτρεπόμενος καλεῖ, καὶ οὐ φρονοῦμεν; [para]Ὥσπερ γὰρ πατὴρ ἐπάγει τὴν σωφροσύνην ἵνα παράσχῃ ζωὴν τὴν 〈αἰώνιον〉.

book 8 Ἰδοὺ ὁποῖα γέγονε τῷ γένει τῶν ἀνθρώπων παρὰ τοῦ φιλανθρώπου καὶ ποῖα ἀντεδόθη ὑπὲρ ἁπάντων τῷ Θεῷ· [para]τὸ φυτὸν τὸ πρῶτον, ὃ ἐφύτευσεν εὐθὺς καλὸν τῆς ἀνθρωπότητος, πῶς ἄκαρπον εὑρέθη καὶ ἄξιον τοῦ ἐκριζωθῆναι, τὸν δὲ φίλον ὅνπερ ἔσχε συνέστιον εὕρηκε προδότην; Ἐκεῖνος μὲν ἐκ τῶν τῆς δημιουργίας προοιμίων τυραννεῖν διενοήθη, οὗτος πιστευθεὶς τὸν πλοῦτον Χριστὸν ἐπώλει·

book 8 ὅθεν οὐκ ἔχει ζωὴν τὴν αἰώνιον.

book 9 Ναρκοῦν λαμβάνει τὴν ἀρχὴν τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς τοῦ πρωτοπλάστου ῥίζης τοῦ ἁμαρτάνειν ἐξ ἐναντίας τῷ Θεῷ· [para]ἀλλ’ ὁ ἐλεήμων φιλανθρώπως γεωργεῖ ἀρδείαις τοὺς χερσεύοντας, ποτὲ μὲν νουθεσίαις, ἠπείλει δὲ ἄλλοτε παιδεύων· πρὸς δὲ τούτοις καὶ προφήταις ἐχρήσατο νόμων ταῖς φυτείαις· ὅθεν τῇ ἀρετῇ τῇ τῆς γεωργίας ἐξεβλάστησε καλὸν δένδρον τῷ γένει [para]ἐκ παρθενικῆς νηδύος ἐξανατέλλον, πᾶσι παρέχον ζωὴν 〈τὴν αἰώνιον〉.

book 10 Ὁπόσα μὲν οὖν ὁ Χριστὸς ἐτέλει φιλανθρώπως εἰς πάντων σωτηρίαν πᾶσι δῆλον ὑπάρχει τοῖς πεποιθόσιν ἐπ’ αὐτῷ· [para]πῶς μὲν τοὺς τελώνας μαθητεύειν τοῖς αὐτοῦ ἐδίδαξεν ὡς εὔσπλαγχνος, καὶ ὅπως καὶ τὰς πόρνας ἐπαίδευσε χάριν μετανοίας· ἁλιεύει ἐκ ναμάτων καὶ γύναιον ἐκ τῆς Σαμαρείας· ἐκτρέφει θαυμαστῶς καὶ τοὺς ἀχαρίστους καὶ ἐχόρτασεν αὐτοὺς ἐν τῇ ἐρήμῳ· [para]οἶνον δὲ αὐτοῖς ἐξ ὕδατος ἐχορήγει, πᾶσι παρέχων 〈ζωὴν τὴν αἰώνιον〉.

book 11 Ὑπὲρ ἁπάντων τῶν βροτῶν τὸ χρέος ἀποτίσας τὸ ἐκ τῆς ἁμαρτίας, ἐδίδαξε τοὺς πάντας τηρεῖν αὐτοῦ τὰς ἐντολάς· [para]ἀλλ’ ἐπείπερ ταύτας οὐ φυλάττομεν ἡμεῖς βουλήσει παρατρέχοντες, ὀργῆς ἡμᾶς πολλάκις διήγειρεν ἅπαντας δειλία ἢ θυμὸς ὁ περιζέων θερμότητι πρὸς τὴν τιμωρίαν. Ἀλλ’ ὥσπερ ἰατρὸς προσφέρει τῷ πάθει τὸ δριμύτατον ἀεὶ τὸ τῶν φαρμάκων, [para]οὕτως ὁ Χριστὸς παιδεύει καὶ ἰατρεύει πᾶσι παρέχων 〈ζωὴν τὴν αἰώνιον〉.

book 12 Ῥᾳδίως ἴδωμεν σαφῶς πῶς πάντας ἰατρεύει καὶ πάσαις δὲ ταῖς νόσοις ἐμπλάστρους προσαρμόζει ὁ τῶν ψυχῶν ἰατρευτής· [para]οἶδε ποῖον πάθει ἐπιτήδειόν ἐστι καὶ χρήσιμον παράγγελμα· ἐπίσταται δὲ ποῖον χειρούργημα τραύματι ἁρμόζει· εἰ δὲ καὶ ταῖς κολακείαις ὁ πάσχων δὴ ἀποστασιάζει, λοιπὸν ἐφ’ ἕτερον μεταβαίνει τρόπον καὶ δι’ ἔργων τοῦ λοιποῦ εὐδρανεστέρων [para]πράττει ὡς σοφὸς τὴν τέχνην τῆς ἰατρείας, ἵνα καὶ σχῶμεν ζωὴν τὴν αἰώνιον.

book 13 Ὡς γὰρ οὐ λόγων ἐπῳδαῖς τὰ πάντων ἰατρεύων εὑρῇ τοὺς ἀπειθοῦντας, μετέρχεται ἐν ἔργοις τὴν θεραπείαν τὴν ἡμῶν· [para]σείει γὰρ τὴν κτίσιν καὶ ποιεῖ βρύχειν τὴν γῆν ἐκ τῶν ἁμαρτιῶν ἡμῶν· τὸν χρόνον τοῦ σεισμοῦ δὲ στενάξαντες, πάλιν πρὸς τὸ ἔθος ἐκδραμόντες λησμοσύνῃ δεδώκαμεν ἅπαντα τὸν φόβον. Διὸ προσέταξε νεφέλαις πολλάκις τὰς ψεκάδας μηδαμῶς δοῦναι τῶν ὄμβρων, [para]ἵνα τῆς ψυχῆς τὸ ῥᾴθυμον ἀφυπνίσῃ ὥστε αἰτεῖσθαι ζωὴν τὴν αἰώνιον.

book 14 Μίαν, δευτέραν τὴν πληγὴν ὁ κτίστης ἐπιφέρων, ἀνθρώπους δὲ εὑρίσκων κρείττους μὴ γινομένους, ἀλλὰ καὶ χείρους ἑαυτῶν, τότε ἀθυμίαν ἐπιφέρει εἰς αὐτὴν [para]τὴν τράπεζαν τῆς χάριτος, καυθῆναι συγχωρήσας τὰ ἅγια τὰ τῆς ἐκκλησίας, ὡς καὶ πρώην ἀλλοφύλοις ἐκδέδωκε κιβωτὸν τὴν θείαν· καὶ ἐξεχέετο ὁ θρῆνος τοῦ πλήθους ἐν πλατείαις τε ὁμοῦ καὶ ἐκκλησίαις· [para]τὰ πάντα γὰρ πῦρ διέφθειρεν, εἰ μὴ ἔσχον Θεὸν τὸν παρέχοντα πᾶσι ζωὴν τὴν αἰώνιον.

book 15 Ἅπαντες ἴσασιν εἰκὸς τὰ τότε γεγονότα, ὧν εἰκότως ἡ μνήμη τὸν νοῦν αἰχμαλωτίζει καὶ τὴν διάνοιαν ὑμῶν [para]καὶ ὀκνηροτέραν καὶ τὴν γλῶτταν τὴν ἡμῶν ποιεῖ πρὸς τὴν διήγησιν. Τὸ πῦρ μὲν γὰρ ταῖς ὕλαις ἐτρέφετο σπεῦδον διατρέχειν, ὑπ' ἀνέμων ἐπιφόβων ὠθούμενον πρὸς τὸ κατακαίειν· ἡμεῖς δὲ πρὸς αὐτὸ τὸ πάθος ἀλγοῦντες εἰς κακίαν τὴν ὀργὴν μεταποιοῦμεν· [para]οὐκ ἔγνωμεν γὰρ κἂν οὕτως μετανοῆσαι, ὥστε καὶ ἔχειν ζωὴν τὴν αἰώνιον.

book 16 Νεφέλης δίκην μὲν τὸ πῦρ ἐν ὅλῳ τῷ ἀέρι ἐκτύπει ἐξαστράπτον καὶ πάντα καταφλέγον, ἦχον καὶ φόβον ἐμποιοῦν, οὐκ ἀνέμοις εἶκον ἐναντίοις καὶ πολλοῖς, [para]οὐχ ὕδατα φοβούμενον. Πρὸς τούτοις δὲ τὸ ὕδωρ ἐγείρετο τὸ ἐν τῇ θαλάσσῃ· τῶν ἀνθρώπων δὲ αἱ χεῖρες ἀνόνητοι πρὸς ἐπικουρίαν· ἀντέτεινεν αὐτοῖς τὸ πῦρ καὶ ἐνίκα, καὶ ἡ θάλασσα αὐτὴ ἐφιλονίκει· [para]ἐκώλυε γὰρ τοὺς φεύγειν ἐπειγομένους, ὅθεν ἐκάλουν ζωὴν τὴν αἰώνιον.

book 17 Ὅμως ἵν' εἴπω συνελών, πάντα τὰ ἐν τῷ ἄστει σὺν καὶ ταῖς ἐκκλησίαις ἅμα τῷ παλατίῳ πάσης ἐλπίδος ἦν ἐκτός, [para]ὅσον ἐπ' ἀνθρώποις· ἀλλὰ πάντα ὁ Θεὸς συνήθως ἐπεσκέψατο· διὰ μὲν τοὺς οἰκοῦντας τὸ ἔλεος καὶ τοὺς δεομένους σωφρονίζει καὶ παρέχει τὸν οἰκτιρμὸν πᾶσιν ὁ δεσπότης· διὰ δὲ τοὺς κακοὺς τοὺς μὴ βουλομένους ὑπ' αὐτῆς τῆς ἀπειλῆς σωφρονισθῆναι ἐπάγει ὀργὴν ἐν στόματι μαχαίρας, ὥστε γνωρίζειν ζωὴν τὴν αἰώνιον.

book 18 Ὑπὸ μὲν τούτων τῶν δεινῶν κατείχετο ἡ πόλις καὶ θρῆνον εἶχε μέγα· Θεὸν οἱ δεδιότες χεῖρας ἐξέτεινον αὐτῷ [para]ἐλεημοσύνην ἐξαιτοῦντες παρ' αὐτοῦ καὶ τῶν κακῶν κατάπαυσιν· σὺν τούτοις δὲ εἰκότως ἐπηύχετο καὶ ὁ βασιλεύων ἀναβλέψας πρὸς τὸν πλάστην —σὺν τούτῳ δὲ σύνευνος ἡ τούτου—, «Δός μοι, βοῶν, σωτήρ, ὡς καὶ τῷ Δαυίδ σου τοῦ νικῆσαι Γολιάθ· σοὶ γὰρ ἐλπίζω· [para]σῶσον τὸν πιστὸν λαόν σου ὡς ἐλεήμων, οἷσπερ καὶ δώσῃς ζωὴν τὴν αἰώνιον.»

book 19 Ὅτε δὲ ἤκουσε Θεὸς φωνῆς τῆς τῶν κραζόντων καὶ τῶν βασιλευόντων, καὶ ἔδωκε τῷ ἄστει τοὺς φιλανθρώπους οἰκτιρμούς· [para]ὀδυρμὸς πικρὸς γὰρ ἐγεγόνει δι' αὐτοὺς ἀναιρεθέντας ξίφεσιν· γυναῖκες χηρείαν ὠδύροντο, παῖδες ὀρφανίαν, οἱ πατέρες ἀτεκνίαν, οἱ σύγγονοι στέρησιν συναίμων· ἄλλοι ἀπώλειαν ἐθρήνουν πραγμάτων, καὶ τὸ πένθος ἦν κοινὸν πάσῃ τῇ πόλει. [para]Ἔκειτο χαμαὶ ὁ θρόνος τῆς ἐκκλησίας ὅστις παρέχει ζωὴν τὴν αἰώνιον.

book 20 Ψαλμοῖς ἐγέραιρόν ποτε Σοφίαν καὶ Εἰρήνην, δυνάμεις τὰς ἐνδόξους τῆς ἄνω πολιτείας, οἱ τοῦ βαπτίσματος υἱοί· ἔβλεπον δὲ ἄρτι τοὺς ναοὺς τοὺς ἱεροὺς κειμένους εἰς τὸ ἔδαφος· τὸ κάλλος τὸ ἐκ τούτων τὸ ἔνδοξον πλήρης ἦν σαπρίας· ὁ δὲ τόπος ὁ ἐκλάμπων φαιδρότητα φόβον νῦν ἠπείλει· ἀπήστραπτέ ποτε τὸ φῶς ἐκ τοῦ κάλλους, ἀπεδίωκε νυνὶ πῦρ τοὺς ὁρῶντας· [para]μόνη δὲ ἡμῖν ἠλπίζετο σωτηρία ἥτις παρέχει ζωὴν τὴν αἰώνιον.

book 21 Ἀεὶ γὰρ πάντες οἱ πιστοὶ Θεῷ οἱ πεποιθότες ἐλπίζουσιν εἰκότως κρειττόνων ἀξιοῦσθαι· τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ. [para]Ἂν γάρ τις ἀπίδῃ πρὸς τὴν Ἰερουσαλὴμ καὶ τὸν ναὸν τὸν μέγιστον ὃν Σολομὼν ἐκεῖνος ὁ πάνσοφος χρόνῳ μακροτάτῳ ἀνεγείρας καὶ κοσμήσας ἐποίκιλε πλούτῳ ἀπεράντῳ, ὅπως καταβληθεὶς εἰς ὕβριν ἐδόθη καὶ μένει ἐκπεσὼν καὶ οὐκ ἀνέστη, [para]ἴδοι ἂν αὐτῆς τὴν χάριν τῆς ἐκκλησίας ἥτις παρέχει 〈ζωὴν τὴν αἰώνιον〉.

book 22 Λαὸς μὲν ὁ τοῦ Ἰσραὴλ ναοῦ ἀποστερεῖται· ἡμεῖς δὲ ἀντ' ἐκείνου Ἀνάστασιν ἁγίαν καὶ τὴν Σιὼν ἔχομεν νῦν, [para]ἥνπερ Κωνσταντῖνος καὶ Ἑλένη ἡ πιστὴ τῷ κόσμῳ ἐδωρήσαντο μετὰ διακοσίους πεντήκοντα χρόνους τοῦ πτωθῆναι. Ἀλλ' ἐνταῦθα μετὰ μίαν τῆς πτώσεως ἤρξαντο ἡμέραν τὸ τῆς ἐκκλησιᾶς ἐγείρεσθαι ἔργον· καὶ φαιδρύνεται λαμπρῶς καὶ τελειοῦται· [para]οἱ μὲν βασιλεῖς δαπάνην φιλοτιμοῦνται, ὁ δὲ δεσπόστης ζωὴν τὴν αἰώνιον.

book 23 Μεγάλα ὄντως καὶ φαιδρὰ καὶ ἄξια θαυμάτων καὶ ὑπερβεβηκότα ἅπαντας τοὺς ἀρχαίους βασιλεῖς ἔδειξαν νυνὶ [para]οἱ ἐν τῷ παρόντι τῶν Ῥωμαίων εὐσεβῶς τὰ πράγματα διέποντες· ἐν χρόνῳ γὰρ ὀλίγῳ ἀνέστησαν ἅπασαν τὴν πόλιν, ὡς καὶ λήθην ἐγγενέσθαι τοῖς πάσχουσι

πάντων τῶν δυσκόλων· ὁ οἶκος δὲ αὐτὸς ὁ τῆς ἐκκλησίας ἐν τοσαύτῃ ἀρετῇ οἰκοδομεῖται [para]ὡς τὸν οὐρανὸν μιμεῖσθαι, τὸν θεῖον θρόνον, ὃς καὶ παρέχει ζωὴν τὴν αἰώνιον.

book 24 Ὅσοι οὖν στέργομεν Χριστὸν καὶ σπεύδομεν ἐκείνῳ τὴν δόξαν ἀναπέμπειν, αἰτοῦμεν τὸν δεσπότην καὶ ποιητὴν τῶν οὐρανῶν [para]τὸ τῆς ἐκκλησίας στερεῶσαι τῆς αὐτοῦ ἐγχείρημα καὶ ἔδρασμα, ἵν' ἀξιωθῶμεν θεάσασθαι πᾶσαν πληρωθεῖσαν 〈– –〉 καὶ βρύουσαν χάριν τοῖς ὁρῶσιν ἐν λειτουργίαις τε ᾠδα[ῖς καὶ τοῖς] ὕμνοις, ἵνα καὶ οἱ βασιλεῖς καὶ οἱ πολῖται [para]καὶ 〈οἱ〉 ἱερεῖς ἐν ταύτῃ ἀγαλλιῶνται πᾶσι δοθῆναι ζωὴν τὴν αἰώνιον.

book 25 Σῶτερ, [ἀθάνατε υἱὲ] πατρὸς προαιωνίου, πᾶσαν σῶσον τὴν πόλιν, σῶσον τὰς ἐκκλησίας, σῶσον δὲ καὶ τοὺς βασιλεῖς· [para]λύτρωσαι τὸ ἄστυ ἀπὸ πάσης ταραχῆς, σεισμοῦ, λιμοῦ καὶ θνήσεως· πᾶσαν τὴν πολιτείαν περίσωσον, πάνσοφε δυνάστα, καὶ ἐμοὶ δὲ τῷ ἀθλίῳ τὴν ἄφεσιν δὸς τὴν τῶν πταισμάτων· τῶν περιεχόντων δεινῶν ἐξελοῦ με καὶ θεράπευσον ἐμοῦ τὴν ἀθυμίαν· [para]ταύτην τὴν ζωὴν ἀπρόσκοπον διοδεῦσαι δός μοι, κἀκεῖ δὲ ζωὴν τὴν 〈αἰώνιον〉.

book pro Τοῦ φοβεροῦ δικαστοῦ τὴν ἐξέτασιν ἐν τῇ ζωῇ σου, ψυχή, ἐνθυμήθητι, [para]καὶ μνήσθητι τῶν στεναγμῶν τοῦ τελώνου, τῶν ὀδυρμῶν τῆς πόρνης, κραυγάζουσα ἐν κατανύξει· «Ταῖς εὐχαῖς τῶν ἁγίων ἱλασμόν μοι παράσχου, ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.»

book 1 Πολλοὶ διὰ μετανοίας [para]τῆς παρὰ σοῦ φιλανθρωπίας ἠξιώθησαν· τελώνην στενάξαντα καὶ πόρνην δακρύσασαν ἐδικαίωσας· [para]τῇ προθέσει γὰρ προβλέπεις καὶ παρέχεις τὴν ἄφεσιν· μεθ' ὧν κἀμὲ ἐπίστρεψον ὡς ἔχων πλῆθος οἰκτιρμῶν, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 2 Ῥερύπωται ἡ ψυχή μου [para]ἐνδεδυμένη τὸν χιτῶνα τῶν πταισμάτων μου· αὐτὸς δὲ παράσχου μοι ἀπὸ τῶν ὀμμάτων μου ῥεῦσαι ὕδατα, [para]ἵνα ταύτην καθαρίσω διὰ τῆς κατανύξεως· λαμπρὰν στολήν με ἔνδυσον ἀξίαν τοῦ γάμου σου, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 3 Ὁ χρόνος μου συντελεῖται, [para]ὁ δὲ φρικτός σου θρόνος λοιπὸν εὐτρεπίζεται. Ὁ βίος παρέρχεται, ἡ κρίσις ἐκδέχεται ἀπειλοῦσά μοι [para]τοῦ πυρὸς τὴν τιμωρίαν καὶ τὴν φλόγα τὴν ἄσβεστον· δακρύων ὄμβρους πέμψον μοι καὶ σβέσον αὐτῆς τὴν ἰσχύν, ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 4 Συμπάθησον τῇ φωνῇ μου [para]ὡς τῷ ἀσώτῳ υἱῷ, πάτερ οὐράνιε· κἀγὼ γὰρ προσπίπτω σοι καὶ κράζω ὡς ἔκραξε· «Πάτερ, ἥμαρτον.» [para]Μὴ παρώσῃς με, σωτήρ μου, τὸν ἀνάξιον παῖδά σου, ἀλλ' εὔφρανον καὶ ἐπ' ἐμοὶ τοὺς σοὺς ἀγγέλους, ἀγαθέ, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 5 Ἐμὲ γὰρ 〈καὶ〉 υἱόν σου [para]καὶ κληρονόμον ἑαυτοῦ ἔδειξας χάριτι· ἐγὼ δὲ προσκρούσας σοι αἰχμάλωτος γέγονα καὶ δεδούλωμαι [para]τῇ βαρβάρῳ ἁμαρτίᾳ πεπραμένος ὁ ἄθλιος. Τὴν σὴν εἰκόνα οἴκτειρον καὶ ἀνακάλεσαι, σωτήρ, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 6 Ὑπνοῦντά με ῥαθυμίᾳ [para]ὁ πονηρὸς ἐξαγρυπνῶν ἐσυλαγώγησε· τὸν νοῦν μου ἐπλάνησε, τὴν φρένα ἐσύλησε καὶ διήρπασε τὸν τῆς χάριτός σου πλοῦτον ὁ λῃστὴς ὁ ἀρχέκακος· ἀλλ' ἔγειρον πεσόντα με καὶ ἀνακάλεσαι, σωτήρ, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 7 Χρῄζω τῆς σῆς βοηθείας, [para]ὥσπερ ὁ Πέτρος ἐν θαλάσσῃ χειμαζόμενος· τοῦ βίου τὸ πέλαγος βαδίζων ποντίζομαι, καὶ προσπίπτω σοι· [para]ἐγγισάτω μοι ἡ χείρ σου καὶ σωσάτω με, κύριε· ὡς ἐκ βυθοῦ ἀνάγαγε ἐκ τοῦ χειμῶνος τῶν κακῶν, ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 8 Ἤκουσα καὶ τοῦ προφήτου [para]προτρεπομένου με περὶ τῆς σωτηρίας μου· εἰπὼν γὰρ ἐγγίζειν σε τοῖς ἐπικαλουμένοις σε, διεγείρει με [para]συνεχέστερον βοᾶν σοι καὶ καλεῖν σε εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντίληψιν. Τῶν οἰκτιρμῶν σου μνήσθητι καὶ ἔγειρόν με ὡς Θεός, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 9 Ῥύστην σε, σωτήρ, γινώσκω μετανοοῦντα ἐπὶ πάσαις ταῖς κακίαις μου· ἐξάλειψον τὰ πταίσματα, ὑπόγραψον ἄφεσιν, ἀμνησίκακε· [para]τὸ χειρόγραφόν μου σχίσον καὶ ἐμὲ ἐλευθέρωσον· αὐτὸς γὰρ πέλεις, κύριε, ὁ βασιλεύς μου καὶ Θεός, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 10 Ὢ ἀφροσύνη· φοβοῦμαι [para]καὶ ἐννοῶν τὸν ὀδυρμὸν οὐ σωφρονίζομαι· πτοοῦμαι τὴν κόλασιν καὶ ἔργα κολάσεως διαπράττομαι· [para]δειλιῶ μαστιγωθῆναι καὶ τὸ πταίειν οὐ παύομαι. Ὀψὲ ποτὲ ἀνάνηψιν παράσχου μοι, μόνε σωτήρ, [para]ὁ θέλων 〈πάντας τοὺς ἀνθρώπους σωθῆναι〉 .

book 11 Μικρὸν ὀδυνᾷ με, οἴμοι, [para]ἡ ἁμαρτία δολερὸν ἔχουσα φάρμακον· αὐτή μοι συνήγορος, αὐτὴ καὶ κατήγορος ἀναδείκνυται· [para]τὴν δοκοῦσαν συμβουλεύειν αὐτὴν βλέπω ἐπίβουλον· αὕτη βοθρίσαι σπεύδει με, αὐτῆς με λύτρωσαι, σωτήρ, [para]ὁ θέλων 〈πάντας τοὺς ἀνθρώπους σωθῆναι〉 .

book 12 Ἀεὶ κρυπτῶς μαστιγοῦμαι· τὸ συνειδὸς γὰρ ἑαυτοῦ καταδικάζει με καὶ κριτήριον κέκτημαι τὸν ἴδιον ἔλεγχον τιμωροῦντά με, [para]πρὸ τοῦ ἥξω καὶ ὑφέξω τὸν αἰώνιον βάσανον. Ἐνταῦθά με διόρθωσαι καὶ τότε φεῖσαί με, σ[ωτήρ], [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 13 Νυνὶ καιρὸς μετανοίας [para]τοῖς βουλομένοις τὸ τάλαντον πραγματεύσασθαι· πανήγυρις ἵσταται, κἀγὼ οὐκ ἐργάζομαι ἵνα λήψομαι [para]τὸν καρπὸν τῆς ἐργασίας καὶ τοῦ κόπου τὴν ἄνεσιν· πρὸ τοῦ λυθῇ τὸ θέατρον, δώρησαι τὴν ἐπιστροφήν, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους σωθῆναι.

book 14 Ὁ Παύλου λόγος ὠθεῖ με [para]προσκαρτερεῖν σου τῇ εὐχῇ καὶ ἀναμένειν σε. Θαρρῶν οὖν προσεύχομαι· σαφῶς γὰρ ἐπίσταμαι τὰ ἐλέη σου, [para]ὅτι πρῶτός μοι προσέρχῃ, καὶ καλῶ εἰς ἀντίληψιν· χρονίζεις δὲ ἱνά μοι δῷς τῆς προσεδρείας τὸν μισθόν, [para]ὁ θέλων πάντας τοὺς ἀνθρώπους 〈σωθῆναι〉 .

book 15 Ὑμνεῖν καὶ δοξολογεῖν σε [para]ἐν πολιτείᾳ καθαρᾷ δώρησαι πάντοτε· συμπράττειν τοῖς λόγοις μου τὰ ἔργα εὐδόκησον, παντοδύναμε, [para]ἵνα ψάλλω καὶ λαμβάνω παρὰ σοῦ τὰ αἰτήματα· ἁγνὴν εὐχὴν προσφέρειν σοι παράσχου μοι, μόνε Χριστέ, ὁ θέλων πάντας τοὺς ἀνθρώπους 〈σωθῆναι〉 .

book 1 Δεῦτε πάντες πιστοί, προσκυνήσωμεν [para]τὸν σωτῆρα Χριστὸν καὶ φιλάνθρωπον, τὸν υἱὸν τοῦ Θεοῦ καὶ μακρόθυμον, [para]τὸν δεσπότην καὶ μόνον ἀθάνατον, ὃν ὑμνοῦσιν ἀγγέλων τὰ τάγματα, [para]ἀσωμάτων οἱ δῆμοι δοξάζουσιν, ἐκ πυρίνων γλωσσῶν ἀνακράζουσι, [para]τρισαγίαις φωναῖς ἀναμέλπουσι, τὸν τρισάγιον ὕμνον ἐξᾴδοντες, ἐπινίκιον αἶνον προσφέροντες· τὸν πατέρα ὑμνοῦσι καὶ κύριον, [para]τὸν υἱὸν σὺν τῷ πνεύματι σύνθρονον· τῇ οὐσίᾳ μονάς ἐστιν ἄτμητος, [para]ἐν τρισὶ τοῖς προσώποις μερίζεται·

book 1 ἡ ὑπέρθεος δύναμις σέβεται, [para]ὑπὸ πάσης τῆς κτίσεως ᾄδεται. [para]Θεοτόκε παρθένε, παντάνασσα, μὴ παρίδῃς ἡμᾶς τοὺς οἰκέτας σου κινδυνεύοντας βίου τῷ κλύδωνι, καὶ ἀστάτῳ θηρὶ προσριπτούμενοι· ὑπερτέρα τῶν ἄνω δυνάμεων, περιστερὰ χρυσωθεῖσα τῷ πνεύματι, ἀποστόλων τὸ κλέος καὶ καύχημα, προφητῶν καὶ μαρτύρων τὸ σύστημα καὶ τοῦ κόσμου παντὸς ἡ βοήθεια, χρυσοπλοκώτατε πύργε καὶ πάντιμε, δωδεκάπυλε πόλις, παράδεισε, μυροθήκη τοῦ πνεύματος πάντερπνε, τεῖχος ἄμαχον θεῖον καὶ στήριγμα, τῶν πιστῶν ἀνακτόρων προπύργιον καὶ ψυχῶν εὐσεβῶν ἀμυντήριον καὶ σωμάτων ἁγνῶν φυλακτήριον, σὲ γεραίρομεν, ἄχραντε δέσποινα, τὸν υἱόν σου ὑμνοῦμεν καὶ κύριον,

book 1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν Χριστὸν καὶ τὸν μόνον φιλάνθρωπον, ὅπως εὕρωμεν χάριν καὶ ἔλεος ἐν ἡμέρᾳ τῆς κρίσεως, δέσποινα. [para]Τότε, κύριε, κύριε, ῥῦσαί με, τοῦ πυρὸς τοῦ ἀσβέστου με λύτρωσαι· μή με λάβῃ Σατὰν ὁ παμπόνηρος, μή με δείξῃς δαιμόνων ἐπίχαρμα· ὅτι μόνος ἐγὼ ἐπλημμέλησα, τὴν ψυχὴν καὶ τὸ σῶμα ἐσπίλωσα καὶ τὸν βίον μου ὅλον ἐρρύπωσα. Τί ποιήσω οὐκ οἶδα ὁ ἄθλιος· [para]διὰ τοῦτο κραυγάζω τὸ «Ἥμαρτον»· ὡς ὁ ἄσωτος ἦλθον καὶ δέομαι [para]ὡς ἡ πόρνη τὰ δάκρυα ῥέουσα· ἀλλά, κύριε, κύριε, ῥῦσαί με ἐκ βορβόρου τῶν ἔργων καὶ σῶσόν με· ὡς ποιμὴν ἀγαθὸς μὴ ἐάσῃς με [para]τῶν παθῶν τοῖς κρημνοῖς πελαζόμενον· κεχωσμένον τοῖς πάθεσιν ἔξελε [para]καὶ τῷ θείῳ φωτί σού με κάθαρον,

book 1 ἵνα βλέψω τὴν θείαν εἰκόνα σου [para]καθαρῷ συνειδότι καὶ φθέγξωμαι· «Σοὶ γὰρ πρέπει τιμὴ καὶ προσκύνησις, [para]τῷ πατρὶ καὶ υἱῷ σὺν τῷ πνεύματι ὑπὸ πάσης τῆς κτίσεως πάντοτε εἰς αἰῶνας αἰώνων, φιλάνθρωπε.»